BYZANTINE GREEK SERIES · VOLUME 5

# The Secret History

Procopius

# ΑΝΕΚΔΟΤΑ
# ΠΕΡΙ ΚΤΙΣΜΑΤΩΝ
# ΕΚΦΡΑΣΙΣ

*The Secret History*

*With Buildings I and Paul the Silentiary on Hagia Sophia*

---

with a word-for-word interlinear English translation

preserving the original word order




CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

Part of the source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License;
the remainder is in the public domain
creativecommons.org/licenses/by-sa/4.0




Volume 5 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows the Secret History in J. Haury's
Teubner edition, Procopii Caesariensis Opera Omnia III.1 (Leipzig, 1906);
Buildings I in W. Dindorf's, Procopius III (Bonn, 1838); Paul the Silentiary
in I. Bekker's, Paulus Silentiarius, Georgius Pisida, Nicephorus (Bonn, 1837)

The Secret History set from the Perseus Digital Library, with corrections;
Buildings I set from the Wikisource keying, with corrections;
the Description of Hagia Sophia set from Bekker's printed text

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

# CONTENTS

## PROCOPIUS · THE SECRET HISTORY


I · The Purpose of the Book, and Antonina . . . . . 11
II · Photius' Oath, and the Persian Campaign . . . . . 24
III · Antonina's Revenge on Photius . . . . . 36
IV · The Fall of Belisarius and Bouzes . . . . . 45
V · Belisarius in Italy, and Theodora's Marriages . . . . . 57
VI · Justin and the Young Justinian . . . . . 68
VII · The Blue Partisans . . . . . 76
VIII · Justinian's Nature and Appearance . . . . . 88
IX · Theodora's Youth . . . . . 97
X · Theodora on the Throne . . . . . 113
XI · Innovation and Persecution . . . . . 120
XII · Confiscations, and Demons in Human Form . . . . . 132
XIII · Justinian's Manners and Morals . . . . . 142

PROCOPIUS · THE SECRET HISTORY

*(continued)*

XIV · Justice for Sale . . . . . 152
XV · Theodora's Ways . . . . . 159
XVI · Theodora's Victims . . . . . 169
XVII · Theodora's Tyranny and Her Son . . . . . 177
XVIII · The Destruction of Mankind . . . . . 189
XIX · The Treasury Squandered . . . . . 201
XX · The Prefect, the Praetor, and the Quaesitor . . . . . 207
XXI · The Aerikon and the Sale of Offices . . . . . 215
XXII · Peter Barsymes . . . . . 224
XXIII · The Ruin of the Landowners . . . . . 235
XXIV · The Soldiers . . . . . 243
XXV · Merchants and Coinage . . . . . 254
XXVI · The Cities Stripped . . . . . 263
XXVII · Religion and Money . . . . . 277
XXVIII · Forgeries and the Jews . . . . . 286
XXIX · The Emperor's Word . . . . . 292
XXX · The Post and the Court . . . . . 302

PROCOPIUS · BUILDINGS, BOOK I

I · Hagia Sophia . . . . . 315
II · The Augustaeum and Hagia Irene . . . . . 337

PROCOPIUS · BUILDINGS, BOOK I

*(continued)*

III · The Churches of the Mother of God . . . . . 342
IV · Sergius and Bacchus and the Holy Apostles . . . . . 347
V · The Setting of the City . . . . . 356
VI · The Churches on the Horn . . . . . 360
VII · Saint Irene and the Forty Martyrs . . . . . 365
VIII · The Straits: The Archangel's Churches . . . . . 369
IX · Repentance, and Other Churches . . . . . 374
X · The Chalke and the Senate House . . . . . 380
XI · The Arcadianae, Cisterns, and Hostels . . . . . 387

PAUL THE SILENTIARY · DESCRIPTION OF HAGIA SOPHIA

I · To the Emperor . . . . . 397
II · To the Patriarch . . . . . 403
III · The Rebuilding . . . . . 407
IV · The East End . . . . . 422
V · The West End, the Narthex, and the Great Arches . . . . . 426
VI · The Aisles, the Galleries, and the Marbles . . . . . 433
VII · The Sanctuary and the Lights . . . . . 447
VIII · Envoi . . . . . 461

PROCOPIUS

# ΑΝΕΚΔΟΤΑ

*The Secret History*

## I · THE PURPOSE OF THE BOOK, AND ANTONINA

*Procopius explains that he will now tell what the living tyrants and their spies kept him from telling in the earlier books, and the causes he hid there, so that later tyrants may fear the same exposure. He begins with Belisarius' wife Antonina, the daughter of charioteers and of a theater harlot, who kept her husband bound by sorceries. Belisarius adopts the young Theodosius at his baptism before sailing for Libya, and Antonina falls in love with him on the voyage; Belisarius catches them in an underground room at Carthage and lets himself be persuaded. When the slave Macedonia and two slave boys denounce her at Syracuse, Belisarius orders Theodosius killed, but he flees to Ephesus; Antonina then persuades Belisarius that the charge was false: he recalls Theodosius and hands over Macedonia and the slaves, whose tongues she has cut out and whose bodies she has thrown into the sea, and she later has Constantine put to death for a remark against her. When Theodosius shrinks from Photius, Antonina drives Photius off to Byzantium; Theodosius withdraws to Ephesus as a monk, and she mourns him until Belisarius himself begs the emperor and empress to recall him; Theodosius refuses while Belisarius is in the city, meaning to return to Antonina when he leaves.*

Ὅσα μὲν οὖν Ῥωμαίων τῷ γένει ἐν τοῖς πολέμοις ἄχρι 1
*what-things indeed then of-Romans to-the race in the wars up-to*
δεῦρο ξυνηνέχθη γενέσθαι, τῇδέ μοι δεδιήγηται, ᾗπερ
*this-point happened to-come-about in-this-way by-me have-been-narrated as-far-as*
δυνατὸν ἐγεγόνει τῶν πράξεων τὰς δηλώσεις ἁπάσας
*possible it-had-been of-the deeds the accounts all*
ἐπὶ καιρῶν τε καὶ χωρίων τῶν ἐπιτηδείων ἁρμοσαμένῳ·
*to times both and places the suitable having-fitted*
τὰ δὲ ἐνθένδε οὐκέτι μοι τρόπῳ τῷ εἰρημένῳ
*the-things but hence no-longer by-me in-the-manner the stated*
ξυγκείσεται, ἐπεὶ ἐνταῦθα γεγράψεται πάντα, ὁπόσα δὴ
*will-be-composed since here will-be-written all-things as-many-as indeed*
τετύχηκε γενέσθαι πανταχόθι τῆς Ῥωμαίων ἀρχῆς.
*have-happened to-come-about everywhere of-the of-Romans empire*

2 αἴτιον δέ, ὅτι δὴ οὐχ οἷόν τε ἦν περιόντων ἔτι τῶν
*the-cause and that indeed not possible — it-was while-surviving still those*
αὐτὰ εἰργασμένων ὅτῳ δεῖ ἀναγράφεσθαι τρόπῳ.
*them having-done in-what it-is-necessary to-be-written manner*
οὔτε γὰρ διαλαθεῖν πλήθη κατασκόπων οἷόν τε ἦν οὔτε
*neither for to-escape-notice-of the-crowds of-spies possible — it-was nor*
φωραθέντα μὴ ἀπολωλέναι θανάτῳ οἰκτίστῳ· οὐδὲ γὰρ
*having-been-detected not to-have-perished by-a-death most-pitiable not-even for*
ἐπὶ τῶν συγγενῶν τοῖς γε οἰκειοτάτοις τὸ θαρρεῖν εἶχον.
*in the kinsmen the at-least closest the confidence I-had*
3 ἀλλὰ καὶ πολλῶν τῶν ἐν τοῖς ἔμπροσθεν λόγοις
*but also of-many of-the-things in the earlier books*
εἰρημένων ἀποκρύψασθαι τὰς αἰτίας ἠναγκάσθην. τά
*said to-hide the causes I-was-compelled the-things*
τε οὖν τέως ἄρρητα μείναντα καὶ τῶν ἔμπροσθεν
*and then hitherto unspoken having-remained and of-the-things earlier*
δεδηλωμένων ἐνταῦθά μοι τοῦ λόγου τὰς αἰτίας σημῆναι
*declared here for-me of-the account the causes to-indicate*
δεήσει.
*it-will-be-necessary*
4 Ἀλλά μοι ἐς ἀγώνισιν ἑτέραν ἰόντι χαλεπήν τινα καὶ
*but to-me to a-contest another going difficult some and*
δεινῶς ἄμαχον τῶν Ἰουστινιανῷ τε καὶ Θεοδώρᾳ
*terribly unmanageable of-the-things by-Justinian both and by-Theodora*
βεβιωμένων βαμβαίνειν τε καὶ ἀναποδίζειν ἐπὶ πλεῖστον
*lived-out to-stammer both and to-shrink-back for very-long*
ἐκεῖνο διαριθμουμένῳ ξυμβαίνει, ὅτι δή μοι ταῦτα
*that reckoning happens that indeed by-me these(-things)*
ἐν τῷ παρόντι γεγράψεται τὰ μήτε πιστὰ μήτε
*in the present will-be-written the-things neither credible nor*
εἰκότα φανησόμενα τοῖς ὄπισθεν γενησομένοις, ἄλλως τε
*likely going-to-appear to-those after about-to-be especially —*

ὁπηνίκα ἐπὶ μέγα ῥεύσας ὁ χρόνος παλαιοτέραν τὴν
*when to great having-flowed the time older the*
ἀκοὴν ἀπεργάζεται, δέδοικα μὴ καὶ μυθολογίας ἀποίσομαι
*report makes I-fear lest also of-fable I-will-carry-off*
δόξαν κἀν τοῖς τραγῳδοδιδασκάλοις τετάξομαι.
*a-reputation and-among the tragic-poets I-will-be-ranked*
ἐκείνῳ μέντοι τὸ θαρρεῖν ἔχων οὐκ ἀποδειλιάσω τὸν 5
*in-that however the confidence having not I-will-shrink-from the*
ὄγκον τοῦ ἔργου, ὥς μοι οὐκ ἀμαρτύρητος ὁ λόγος
*bulk of-the task since for-me not unattested the account*
ἐστίν. οἱ γὰρ νῦν ἄνθρωποι δαημονέστατοι μάρτυρες
*is the for now men most-knowing witnesses*
τῶν πράξεων ὄντες ἀξιόχρεῳ παραπομποὶ ἐς τὸν ἔπειτα
*of-the deeds being trustworthy transmitters to the thereafter*
χρόνον τῆς ὑπὲρ αὐτῶν πίστεως ἔσονται.
*time of-the about them credibility will-be*
Καίτοι με καὶ ἄλλο τι ἐς λόγον τόνδε ὀργῶντα 6
*and-yet me also another something to account this eager*
πολλάκις ἐπὶ πλεῖστον ἀνεχαίτισε χρόνον. ἐδόξαζον γὰρ
*many-times for very-long restrained time I-thought for*
τοῖς ἐς τὸ ἔπειτα γενησομένοις ἀξύμφορον ἔσεσθαι τοῦτό
*to-those in the thereafter about-to-be unprofitable to-be this*
γε, ἐπεὶ τῶν ἔργων τὰ πονηρότατα μάλιστα ξυνοίσει
*at-least since of-the deeds the most-wicked most would-be-expedient*
ἄγνωστα χρόνῳ τῷ ὑστέρῳ εἶναι, ἢ τοῖς τυράννοις ἐς
*unknown to-time the later to-be than to-the tyrants into*
ἀκοὴν ἥκοντα ζηλωτὰ γίνεσθαι.
*hearing coming enviable to-become*
τῶν γὰρ κρατούντων ἀεὶ τοῖς πλείστοις εὔπορος ὑπὸ 7
*of-the for ruling-ones always to-the most easy through*
ἀμαθίας ἡ ἐς τῶν προγεγενημένων τὰ κακὰ μίμησις, καὶ
*ignorance the in of-the predecessors the evils imitation and*

πρὸς τὰ ἡμαρτημένα τοῖς παλαιοτέροις ῥᾷόν τε καὶ
*toward the errors by-the older-ones more-easily both and*
ἀπονώτερον ἐς ἀεὶ τρέπονται.
*with-less-toil for ever they-turn*

8 ἀλλά με ὕστερον ἐς τῶνδε τῶν ἔργων τὴν ἱστορίαν
*but me later to of-these the deeds the history*
τοῦτο ἤνεγκεν, ὅτι δὴ τοῖς ἐς τὸ ἔπειτα τυραννήσουσιν
*this brought that indeed to-those in the thereafter about-to-tyrannize*
ἔνδηλον ἔσται ὡς μάλιστα μὲν καὶ τὴν τίσιν αὐτοὺς
*plain will-be that most indeed also the punishment them*
τῶν ἁμαρτανομένων περιελθεῖν οὐκ ἀπεικὸς εἴη, ὅπερ
*of-the sins to-overtake not unlikely would-be which*
καὶ τοῖσδε τοῖς ἀνθρώποις ξυνηνέχθη παθεῖν· ἔπειτα δὲ
*also these the men happened to-suffer then and*
καὶ ἀνάγραπτοι αὐτῶν αἱ πράξεις καὶ οἱ τρόποι ἐς ἀεὶ
*also recorded their the deeds and the manners for ever*
ἔσονται, ἀπ᾽ αὐτοῦ τε ἴσως ὀκνηρότερον παρανομήσουσι.
*will-be from it and perhaps more-hesitantly they-will-transgress*

9 τίς γὰρ ἂν τὸν Σεμιράμιδος ἀκόλαστον βίον ἢ τὴν
*who for — the of-Semiramis licentious life or the*
Σαρδαναπάλου καὶ Νέρωνος μανίαν τῶν ἐπιγενομένων
*of-Sardanapalus and of-Nero madness of-the later*
ἀνθρώπων ἔγνω, εἰ μὴ τοῖς τότε γεγραφόσι τὰ
*men would-have-known if not by-those then having-written the*
μνημεῖα ταῦτα ἐλέλειπτο; ἄλλως τε καὶ τοῖς τὰ ὅμοια
*memorials these had-been-left especially — also to-those the like-things*
πεισομένοις, ἂν οὕτω τύχοι, πρὸς τῶν τυράννων οὐκ
*about-to-suffer — so it-might-happen from the tyrants not*
ἀκερδὴς αὕτη παντάπασιν ἡ ἀκοὴ ἔσται.
*unprofitable this altogether the report will-be*

παραμυθεῖσθαι γὰρ οἱ δυστυχοῦντες εἰώθασι τῷ μὴ 10
*to-console-themselves for those being-unfortunate are-accustomed by-the not*
μόνοις σφίσι τὰ δεινὰ ξυμπεσεῖν. διά τοι ταῦτα
*alone to-them the terrible-things to-have-befallen because-of indeed these(-things)*
πρῶτα μὲν ὅσα Βελισαρίῳ μοχθηρὰ εἴργασται ἐρῶν
*first indeed as-much-as by-Belisarius wicked has-been-done going-to-tell*
ἔρχομαι· ὕστερον δὲ καὶ ὅσα Ἰουστινιανῷ καὶ Θεοδώρᾳ
*I-come later and also as-much-as by-Justinian and by-Theodora*
μοχθηρὰ εἴργασται ἐγὼ δηλώσω.
*wicked has-been-done I will-make-plain*
Ἦν τῷ Βελισαρίῳ γυνή, ἧς δὴ ἐν τοῖς ἔμπροσθεν 11
*there-was — to-Belisarius a-wife whom indeed in the earlier*
λόγοις ἐμνήσθην, πάππου μὲν καὶ πατρὸς ἡνιόχων, ἔν τε
*books I-mentioned of-grandfather indeed and of-father charioteers in both*
Βυζαντίῳ καὶ Θεσσαλονίκῃ τὸ ἔργον τοῦτο ἐνδειξαμένων,
*Byzantium and Thessalonica the work this having-displayed*
μητρὸς δὲ τῶν τινος ἐν θυμέλῃ πεπορνευμένων.
*of-mother and of-the one in theater having-played-the-harlot*
αὕτη τὰ πρότερα μάχλον τινὰ βιώσασα βίον καὶ τὸν 12
*she the earlier-times lewd some having-lived life and the*
τρόπον ἐξερρωγυῖα, φαρμακεῦσί τε πατρῴοις πολλὰ
*manner having-broken-loose with-poisoners and paternal much*
ὠμιληκυῖα, καὶ τὴν μάθησιν τῶν οἱ ἀναγκαίων
*having-consorted and the learning of-the-things for-her necessary*
ποιησαμένη, ἐγγυητὴ ὕστερον Βελισαρίῳ γυνὴ γέγονε,
*having-made betrothed later to-Belisarius wife became*
μήτηρ ἤδη παίδων γενομένη πολλῶν.
*mother already of-children being many*
εὐθὺς μὲν οὖν ἠξίου μοιχεύτρια τὸ ἐξ ἀρχῆς εἶναι, 13
*at-once indeed then she-resolved an-adulteress the from beginning to-be*
ξυγκαλύπτειν μέντοι τοὔργον τοῦτο ἐν σπουδῇ εἶχεν,
*to-conceal however the-deed this in earnestness she-had*

οὐ καταδυομένη τοῖς οἰκείοις ἐπιτηδεύμασιν, οὐδέ τι
*not being-abashed at-the own practices nor anything*
πρὸς τοῦ ξυνοικοῦντος δειμαίνουσα δέος (οὔτε γὰρ
*from the cohabiting-husband fearing fear neither for*
αἰδῶ τινα ἔργου ὁτουοῦν ἔλαβε πώποτε καὶ τὸν ἄνδρα
*shame any of-deed whatever she-took ever and the husband*
μαγγανείαις πολλαῖς κατείληφεν), ἀλλὰ τὴν ἐκ τῆς
*by-sorceries many she-had-seized but the from the*
βασιλίδος ὑποπτεύουσα τίσιν. λίαν γὰρ ἐς αὐτὴν ἡ
*empress fearing punishment very for against her —*
Θεοδώρα ἠγριαίνετό τε καὶ ἐσεσήρει.
*Theodora was-savage both and snarled*

14 ἐπεὶ δὲ αὐτὴν ἐν τοῖς ἀναγκαιοτάτοις ὑπουργήσασα χειροήθη
*when and her in the most-necessary-things having-served tame*
πεποίηται, πρῶτα μὲν Σιλβέριον διαχρησαμένη τρόπῳ
*she-had-made first indeed Silverius having-destroyed in-the-manner*
ᾧπερ ἐν τοῖς ὄπισθεν λόγοις εἰρήσεται, ὕστερον δὲ Ἰωάννην
*which in the later books will-be-told later and John*
κατεργασαμένη τὸν Καππαδόκην, ὥσπερ μοι ἐν τοῖς
*having-undone the Cappadocian as by-me in the*
ἔμπροσθεν λόγοις ἐρρήθη, ἐνταῦθα δὴ ἀδεέστερόν τε καὶ
*earlier books was-told then indeed more-fearlessly both and*
οὐκέτι ἀποκρυπτομένη ἅπαντα ἐξαμαρτάνειν οὐδαμῇ ἀπηξίου.
*no-longer concealing-herself all-things to-sin in-no-way she-disdained*

15 Ἦν δέ τις νεανίας ἐκ Θρᾴκης ἐν τῇ Βελισαρίου
*there-was and a-certain youth from Thrace in the of-Belisarius*
οἰκίᾳ, Θεοδόσιος τοὔνομα, δόξης γεγονὼς ἐκ πατέρων
*house Theodosius by-name of-belief being from parents*
Εὐνομιανῶν καλουμένων.
*Eunomians called*

τοῦτον, ἡνίκα ἐς Λιβύην ἀποπλεῖν ἔμελλεν, ἔλουσε μὲν ὁ 16
*him when to Libya to-sail-off he-was-about bathed indeed —*
Βελισάριος τὸ θεῖον λουτρὸν καὶ χερσὶν ἀνελόμενος ἐνθένδε
*Belisarius the divine bath and in-hands having-taken-up thence*
οἰκείαις εἰσποιητὸν ἐποιήσατο ξὺν τῇ γυναικὶ παῖδα, ᾗπερ
*own adopted made with the wife child as*
εἰσποιεῖσθαι Χριστιανοῖς νόμος, καὶ ἀπ᾽ αὐτοῦ ἡ Ἀντωνίνα
*to-adopt for-Christians custom and from it — Antonina*
τὸν Θεοδόσιον ἅτε παῖδα ὄντα ἱερῷ λόγῳ ἠγάπα τε ὡς τὸ
*— Theodosius as child being by-sacred word loved and as the*
εἰκὸς κἀν τοῖς μάλιστα ἐπιμελομένη ἀμφ᾽ αὐτὴν εἶχεν.
*likely and-among the most caring around herself kept*
εὐθύς τε ἐρασθεῖσα αὐτοῦ ἐκτόπως ἐν τῷ διάπλῳ 17
*at-once and having-fallen-in-love-with him extraordinarily in the voyage*
τούτῳ καὶ κατακορὴς γεγονυῖα τῷ πάθει ἀπεσείσατο μὲν
*this and sated having-become with-the passion she-shook-off indeed*
θείων τε καὶ ἀνθρωπίνων πραγμάτων δέος τε καὶ αἰδῶ
*of-divine both and of-human things fear both and shame*
ξύμπασαν, ἐμίγνυτο δὲ αὐτῷ τὰ μὲν πρῶτα ἐν παραβύστῳ,
*all she-lay-with and him the indeed first in secret*
τελευτῶσα δὲ καὶ οἰκετῶν καὶ θεραπαινίδων παρόντων.
*finally but both servants and handmaids being-present*
κάτοχος γὰρ ἤδη τῷ πόθῳ τούτῳ γεγενημένη καὶ διαφανῶς 18
*possessed for already by-the longing this having-become and plainly*
ἐρωτόληπτος οὖσα οὐδὲν ἔτι τοῦ ἔργου κώλυμα ἔβλεπε.
*love-smitten being nothing any-longer of-the deed hindrance she-saw*
καί ποτε ὁ Βελισάριος ἐπ᾽ αὐτοφώρῳ τὴν πρᾶξιν λαβὼν
*and once — Belisarius in the-very-act the deed having-caught*
ἐν Καρχηδόνι ἐξηπάτητο πρὸς τῆς γυναικὸς ἑκών γε εἶναι.
*in Carthage was-deceived by the wife willingly at-least to-be*

19 ὁ μὲν γὰρ ἄμφω ἐν δωματίῳ καταγείῳ εὑρὼν ἐμεμήνει,
*he indeed for both in a-room underground having-found was-maddened*
ἡ δὲ οὔτε ἀποδειλιάσασα οὔτε καταδυσαμένη τῷ ἔργῳ
*she but neither having-shrunk nor having-been-abashed at-the deed*
τούτῳ, "Ἐνταῦθα", ἔφη, "τῶν λαφύρων τὰ τιμιώτατα
*this here she-said of-the spoils the most-precious*
σὺν τῷ νεανίᾳ κρύψουσα ἦλθον, ὡς μὴ ἐς βασιλέα
*with the youth to-hide I-came so-that not to the-emperor*
ἔκπυστα γένηται".
*known they-might-become*

20 ἡ μὲν οὖν ταῦτα σκηπτομένη εἶπεν, ὁ δὲ ἀναπεισθῆναι
*she indeed then these(-things) pretending said he and to-be-persuaded*
δόξας ἀφῆκε, καίπερ τῷ Θεοδοσίῳ ἐκλελυμένον τὸν ἱμάντα
*seeming let-go although — for-Theodosius loosened the strap*
ὁρῶν τὸν ἀμφὶ τὰ αἰδοῖα τὰς ἀναξυρίδας ξυνδέοντα.
*seeing the about the privates the trousers binding*
ἔρωτι γὰρ τῆς ἀνθρώπου ἀναγκασθεὶς ἐβούλετό οἱ τὴν
*by-love for of-the woman compelled he-wished for-him the*
τῶν οἰκείων ὀφθαλμῶν θέαν ὡς ἥκιστα ἀληθίζεσθαι.
*of-the own eyes sight as least to-tell-the-truth*

21 τῆς δὲ μαχλοσύνης ἀεὶ προϊούσης ἐς κακὸν ἄφατον οἱ
*of-the and lewdness always advancing to evil unspeakable the*
μὲν ἄλλοι θεώμενοι τὰ πραττόμενα ἐν σιωπῇ εἶχον,
*indeed others beholding the-things being-done in silence held*
δούλη δέ τις Μακεδονία ὄνομα ἐν Συρακούσαις, ἡνίκα
*a-slave-girl but a-certain Macedonia by-name in Syracuse when*
Σικελίας ἐκράτησε Βελισάριος, ὅρκοις δεινοτάτοις τὸν
*Sicily conquered Belisarius by-oaths most-terrible the*
δεσπότην καταλαβοῦσα, μή ποτε αὐτὴν τῇ κεκτημένῃ
*master having-bound not ever her to-the mistress*
καταπροήσεσθαι, τὸν πάντα αὐτῷ λόγον ἐξήνεγκε, δύο
*to-betray the whole to-him story brought-out two*

παιδάρια πρὸς μαρτυρίαν παρασχομένη, οἷς δὴ τὰ
*slave-boys for testimony having-produced to-whom indeed the-things*
ἀμφὶ τὸν κοιτῶνα ὑπηρετεῖν ἐπιμελὲς ἦν.
*about the bedchamber to-serve a-care was*
ταῦτα μαθὼν Βελισάριος τῶν οἱ ἑπομένων τινὰς 22
*these(-things) having-learned Belisarius of-the for-him attendants some*
τὸν Θεοδόσιον ἐκέλευσε διαχειρίσασθαι.
*— Theodosius ordered to-kill*
ὁ δὲ προμαθὼν εἰς Ἔφεσον φεύγει. τῶν γὰρ 23
*he but having-learned-beforehand to Ephesus flees of-the for*
ἑπομένων οἱ πλεῖστοι τῷ ἀβεβαίῳ τῆς τοῦ ἀνθρώπου
*attendants the most by-the instability of-the of-the man*
γνώμης ἠγμένοι ἀρέσκειν τὴν γυναῖκα μᾶλλον ἐν σπουδῇ
*mind led to-please the wife rather in earnestness*
εἶχον ἢ τῷ ἀνδρὶ δοκεῖν εὐνοϊκῶς ἔχειν, οἵ γε καὶ
*held than to-the husband to-seem well-disposed to-be who at-least also*
τὰ σφίσιν ἐπικείμενα τότε ἀμφ᾽ αὐτῷ προὔδοσαν.
*the-things to-them enjoined then about him betrayed*
Κωνσταντῖνος δὲ Βελισάριον ὁρῶν περιώδυνον γεγονότα 24
*Constantine but Belisarius seeing grief-stricken having-become*
τοῖς ξυμπεσοῦσι, τά τε ἄλλα ξυνήλγει καὶ τοῦτο
*at-the-things having-befallen the-things both other sympathized and this*
ἐπεῖπεν ὡς “Ἔγωγε θᾶσσον ἂν τὴν γυναῖκα ἢ τὸν
*added that I sooner — the wife than the*
νεανίαν κατειργασάμην”.
*youth would-have-killed*
ὅπερ Ἀντωνίνα μαθοῦσα, κεκρυμμένως αὐτῷ ἐχαλέπαινεν, 25
*which Antonina having-learned secretly with-him was-angry*
ὅπως ἔγκοτα ἐνδείξηται τὸ εἰς αὐτὸν ἔχθος.
*so-that rancorous she-might-show the toward him hatred*

26 ἦν γὰρ σκορπιώδης τε καὶ ὀργὴν σκοτεινή. οὐ πολλῷ
*she-was for scorpion-like both and in-anger dark not much*
δὲ ὕστερον ἢ μαγγανεύσασα ἢ θωπεύσασα πείθει τὸν
*and later either having-bewitched or having-flattered persuades the*
ἄνδρα ὡς οὐχ ὑγιὲς τὸ κατηγόρημα τὸ ταύτης γένοιτο·
*husband that not sound the accusation the against-her was*
καὶ ὃς Θεοδόσιον μὲν μελλήσει οὐδεμιᾷ μετεπέμψατο,
*and he Theodosius indeed with-delay no summoned*
Μακεδονίαν δὲ καὶ τὰ παιδία τῇ γυναικὶ ἐκδοῦναι ὑπέστη.
*Macedonia but and the slaves to-the wife to-hand-over undertook*
27 οὓς δὴ ἅπαντας πρῶτα τὰς γλώττας, ὥσπερ λέγουσιν,
*whom indeed all first the tongues as they-say*
ἀποτεμοῦσα, εἶτα κατὰ βραχὺ κρεουργήσασα καὶ θυλακίοις
*having-cut-out then into small-pieces having-cut-up and into-sacks*
ἐμβεβλημένη ἐς τὴν θάλατταν ὀκνήσει οὐδεμιᾷ ἔρριψε, τῶν
*having-thrown into the sea with-hesitation no threw of-the*
τινος οἰκετῶν Εὐγενίου ὄνομα ὑπουργήσαντός οἱ ἐς ἅπαν τὸ
*one of-servants Eugenius by-name having-assisted her in all the*
ἄγος, ᾧ δὴ καὶ τὸ ἐς Σιλβέριον εἴργασται μίασμα.
*crime by-whom indeed also the against Silverius has-been-done pollution*
28 καὶ Κωνσταντῖνον δὲ οὐ πολλῷ ὕστερον Βελισάριος τῇ
*and Constantine too not much later Belisarius by-the*
γυναικὶ ἀναπεισθεὶς κτείνει. τὰ γὰρ ἀμφὶ τῷ Πραισιδίῳ
*wife persuaded kills the-things for about — Praesidius*
καὶ τοῖς ξιφιδίοις τηνικάδε ξυνηνέχθη γενέσθαι ἅπερ μοι
*and the daggers at-that-time happened to-come-about which by-me*
ἐν τοῖς ἔμπροσθεν λόγοις δεδήλωται.
*in the earlier books have-been-shown*

μέλλοντος γὰρ τοῦ ἀνθρώπου ἀφίεσθαι, οὐ πρότερον 29
*being-about for the man to-be-released not before*
ἀνῆκεν ἡ Ἀντωνίνα, ἕως αὐτὸν τοῦ λόγου ἐτίσατο, οὗπερ
*gave-up — Antonina until him for-the word she-punished which*
ἐγὼ ἀρτίως ἐμνήσθην.
*I just-now mentioned*
καὶ ἀπ᾽ αὐτοῦ ἔχθος μέγα περιεβάλλετο ὁ Βελισάριος ἔκ 30
*and from it hatred great incurred — Belisarius from*
τε βασιλέως καὶ τῶν ἐν Ῥωμαίοις λογίμων ἁπάντων.
*both of-emperor and of-the among Romans notables all*
Ταῦτα μὲν οὖν τῇδε κεχώρηκε. Θεοδόσιος δὲ οὐκ 31
*these(-things) indeed then in-this-way have-gone Theodosius but not*
ἔφη ἐς Ἰταλίαν ἀφίξεσθαι οἷός τε εἶναι, ἵνα δὴ τότε
*said to Italy to-come able — to-be where indeed then*
διατριβὴν εἶχον Βελισάριός τε καὶ Ἀντωνίνα, ἢν μὴ
*stay had Belisarius both and Antonina if not*
Φώτιος ἐκποδὼν γένηται.
*Photius out-of-the-way becomes*
ὁ γὰρ Φώτιος πρόχειρος μὲν φύσει ἐς τὸ δάκνεσθαι 32
*— for Photius ready indeed by-nature to the to-be-stung*
ἦν, ἤν τις αὐτοῦ παρ᾽ ὁτῳοῦν δύνηται μᾶλλον, ἐν
*was if anyone than-him beside whomever may-have-power more in*
μέντοι τοῖς ἀμφὶ Θεοδοσίῳ καὶ δικαίως ἀποπνίγεσθαί
*however the-things concerning Theodosius also justly to-be-choked*
οἱ ξυνέβαινεν, ὅτι δὴ αὐτὸς μὲν καίπερ υἱὸς ὢν ἐν
*for-him it-happened because indeed he indeed although son being in*
οὐδενὶ ἐγίγνετο λόγῳ, ὁ δὲ δυνάμει τε πολλῇ ἐχρῆτο
*no was account the-other but power both much used*
καὶ χρήματα μεγάλα περιεβάλλετο.
*and money great amassed*

33 λέγουσι γὰρ αὐτὸν ἐκ Καρχηδόνος τε καὶ Ῥαβέννης ἐς
*they-say for him from Carthage both and Ravenna to*
ἑκατὸν κεντηνάρια ἐξ ἀμφοῖν Παλατίοιν συλήσαντα ἔχειν,
*a-hundred centenaria from both Palaces having-plundered to-have*
ἐπεὶ καὶ μόνῳ κατ᾽ ἐξουσίαν διαχειρίσαι ταῦτα ξυνέβη.
*since also to-him-alone with authority to-handle these(-things) it-happened*
34 ἡ δὲ Ἀντωνίνα ἐπεὶ τὴν Θεοδοσίου γνώμην ἔμαθεν, οὐ
*— but Antonina when the of-Theodosius intention learned not*
πρότερον ἀνῆκεν ἐνεδρεύουσά τε τὸν παῖδα καὶ φονίοις
*before gave-up laying-ambushes-for both the boy and with-murderous*
τισὶν ἐπιβουλαῖς αὐτὸν μετιοῦσα, ἕως καταπράξασθαι
*certain plots him pursuing until to-accomplish*
ἴσχυσεν αὐτὸν μὲν ἐνθένδε ἀπαλλαγέντα ἐς Βυζάντιον
*she-was-able him indeed thence having-departed to Byzantium*
ὁδῷ ἰέναι, οὐκέτι φέρειν τὰς ἐνέδρας οἷόν τε ὄντα,
*on-the-road to-go no-longer to-bear the ambushes able — being*
τὸν δὲ Θεοδόσιον ἐς τὴν Ἰταλίαν παρ᾽ αὐτὴν ἥκειν.
*— but Theodosius to — Italy to her to-come*
35 οὗ δὴ κατακόρως τῆς τε τοῦ ἐρωμένου διατριβῆς καὶ
*where indeed to-satiety of-the both of-the lover's company and*
τῆς τοῦ ἀνδρὸς εὐηθείας ἀποναμένη χρόνῳ ὕστερον ξὺν
*of-the of-the husband's simplicity having-enjoyed in-time later with*
ἀμφοῖν ἐς Βυζάντιον ἧκεν.
*both to Byzantium came*
36 ἔνθα δὴ Θεοδόσιον ἐδεδίσσετο τὸ συνειδέναι καὶ ἔστρεφεν
*there indeed Theodosius frightened the to-be-conscious and twisted*
αὐτοῦ τὴν διάνοιαν. λήσειν γὰρ ἐς τὸ παντελὲς
*his the mind to-escape-notice for into the completely*
οὐδαμῇ ᾤετο, ἐπεὶ τὴν γυναῖκα ἑώρα οὐκέτι τὸ πάθος
*in-no-way he-thought since the woman he-saw no-longer the passion*
ἐγκρυφιάζειν οἵαν τε οὖσαν, οὐδὲ κεκρυμμένως ἐξερρωγέναι,
*to-hide able — being nor secretly to-have-broken-out*

ἀλλὰ διαρρήδην μοιχαλίδα εἶναί τε καὶ ὀνομάζεσθαι ὡς
*but openly an-adulteress to-be both and to-be-called as*
ἥκιστα ἀπαξιοῦσαν.
*least disdaining*
διὸ δὴ αὖθις ἐς τὴν Ἔφεσον ἀφικόμενος καὶ 37
*wherefore indeed again to — Ephesus having-come and*
ἀποθριξάμενος ἥπερ εἴθισται ἐνέγραψεν εἰς τοὺς
*having-shorn-his-hair as it-is-customary enrolled among the*
μοναχοὺς καλουμένους αὐτόν.
*monks called himself*
τότε δὴ κατ᾽ ἄκρας ἐμάνη καὶ τὴν ἐσθῆτα ξὺν τῇ διαίτῃ 38
*then indeed from top-to-bottom she-raved and the clothing with the way-of-life*
ἐς τρόπον μεταβαλοῦσα τὸν πένθιμον περιήει συχνὰ κατὰ
*to manner having-changed the mourning went-about constantly throughout*
τὴν οἰκίαν κωκύουσα, ὀλολυγῇ τε κεχρημένη ὠλοφύρετο
*the house wailing with-shrieking and using lamented*
οὐκ ἀπολελειμμένου τἀνδρός, ὁποῖον αὐτῇ ἀγαθὸν ὠλώλει,
*not being-away the-husband what-a to-her good-one had-perished*
ὡς πιστόν, ὡς εὔχαριν, ὡς εὐνοϊκόν, ὡς δραστήριον.
*how faithful how charming how kindly how energetic*
τελευτῶσα δὲ καὶ τὸν ἄνδρα ἐς ταύτας δὴ ἐπαγαγομένη 39
*finally and also the husband into these indeed having-drawn*
τὰς ὀλοφύρσεις ἐκάθισεν. ἔκλαε γοῦν ὁ ταλαίπωρος
*the lamentations she-sat-down wept at-any-rate the wretch*
τὸν ποθεινὸν ἀνακαλῶν Θεοδόσιον.
*the longed-for calling-back Theodosius*
ὕστερον δὲ καὶ εἰς βασιλέα ἐλθών, αὐτόν τε καὶ τὴν 40
*later and also to the-emperor having-gone him both and the*
βασιλίδα ἱκετεύων, ἀνέπεισε Θεοδόσιον μεταπέμψασθαι ἅτε
*empress beseeching persuaded Theodosius to-summon since*
ἀναγκαῖον αὐτῷ κατὰ τὴν οἰκίαν ὄντα τε καὶ ἐσόμενον.
*necessary to-him in the house being both and going-to-be*

41 ἀλλὰ Θεοδόσιος ἀπεῖπε μηδαμῇ ἐνθένδε ἰέναι, ὡς
*but Theodosius refused in-no-way thence to-go as*
ἀσφαλέστατα ἐμπεδώσειν ἰσχυρισάμενος τὸ τῶν μοναχῶν
*most-securely to-keep having-insisted the of-the monks*
ἐπιτήδευμα.
*practice*

42 ἦν δὲ ἄρα ὁ λόγος κατάπλαστος, ὅπως ἐπειδὰν τάχιστα
*was but then the talk fabricated so-that when soonest*
Βελισάριος ἐκ Βυζαντίου ἀποδημοίη, αὐτὸς παρὰ τὴν
*Belisarius from Byzantium might-be-abroad he to —*
Ἀντωνίναν ἀφίκηται λάθρα. ὅπερ οὖν καὶ ἐγένετο.
*Antonina might-come secretly which then also happened*

## II · PHOTIUS' OATH, AND THE PERSIAN CAMPAIGN

*Antonina stays behind when Belisarius marches against Chosroes, sets men to torment Photius, and plans to meet Theodosius again. Photius brings Belisarius a man from Byzantium who tells of the affair, and Belisarius falls at Photius' feet and begs him to avenge him; the two swear the most terrible oaths never to betray each other. Antonina meanwhile deceives John the Cappadocian and his daughter with oaths and sends Theodosius to Ephesus. The news that she is coming east reaches Belisarius just as he has taken the fortress of the Sisauranians, and he turns back to catch her, though he could have reached Ctesiphon; all the Romans blame him. Chosroes, whose army is wasting in Lazica, calms his mutinous nobles by reading them a letter from Theodora to Zabergan, and withdraws unmolested.*

1 Αὐτίκα γὰρ Βελισάριος μὲν ὡς Χοσρόῃ πολεμήσων
*at-once for Belisarius indeed as against-Chosroes going-to-make-war*
ξὺν τῷ Φωτίῳ ἐστέλλετο, Ἀντωνίνα δὲ αὐτοῦ ἔμεινεν, οὐκ
*with — Photius was-dispatched Antonina but there remained not*
εἰωθὸς αὐτῇ πρότερον τοῦτό γε.
*customary for-her before this at-least*

τοῦ γὰρ μὴ κατὰ μόνας τὸν ἄνθρωπον καθιστάμενον ἐν αὑτῷ 2
*— for not — alone the man being-set in himself*
τε γενέσθαι καὶ τῶν ἐκείνης μαγγανευμάτων ὀλιγωροῦντα
*and to-come and of-the her sorceries making-light*
φρονῆσαί τι ἀμφ᾽ αὐτῇ τῶν δεόντων, πανταχόσε
*to-think anything about her of-the-things needful everywhere*
τῆς γῆς ξὺν αὐτῷ στέλλεσθαι ἐπιμελές οἱ ἐγίνετο.
*of-the earth with him to-be-dispatched a-care to-her was*
ὅπως δὲ καὶ αὖθις Θεοδοσίῳ παρὰ Ἀντωνίναν ἐσιτητὰ 3
*so-that but also again for-Theodosius to Antonina access*
εἴη, Φώτιον ἐκποδών οἱ γενέσθαι ἐν σπουδῇ ἐποιεῖτο.
*might-be Photius out-of-the-way for-her to-become in earnestness she-made*
πείθει τοίνυν τῶν Βελισαρίῳ ἑπομένων τινὰς ἐρεσχελεῖν 4
*she-persuades therefore of-those for-Belisarius following some to-tease*
τε αὐτὸν ἐς ἀεὶ καὶ προπηλακίζειν, οὐδένα ἀνιέντας
*both him for ever and to-insult no letting-go*
καιρόν· αὐτή τε γράφουσα ἐς ἡμέραν σχεδόν τι ἑκάστην
*occasion she and writing to day almost — each*
διέβαλλέ τε διηνεκὲς καὶ ἐπὶ τῷ παιδὶ πάντα ἐκίνει.
*slandered and continually and against the son all-things she-stirred*
οἷς δὴ ὁ νεανίας ἀναγκασθεὶς διαβόλως ἔγνω τῇ 5
*by-which indeed the youth compelled slanderously resolved the*
μητρὶ χρῆσθαι, ἥκοντά τέ τινα ἐκ Βυζαντίου, ὃς δὴ
*mother to-treat having-come and a-certain from Byzantium who indeed*
ἀπήγγελλε Θεοδόσιον λάθρα ξὺν Ἀντωνίνῃ διατριβὴν ἔχειν,
*reported Theodosius secretly with Antonina a-stay to-have*
παρὰ Βελισάριον εὐθὺς εἰσάγει, φράζειν ἐπιστείλας τὸν
*to Belisarius at-once brings-in to-tell having-instructed the*
πάντα λόγον.
*whole story*

6 ἅπερ ἐπεὶ ὁ Βελισάριος ἔγνω, ὀξυθυμωθεὶς ὑπερφυῶς
*which when — Belisarius learned having-been-enraged exceedingly*
παρὰ τοὺς Φωτίου πόδας ἐπὶ στόμα πίπτει, καὶ αὐτοῦ
*at the of-Photius feet on face falls and him*
ἐδεῖτο τιμωρεῖν οἱ αὐτῷ πάσχοντι ὑφ᾽ ὧν ἥκιστα
*begged to-avenge for-him him suffering by whom least*
χρῆν ἀνόσια ἔργα “Ὦ παῖ” λέγων “γλυκύτατε, πατέρα
*it-ought unholy deeds O child saying sweetest father*
μὲν τὸν σὸν ὅστις ποτὲ ἦν οὐδαμῇ οἶσθα, ἐπεί σε
*indeed the your whoever ever was in-no-way you-know since you*
ὑπὸ τιτθοῦ τρεφόμενον ἔτι καταλιπὼν ξυνεμετρήσατο τὸν
*by a-nurse being-nourished still having-left he-measured-out the*
ἑαυτοῦ βίον, οὐ μὴν οὐδέ του τῶν αὐτοῦ ὤνησαι. ἦν
*his-own life not indeed not-even of-any of-the his-things you-benefited was*
γὰρ τὰ ἐς τὴν οὐσίαν οὐ λίαν εὐδαίμων.
*for the-things in the property not very prosperous*

7 ὑπ᾽ ἐμοὶ δὲ καίπερ ὄντι πατρωῷ τραφείς, τήν τε
*by me and although being stepfather having-been-reared the and*
ἡλικίαν τηλικόσδε εἶ, ὡς σὸν εἶναι ἀμύνειν ἀδικουμένῳ
*age of-such-an-age you-are as yours to-be to-defend being-wronged*
μοι ἐς τὰ μάλιστα, ἔς τε ὑπάτων ἀξίωμα ἥκεις καὶ
*me to the most to and of-consuls rank you-have-come and*
πλούτου περιβέβλησαι τοσόνδε χρῆμα, ὥστε πατήρ τε
*of-wealth you-have-been-surrounded so-great a-sum that father both*
καὶ μήτηρ καὶ τὸ ξυγγενὲς ἅπαν ἔγωγε καλοίμην ἄν,
*and mother and the kin all I would-be-called —*
ὦ γενναῖε, καὶ εἴην δικαίως.
*O noble-one and would-be justly*

8 οὐχ αἵματι γάρ, ἀλλὰ τοῖς ἔργοις εἰώθασι δῆτα
*not by-blood for but by-the deeds are-accustomed indeed*
σταθμᾶσθαι τὴν ἐς ἀλλήλους στοργὴν ἄνθρωποι.
*to-weigh the toward one-another affection men*

ὥρα σοι τοίνυν μὴ περιιδεῖν ἐμὲ μὲν πρὸς τῇ τῆς 9
*it-is-time for-you therefore not to-overlook me indeed besides the of-the*
οἰκίας διαφθορᾷ καὶ χρημάτων ἐστερημένον τοσούτων
*house ruin also of-money deprived so-great*
τὸ πλῆθος, τὴν δὲ μητέρα τὴν σὴν αἶσχος ἀναδουμένην
*the amount the but mother the your disgrace binding-on*
οὕτω δὴ μέγα πρὸς πάντων ἀνθρώπων.
*thus indeed great before all men*
ἐνθυμοῦ τε ὡς αἱ τῶν γυναικῶν ἁμαρτάδες οὐκ ἐπὶ τοὺς 10
*consider and that the of-the women sins not upon the*
ἄνδρας ἴενται μόνον, ἀλλὰ καὶ παίδων ἅπτονται μᾶλλον,
*husbands go only but also children touch rather*
οὕς γε καὶ δόξαν τινὰ φέρεσθαι ἐκ τοῦ ἐπὶ πλεῖστον
*whom at-least also reputation some to-carry from the for most*
συμβήσεται, ὡς φύσει τὸν τρόπον ταῖς γειναμέναις ἐοίκασιν.
*it-will-happen that by-nature the character to-the having-borne they-resemble*
οὑτωσί τε λογίζου περὶ ἐμοῦ, ὡς ἐγὼ τὴν γυναῖκα τὴν 11
*thus and reckon about me that I the wife the*
ἐμαυτοῦ πάνυ μὲν φιλῶ, καὶ ἤν μοι τίσασθαι τὸν διαφθορέα
*my-own very indeed love and if for-me to-punish the corrupter*
τῆς οἰκίας ἐξῇ, οὐδὲν αὐτὴν ἐργάσομαι φαῦλον, περιόντος
*of-the house be-allowed nothing her I-will-do bad surviving*
δὲ Θεοδοσίου ταύτῃ τὸ ἔγκλημα ἐπιχωρεῖν οὐκ ἂν δυναίμην."
*but Theodosius to-her the charge to-forgive not — I-could*
Ταῦτα ἀκούσας ὁ Φώτιος ὑπηρετήσειν μὲν ὡμολόγει 12
*these(-things) having-heard — Photius to-serve indeed agreed*
ἐς ἅπαντα, δεδιέναι δὲ μή τι λάβοι ἐνθένδε κακόν, τὸ
*in all-things to-fear but lest some he-might-take thence harm the*
θαρσεῖν ἐπὶ τῷ ἀβεβαίῳ τῆς Βελισαρίου γνώμης τά
*confidence in the instability of-the of-Belisarius mind the-things*

γε ἐς τὴν γυναῖκα οὐ σφόδρα ἔχων· ἄλλα τε γὰρ
*at-least toward the wife not very having other-things and for*
αὐτὸν πολλὰ καὶ τὸ Μακεδονίας δυσωπεῖν πάθος.
*him many and the of-Macedonia to-shame fate*

13 διὸ δὴ ἅμφω ἅπαντας ἀλλήλοιν ὠμοσάτην ὅσοι
*wherefore indeed both all to-one-another swore as-many-as*
δὴ ἐν Χριστιανοῖς δεινότατοι ὅρκοι εἰσί τε καὶ
*indeed among Christians most-terrible oaths are both and*
ὀνομάζονται, μήποτε ἀλλήλω καταπροήσεσθαι ἄχρι τῶν
*are-named never one-another to-betray up-to the*
ἐς τὸν ὄλεθρον φερόντων κινδύνων.
*to the destruction bringing dangers*

14 ἐν μὲν οὖν τῷ παρόντι τῷ ἔργῳ ἐγχειρεῖν ἔδοξε σφίσιν
*in indeed then the present the task to-undertake seemed to-them*
ἀξύμφορον εἶναι, ὁπηνίκα δὲ Ἀντωνίνα ἐκ Βυζαντίου
*inexpedient to-be whenever and Antonina from Byzantium*
ἀφίκηται, ἐς δὲ τὴν Ἔφεσον Θεοδόσιος ἴοι, τηνικάδε τοῦ
*arrives to and — Ephesus Theodosius goes at-that-point of-the*
χρόνου Φώτιον ἐν τῇ Ἐφέσῳ γενόμενον Θεοδόσιόν τε
*time Photius in — Ephesus having-come Theodosius both*
καὶ τὰ χρήματα οὐδενὶ πόνῳ χειρώσασθαι.
*and the money with-no toil to-seize*

15 τότε μὲν οὖν αὐτοί τε τὴν ἐσβολὴν παντὶ τῷ στρατῷ
*then indeed then they and the invasion with-all the army*
ἐς τὴν Περσίδα πεποίηνται χώραν, ἀμφί τε Ἰωάννῃ τῷ
*into the Persian had-made country about and John the*
Καππαδόκῃ ἐν Βυζαντίῳ ξυνηνέχθη γενέσθαι ἅπερ
*Cappadocian in Byzantium it-happened to-come-about the-things-which*
μοι ἐν τοῖς ἔμπροσθεν λόγοις δεδήλωται.
*by-me in the earlier books have-been-shown*

ἔνθα δὴ τοῦτό μοι τῷ δέει σεσιώπηται μόνον, 16
*there indeed this by-me through-the fear has-been-passed-over-in-silence only*
ὅτι γε οὐκ εἰκῇ τόν τε Ἰωάννην καὶ τὴν αὐτοῦ παῖδα ἡ
*that at-least not idly — both John and the his daughter —*
Ἀντωνίνα ἐξηπατήκει, ἀλλ᾽ ὅρκων αὐτοὺς πλήθει, ὧνπερ
*Antonina had-deceived but of-oaths them by-multitude than-which*
οὐδὲν φοβερώτερον ἔν γε Χριστιανοῖς εἶναι δοκεῖ,
*nothing more-fearful among at-least Christians to-be seems*
πιστωσαμένη, μηδεμιᾷ δολερᾷ γνώμῃ ἐς αὐτοὺς χρῆσθαι.
*having-pledged with-no treacherous intention toward them to-deal*
ταῦτά τε διαπεπραγμένη καὶ πολλῷ ἔτι μᾶλλον ἐπὶ 17
*these(-things) both having-accomplished and by-much still more in*
τῇ τῆς βασιλίδος θαρροῦσα φιλίᾳ Θεοδόσιον μὲν ἐς
*the of-the empress trusting friendship Theodosius indeed to*
Ἔφεσον στέλλει, αὐτὴ δὲ μηδὲν ὑποτοπάζουσα ἐναντίωμα
*Ephesus dispatches she but nothing suspecting obstacle*
ἐπὶ τὴν ἕω κομίζεται.
*to the east travels*
ἄρτι δὲ Βελισαρίῳ τὸ Σισαυράνων φρούριον ἑλόντι 18
*just-now and to-Belisarius the of-the-Sisauranians fortress having-taken*
ὁδῷ ἰοῦσα πρός του ἀγγέλλεται. καὶ ὃς τἄλλα πάντα
*on-the-road coming by someone she-is-reported and he the-other-things all*
ἐν οὐδενὶ λόγῳ πεποιημένος ὀπίσω ὑπῆγε τὸ στράτευμα.
*in no account having-made back led the army*
ξυνηνέχθη γάρ, ᾗπέρ μοι τὰ πρότερα δεδιήγηται, καὶ 19
*it-happened for as by-me the-things earlier have-been-narrated also*
ἕτερα ἄττα ἐν τῷ στρατοπέδῳ γενέσθαι, ἅπερ αὐτὸν ἐς
*other some in the camp to-come-about which him to*
τὴν ἀναχώρησιν ὥρμα. τοῦτο μέντοι πολλῷ ἔτι θᾶσσον
*the retreat urged this however by-much still sooner*
ἐνταῦθα ἀνῆγεν.
*then led-back*

20 ἀλλ᾽ ὅπερ τοῦδε τοῦ λόγου ἀρχόμενος εἶπον, οὔ μοι
*but what of-this the account beginning I-said not for-me*
ἀκίνδυνον τηνικάδε τοῦ χρόνου ἔδοξεν εἶναι τὰς αἰτίας
*safe at-that-point of-the time it-seemed to-be the causes*
τῶν πεπραγμένων ἁπάσας εἰπεῖν.
*of-the-things done all to-tell*

21 ἔγκλημά τε ἀπ᾽ αὐτοῦ ἐγένετο Βελισαρίῳ πρὸς πάντων
*a-charge and from it arose against-Belisarius from all*
Ῥωμαίων, ὅτι δὴ τῆς πολιτείας τὰ καιριώτατα αὐτὸς
*Romans that indeed of-the state the most-vital-things he*
περὶ ἐλάσσονος πραγμάτων τῶν κατὰ τὴν οἰκίαν πεποίηται.
*of less than-the-affairs those about the house had-made*

22 ἀρχὴν μὲν γὰρ τῷ τῆς γυναικὸς πάθει ἐχόμενος,
*at-the-beginning indeed for by-the of-the wife passion held*
ὡς ἀπωτάτω γενέσθαι τῆς γῆς Ῥωμαίων οὐδαμῇ ἤθελεν,
*as farthest to-be of-the land of-Romans in-no-way he-wished*
ὅπως ἐπειδὰν τάχιστα πύθηται τὴν γυναῖκα ἐκ Βυζαντίου
*so-that when soonest he-learned the wife from Byzantium*
ἥκειν, ἀναστρέψας αὐτίκα δὴ μάλα καταλαβεῖν τε
*to-have-come having-turned-back at-once indeed very to-catch both*
καὶ τίσασθαι οἷός τε εἴη.
*and to-punish able — he-might-be*

23 διὸ δὴ τοὺς μὲν ἀμφὶ Ἀρέθαν Τίγριν ποταμὸν
*wherefore indeed those indeed around Arethas the-Tigris river*
διαβαίνειν ἐκέλευσεν, οἵ γε οὐδὲν ὅ τι καὶ λόγου
*to-cross he-ordered who at-least nothing which — also of-account*
ἄξιον διαπεπραγμένοι ἐπ᾽ οἴκου ἀπεκομίσθησαν, αὐτὸς δὲ
*worthy having-accomplished to home returned he but*
οὐδὲ ἡμέρας ὁδῷ ἀπολελεῖφθαι ὅρων τῶν Ῥωμαίων
*not-even of-a-day by-journey to-be-left-behind of-the-bounds of-the Romans*
ἐν σπουδῇ εἶχε.
*in earnestness had*

φρούριον γὰρ τὸ Σισαυράνων διὰ μὲν πόλεως 24
*fortress for the of-the-Sisauranians by-way-of indeed city*
Νισίβιδος ἰόντι πλέον ἢ ὁδῷ ἡμέρας εὐζώνῳ
*of-Nisibis for-one-going more than by-journey of-a-day for-an-unencumbered*
ἀνδρὶ τῶν Ῥωμαϊκῶν ὁρίων διέχει, ἑτέρωθι δὲ τούτου
*man from-the Roman bounds is-distant elsewhere but of-this*
δὴ τοῦ μέτρου ξυμβαίνει τὸ μεταξὺ εἶναι.
*indeed of-the measure happens the between to-be*
καίτοι εἰ παντὶ τῷ στρατῷ Τίγριν ποταμὸν διαβῆναι κατ' 25
*and-yet if with-all the army the-Tigris river to-cross at*
ἀρχὰς ἤθελεν, οἶμαι ἂν αὐτὸν ξύμπαντα λῃΐσασθαι
*the-beginning he-had-wished I-think — him all to-have-plundered*
τὰ ἐπὶ Ἀσσυρίας χωρία, καὶ μέχρι ἐς Κτησιφῶντα
*the-things in Assyria places and as-far-as to Ctesiphon*
πόλιν οὐδενὸς τὸ παράπαν ἀντιστατοῦντος σφίσιν ἀφῖχθαι,
*city no-one the at-all opposing them to-have-arrived*
καὶ τούς τε Ἀντιοχέων αἰχμαλώτους, ὅσοι τε Ῥωμαίων
*and the and of-Antiochenes captives as-many-as and of-Romans*
ἄλλοι ἐνταῦθα ὄντες ἐτύγχανον, διασωσάμενον ἐπανήκειν ἐς
*others there being happened having-rescued to-have-returned to*
τὰ πάτρια ἤθη. ἔπειτα δὲ καὶ Χοσρόῃ αἰτιώτατος γέγονεν
*the ancestral haunts then and also for-Chosroes most-responsible he-became*
ἀδεέστερον ἐπ' οἴκου ἀποκομίζεσθαι ἐκ τῆς Κολχίδος.
*more-fearlessly to home to-return from — Colchis*
ὅντινα δὲ τρόπον τετύχηκε τοῦτο αὐτίκα δηλώσω.
*in-what and manner happened this at-once I-will-make-plain*
Ἡνίκα Χοσρόης ὁ Καβάδου εἰς γῆν ἐμβαλὼν τὴν 26
*when Chosroes the-(son) of-Cabades into land having-invaded the*
Κολχίδα τά τε ἄλλα διεπράξατο, ἅπερ μοι ἔμπροσθεν
*Colchian the-things both other accomplished which by-me earlier*
δεδιήγηται, καὶ Πέτραν εἶλε, πολλοὺς τοῦ Μήδων
*have-been-narrated and Petra took many of-the of-Medes*

στρατοῦ διεφθάρθαι ξυνέβη τῷ τε πολέμῳ καὶ ταῖς
*army to-have-perished it-happened by-the both war and by-the*
δυσχωρίαις. δύσοδός τε γάρ, ὥσπερ μοι εἴρηται, ἡ
*rough-terrain hard-to-traverse both for as by-me has-been-said —*
Λαζική ἐστι καὶ ὅλως κρημνώδης.
*Lazica is and wholly precipitous*

27 καὶ μὴν καὶ λοιμοῦ ἐπιπεσόντος σφίσι τὸ πλεῖστον τοῦ
*and indeed also a-plague having-fallen-upon them the most of-the*
στρατοῦ ἀπολωλέναι ξυνέπεσε, πολλοὺς δὲ αὐτῶν καὶ
*army to-have-perished it-happened many and of-them also*
τῶν ἀναγκαίων τῇ ἀπορίᾳ διεφθάρθαι ξυνέβη.
*of-the necessities by-the lack to-have-perished it-happened*

28 ἐν τούτῳ δὲ καί τινες ἐκ γῆς τῆς Περσίδος ἐνταῦθα
*in this and also some from land the Persian there*
ἐπιχωριάζοντες ἤγγελλον ὡς Ναβέδην μὲν Βελισάριος ἀμφὶ
*sojourning reported that Nabedes indeed Belisarius about*
πόλιν Νίσιβιν μάχῃ νικήσας πρόσω χωροίη, πολιορκίᾳ
*city Nisibis in-battle having-conquered forward was-advancing by-siege*
δὲ τὸ Σισαυράνων ἑλὼν φρούριον Βλησχάμην τε
*and the of-the-Sisauranians having-taken fortress Blescames both*
καὶ Περσῶν ἱππεῖς ὀκτακοσίους δορυαλώτους πεποίηται,
*and of-Persians horsemen eight-hundred captives had-made*
στράτευμα δὲ ἄλλο Ῥωμαίων ξύν γε Ἀρέθᾳ τῷ
*army and other of-Romans with at-least Arethas the*
Σαρακηνῶν ἄρχοντι πέμψειεν, ὅπερ διαβὰν ποταμὸν
*of-Saracens ruler had-sent which having-crossed river*
Τίγριν ξύμπαντα λεηλατήσειε τὰ ἐκείνῃ χωρία,
*the-Tigris all had-plundered the-things there places*
πρότερον ἀδῄωτα ὄντα.
*formerly unravaged being*

ἐτύγχανε δὲ καὶ στράτευμα Οὔννων ἐπὶ Ἀρμενίους τοὺς 29
*it-happened and also an-army of-Huns against Armenians the*
Ῥωμαίων κατηκόους ὁ Χοσρόης στείλας, ὅπως τῇ ἐς
*of-Romans subjects — Chosroes having-sent so-that by-the with*
αὐτοὺς ἀσχολίᾳ μηδεμία τοῖς ταύτῃ Ῥωμαίοις τῶν
*them occupation no to-the there Romans of-the-things*
ἐν Λαζικῇ πρασσομένων αἴσθησις γένηται.
*in Lazica being-done perception might-arise*
τούτους τε τοὺς βαρβάρους ἀπήγγελλον ἕτεροι Βαλεριανῷ 30
*these and the barbarians reported others with-Valerianus*
καὶ Ῥωμαίοις ὑπαντιάσασιν ἐς χεῖρας ἐλθόντας παρὰ
*and with-Romans having-met to hands having-come by*
πολὺ αὐτῶν ἡσσηθέντας τῇ μάχῃ ἐκ τοῦ ἐπὶ πλεῖστον
*far by-them defeated in-the battle from the for most*
ἀπολωλέναι.
*to-have-perished*
ἅπερ οἱ Πέρσαι ἀκούσαντες καὶ κακοπαθείᾳ μὲν τῇ 31
*which the Persians having-heard and by-hardship indeed the*
ἐν Λαζοῖς κεκακωμένοι, δεδιότες δὲ μή τινι ἐν τῇ
*among Lazi afflicted fearing and lest any in the*
ἀποπορείᾳ ἐντυχόντες πολεμίων στρατῷ ἐν κρημνοῖς καὶ
*withdrawal having-met of-enemies army in cliffs and*
χωρίοις λοχμώδεσιν ἅπαντες οὐδενὶ κόσμῳ διαφθαρεῖεν,
*places bushy all in-no order be-destroyed*
περιδεεῖς ἀμφί τε παισὶ καὶ γυναιξὶ καὶ τῇ πατρίδι
*terrified about both children and wives and the fatherland*
γεγενημένοι, εἴ τι καθαρὸν ἦν ἐν τῷ Μήδων στρατῷ,
*having-become if anything pure was in the of-Medes army*
Χοσρόῃ ἐλοιδοροῦντο ἐπικαλοῦντες ὡς ἔς τε τοὺς ὅρκους
*at-Chosroes they-reviled accusing that to both the oaths*
ἠσεβηκὼς καὶ τὰ κοινὰ νόμιμα πάντων ἀνθρώπων
*having-been-impious and the common laws of-all men*

ἐσβάλοι μὲν ἐν σπονδαῖς ἐς Ῥωμαίων τὴν γῆν οὐδὲν
*he-invaded indeed in treaties to of-Romans the land nothing*
προσῆκον, ἀδικοίη δὲ πολιτείαν ἀρχαίαν τε καὶ ἀξιωτάτην
*fitting he-wronged and a-state ancient both and most-worthy*
πασῶν μάλιστα, ἧς τῷ πολέμῳ περιεῖναι οὐκ ἂν
*of-all most which in-the war to-overcome not —*
δύναιτο· ἔμελλον δὲ νεωτέροις ἐγχειρεῖν πράγμασιν.
*he-could they-were-about and to-new to-attempt things*

32 οἷς δὴ ὁ Χοσρόης ξυνταραχθεὶς εὕρετο τοῦ κακοῦ
*by-which indeed — Chosroes troubled found of-the evil*
ἴασιν τήνδε. γράμματα γὰρ αὐτοῖς ἀνελέξατο, ἅπερ
*a-remedy this letters for to-them he-read which*
ἔναγχος ἡ βασιλὶς τῷ Ζαβεργάνῃ ἐτύγχανε γράψασα.
*lately the empress — to-Zabergan happened having-written*

33 ἐδήλου δὲ ἡ γραφὴ τάδε “Ὅπως σε, ὦ Ζαβεργάνη,
*showed and the writing these(-things) how you O Zabergan*
διὰ σπουδῆς ἔχω, εὔνουν σε οἰομένη τοῖς ἡμετέροις
*in esteem I-hold well-disposed you thinking to-the our*
πράγμασιν εἶναι, οἶσθα ἐπὶ πρεσβείᾳ οὐ πολλῷ πρότερον
*affairs to-be you-know on embassy not much earlier*
ἐς ἡμᾶς ἀφιγμένος.
*to us having-come*

34 οὐκοῦν πράττοις ἂν εἰκότα τῇ δόξῃ, ἣν ἐπὶ σοὶ ἔχω, εἴ
*then you-would-do — fitting to-the opinion which of you I-have if*
γε βασιλέα Χοσρόην εἰρηναῖα πείθοις ἐς πολιτείαν
*at-least king Chosroes peaceful-things you-persuade toward state*
τὴν ἡμετέραν βουλεύεσθαι.
*the our to-plan*

οὕτω γάρ σοι ἀγαθὰ μεγάλα πρὸς ἀνδρὸς ἀναδέχομαι 35
*thus for to-you good-things great from husband I-guarantee*
τοὐμοῦ ἔσεσθαι, ὅς γε οὐδὲν ἂν ὅ τι καὶ ἄνευ
*my to-be who at-least nothing — which — also without*
γνώμης τῆς ἐμῆς πράξειεν."
*will the my would-do*
ταῦτα ὁ Χοσρόης ἀναλεξάμενος, ὀνειδίσας τε Περσῶν 36
*these(-things) — Chosroes having-read having-reproached and of-Persians*
τοῖς λογίμοις εἰ πολιτείαν οἴονται εἶναι, ἣν γυνὴ
*the notables if a-state they-think to-be which a-woman*
διοικεῖται, τὴν τῶν ἀνδρῶν ὁρμὴν ἀναστέλλειν ἔσχεν.
*administers the of-the men impulse to-check he-was-able*
ἀλλὰ καὶ ὡς ξὺν δέει πολλῷ ἐνθένδε ἀπήει, τοὺς ἀμφὶ 37
*but even so with fear much thence he-departed those about*
Βελισάριον οἰόμενος σφίσιν ἐμποδὼν στήσεσθαι. οὐδενὸς
*Belisarius thinking to-them in-the-way to-stand no-one*
δέ οἱ τῶν πολεμίων ὑπαντιάσαντος ἄσμενος ἐς γῆν
*but to-him of-the enemies having-met gladly to land*
τὴν οἰκείαν ἀπεκομίσθη.
*the own returned*

## III · ANTONINA'S REVENGE ON PHOTIUS

*Belisarius finds Antonina returned and keeps her in dishonor, but cannot bring himself to kill her. Photius seizes her eunuch Calligonus, and the bishop of Ephesus is bribed to surrender Theodosius; Photius sends him to be hidden in Cilicia and goes to Byzantium himself with Calligonus and the money. Theodora, repaying Antonina's services, tortures and exiles the friends of Belisarius and Photius, and keeps one senator tethered at a manger in the dark for four months until he goes mad and dies. She forces Belisarius back to Antonina and tortures Photius, who betrays nothing; she finds Theodosius, hides him in the Palace and shows him to Antonina as a pearl, but he soon dies of dysentery. Photius, twice dragged from sanctuary, escapes after three years to Jerusalem at the bidding of the prophet Zechariah in a dream and becomes a monk. Belisarius, having broken his oath, fares ill in every undertaking from then on, and lets Chosroes take Callinicum without pursuit.*

1 Γενόμενος δὲ ὁ Βελισάριος ἐς γῆν τὴν Ῥωμαίων
*having-come and — Belisarius into the-land the of-Romans*
εὑρίσκει τὴν γυναῖκα ἐκ Βυζαντίου ἀφικομένην. καὶ αὐτὴν
*finds the wife from Byzantium having-arrived and her*
μὲν ἐν ἀτιμίᾳ ἐφύλασσε, πολλάκις τε διαχειρίσασθαι
*indeed in dishonor he-kept many-times and to-kill*
αὐτὴν ἐγχειρήσας ἐμαλθακίσθη, ἐμοὶ μὲν δοκεῖ, ἔρωτος
*her having-attempted he-softened to-me indeed it-seems by-love*
ἡσσηθεὶς διαπύρου τινός.
*overcome burning some*

2 φασὶ δὲ αὐτὸν καὶ μαγγανείαις πρὸς τῆς γυναικὸς
*they-say and him also by-sorceries by the wife*
καταλαμβανόμενον ἐν τῷ παραυτίκα ἐκλύεσθαι. Φώτιος δὲ
*being-seized in the moment to-be-unstrung Photius and*
κατὰ τάχος ἐς τὴν Ἔφεσον στέλλεται, τῶν τινα εὐνούχων,
*in haste to — Ephesus is-dispatched of-the one eunuchs*
Καλλίγονον ὄνομα, προαγωγὸν τῆς κεκτημένης ὄντα
*Calligonus by-name procurer of-the mistress being*

δεσμεύσας τε καὶ ξὺν αὐτῷ ἔχων, ὅσπερ αὐτῷ αἰκιζόμενος
*having-bound both and with him having who to-him being-tortured*
ἐν τῇ ὁδῷ ταύτῃ ἅπαντα ἐξήνεγκε τὰ ἀπόρρητα.
*on the road this all brought-out the secrets*
καὶ Θεοδόσιος μὲν προμαθὼν ἐς τὸ ἱερὸν Ἰωάννου 3
*and Theodosius indeed having-learned-beforehand to the sanctuary of-John*
καταφεύγει τοῦ ἀποστόλου, ὅπερ ἐνταῦθα ἁγιώτατόν ἐστι
*flees-for-refuge of-the apostle which there most-holy is*
καὶ ἐπιεικῶς ἔντιμον.
*and fittingly honored*
Ἀνδρέας δὲ ὁ τῆς Ἐφέσου ἀρχιερεὺς χρήμασίν οἱ 4
*Andreas but the — of-Ephesus high-priest by-money for-him*
ἀναπεισθεὶς τὸν ἄνθρωπον ἐνεχείρισεν. ἐν τούτῳ ἡ
*persuaded the man handed-over in this —*
Θεοδώρα ἀμφὶ τῇ Ἀντωνίνῃ δειμαίνουσα, ἠκηκόει γὰρ
*Theodora about — Antonina fearing she-had-heard for*
ὅσα δὴ αὐτῇ ξυνεπεπτώκει, Βελισάριον ξὺν αὐτῇ ἐς
*as-much-as indeed to-her had-befallen Belisarius with her to*
Βυζάντιον μεταπέμπεται.
*Byzantium summons*
Φώτιος δὲ ταῦτα ἀκούσας Θεοδόσιον μὲν ἐς Κίλικας 5
*Photius and these(-things) having-heard Theodosius indeed to Cilicians*
πέμπει, οὗ δὴ οἱ δορυφόροι τε καὶ ὑπασπισταὶ
*sends where indeed the spearmen both and shield-bearers*
διαχειμάζοντες ἔτυχον, τοῖς παραπομποῖς ἐπιστείλας
*wintering happened to-the escorts having-instructed*
λαθραιότατα μὲν τὸν ἄνδρα τοῦτον διακομίζειν, ἐς
*most-secretly indeed the man this to-convey to*
Κίλικας δὲ ἀφικομένοις κεκρυμμένως ἐς τὰ μάλιστα ἐν
*Cilicians and having-arrived secretly to the most in*
φυλακῇ ἔχειν, μηδενὶ αἴσθησιν παρεχομένοις ὅποι γῆς
*guard to-hold to-no-one perception giving where of-land*

εἴη. αὐτὸς δὲ ξύν τε Καλλιγόνῳ καὶ τοῖς Θεοδοσίου
*he-might-be he and with both Calligonus and the of-Theodosius*
χρήμασιν ἁδροῖς τισιν οὖσιν ἐς Βυζάντιον ἦλθεν.
*money abundant some being to Byzantium came*

6 ἐνταῦθα ἡ βασιλὶς ἐπίδειξιν πεποίηται ἐς πάντας
*there the empress a-display made to all*
ἀνθρώπους, ὅτι δὴ χάριτας φονίους εἰδείη μείζοσί τε
*men that indeed favors murderous she-knew with-greater both*
καὶ μιαρωτέροις ἀμείβεσθαι δώροις.
*and with-more-foul to-repay gifts*

7 Ἀντωνίνα μὲν γὰρ ἕνα οἱ ἔναγχος τὸν Καππαδόκην
*Antonina indeed for one for-her lately the Cappadocian*
ἐχθρὸν ἐνεδρεύσασα προὔδωκεν, αὐτὴ δὲ πλῆθος ἐκείνῃ
*enemy having-ambushed betrayed she but a-multitude to-that-one*
ἐγχειρίσασα ἀνδρῶν ἀνεγκλήτως ἀνῄρηκε.
*having-handed-over of-men without-charge destroyed*

8 τῶν γὰρ Βελισαρίῳ καὶ Φωτίῳ ἐπιτηδείων τινῶν μὲν τὰ
*of-the for to-Belisarius and to-Photius close-friends of-some indeed the*
σώματα αἰκισαμένη, καὶ τοῦτο μόνον ἐπικαλέσασα, ὅτι
*bodies having-tortured and this only having-charged that*
ἐς τὼ ἄνδρε τούτω εὐνοϊκῶς ἔχοιεν, οὕτω διέθετο ὥστε
*toward the two-men these well-disposed they-were thus she-disposed so-that*
αὐτοῖς ἐς ὅ τί ποτε ἡ τύχη ἐτελεύτα οὔπω νῦν ἴσμεν·
*for-them to what — ever the fortune ended not-yet now we-know*
ἄλλους δὲ φυγῇ ἐζημίωσε, ταὐτὸ τοῦτο ἐπενεγκοῦσα.
*others but with-exile she-punished the-same this having-brought-against-(them)*

9 ἕνα μέντοι τῶν Φωτίῳ ἐς τὴν Ἔφεσον ἐπισπομένων,
*one however of-those to-Photius to — Ephesus following*
Θεοδόσιον ὄνομα, καίπερ ἐς ἀξίωμα βουλῆς ἥκοντα, τὴν
*Theodosius by-name although to rank of-council having-come the*
οὐσίαν ἀφελομένη ἐν δωματίῳ καταγείῳ τε καὶ ὅλως
*property having-taken-away in a-room underground both and wholly*

ζοφώδει ἔστησεν ἐπὶ φάτνης τινὸς βρόχον οἱ τοῦ
*gloomy she-stood-(him) at a-manger certain a-noose for-him of-the*
τραχήλου ἀναψαμένη ἐς τοσόνδε βραχύν, ὥστε αὐτῷ δὴ
*neck having-fastened to so short that to-him indeed*
ἐντετάσθαι καὶ χαλαρὸν μηδαμῆ εἶναι.
*to-be-stretched and slack in-no-way to-be*
ἑστηκὼς ἀμέλει διηνεκὲς ἐπὶ ταύτης δὴ τῆς φάτνης ὁ 10
*standing indeed continually at this indeed the manger the*
τάλας ἤσθιέ τε καὶ ὕπνον ἠρεῖτο, καὶ τὰς ἄλλας ἤνυεν
*wretch ate both and sleep took and the other performed*
ἁπάσας τῆς φύσεως χρείας, ἄλλο τέ οἱ οὐδὲν ἐς τὸ
*all of-the nature needs other and to-him nothing to the*
τοῖς ὄνοις εἰκάζεσθαι ὅ τι μὴ βρωμᾶσθαι ἐλέλειπτο.
*to-the asses to-be-likened what — not to-bray had-been-left*
χρόνος δὲ τῷ ἀνθρώπῳ οὐχ ἧσσων ἢ μηνῶν τεσσάρων 11
*time and for-the man not less than of-months four*
ἐν ταύτῃ τῇ διαίτῃ ἐτρίβη, ἕως μελαγχολίας νόσῳ
*in this the way-of-life was-spent until by-melancholy disease*
ἁλοὺς μανείς τε ἐκτόπως καὶ οὕτω δὴ ταύτης
*seized having-gone-mad both extraordinarily and thus indeed from-this*
τῆς εἱρκτῆς ἀφεθεὶς εἶτα ἀπέθανε.
*the prison released then died*
καὶ Βελισάριον οὔτι ἑκούσιον Ἀντωνίνῃ τῇ γυναικὶ 12
*and Belisarius in-no-way willing with-Antonina the wife*
καταλλαγῆναι ἠνάγκασε. Φώτιον δὲ αἰκισμοῖς τε ἄλλοις
*to-be-reconciled she-compelled Photius and with-tortures both other*
ἀνδραποδώδεσι περιβαλοῦσα καὶ ξάνασα κατά τε τοῦ
*slavish having-surrounded and having-flayed down both the*
νώτου καὶ τῶν ὤμων πολλάς, ἐκλέγειν ἐκέλευεν ὅποι
*back and the shoulders many(-blows) to-tell she-ordered where*
ποτὲ γῆς Θεοδόσιός τε καὶ ὁ προαγωγὸς εἴη.
*ever of-land Theodosius both and the procurer might-be*

13 ὁ δὲ καίπερ ὑπὸ τῆς βασάνου κατατεινόμενος τὰ
*he but although by the torture being-stretched the-things*
ὁμωμοσμένα ἐμπεδοῦν ἔγνω, ἀνὴρ νοσώδης μὲν καὶ
*sworn to-keep resolved a-man sickly indeed and*
ἀνειμένος γεγονὼς πρότερον, ἐς δὲ τὴν ἀμφὶ τὸ
*lax having-been formerly to and the about the*
σῶμα θεραπείαν ἐσπουδακώς, ὕβρεώς τε γενόμενος ἢ
*body care having-been-devoted of-outrage and being or*
ταλαιπωρίας τινὸς ἄπειρος.
*of-hardship any inexperienced*

14 οὐδὲν γοῦν αὐτὸς τῶν Βελισαρίου κεκρυμμένων ἐξεῖπεν.
*nothing at-any-rate he of-the of-Belisarius secrets told*
ὕστερον μέντοι ἅπαντα τὰ τέως ἀπόρρητα ἐς φῶς
*later however all the-things hitherto secret to light*
ἐληλούθει.
*had-come*

15 καὶ Καλλίγονον μὲν ἤδ' ἐνταῦθα εὑροῦσα τῇδε
*and Calligonus indeed she there having-found to-this-woman*
παρέδωκε, τὸν δὲ Θεοδόσιον μετακαλέσασα ἐς Βυζάντιον,
*handed-over — but Theodosius having-summoned to Byzantium*
ἐπειδὴ ἀφίκετο, εὐθὺς μὲν κρύπτει ἐν Παλατίῳ, τῇ δὲ
*when he-arrived at-once indeed hides in the-Palace the and*
ὑστεραίᾳ μεταπεμψαμένη Ἀντωνίναν,
*next-day having-sent-for Antonina*

16 "Ὦ φιλτάτη πατρικία" ἔφη "μάργαρον ἐς χεῖρας
*O dearest patrician-lady she-said a-pearl into hands*
τὰς ἐμὰς τῇ προτεραίᾳ ἐμπέπτωκεν, οἷον οὐδείς ποτ'
*the my on-the day-before has-fallen such-as no-one ever*
ἀνθρώπων εἶδε. καί σοι βουλομένῃ οὐκ ἂν φθονήσαιμι
*of-men saw and to-you wishing not — I-would-begrudge*
τοῦ θεάματος τούτου, ἀλλὰ ἐπιδείξω."
*the sight this but I-will-show-(it)*

καὶ ἡ μὲν οὐ ξυνιεῖσα τοῦ πρασσομένου τὸν μάργαρόν 17
*and she indeed not understanding the-thing being-done the pearl*
οἱ ἐπιδεῖξαι πολλὰ ἐλιπάρει. ἡ δὲ τὸν Θεοδόσιον ἐξ
*to-her to-show much begged she but — Theodosius from*
οἰκιδίου τῶν τινος εὐνούχων ἐξαγαγοῦσα ἐπέδειξεν.
*a-little-room of-the one of-eunuchs having-brought-out showed*
Ἀντωνίνα δὲ τὰ μὲν πρῶτα περιχαρὴς ἄγαν γεγονυῖα 18
*Antonina and the indeed first overjoyed exceedingly having-become*
ὑφ᾽ ἡδονῆς ἀχανὴς ἔμεινε, χάριτάς τέ οἱ δεδρακέναι
*from pleasure speechless remained favors and to-her to-have-done*
ὡμολόγει πολλάς, σώτειράν τε καὶ εὐεργέτιν ἀποκαλοῦσα
*she-confessed many savior both and benefactress calling*
καὶ δέσποιναν ὄντως.
*and mistress truly*
τοῦτον δὲ τὸν Θεοδόσιον ἡ βασιλὶς κατασχοῦσα ἐν Παλατίῳ 19
*this and — Theodosius the empress having-kept in the-Palace*
τρυφῆς τε καὶ τῆς ἄλλης εὐπαθείας ἠξίου, στρατηγόν τε
*of-luxury both and of-the other comfort deemed-worthy general and*
ἠπείλησε Ῥωμαίοις αὐτὸν οὐκ εἰς μακρὰν καταστήσεσθαι.
*threatened for-the-Romans him not in long to-appoint*
ἀλλά τις προτερήσασα δίκη νόσῳ ἁλόντα δυσεντερίας 20
*but some having-come-first justice by-disease seized of-dysentery*
ἐξ ἀνθρώπων αὐτὸν ἀφανίζει.
*from men him makes-vanish*
ἦν δὲ οἰκίδια τῇ Θεοδώρᾳ ἀπόκρυφα μὲν καὶ ὅλως 21
*there-were and little-rooms — for-Theodora hidden indeed and wholly*
λεληθότα ζοφώδη τε καὶ ἀγείτονα, ἔνθα δὴ οὔτε
*unnoticed gloomy both and without-neighbor where indeed neither*
νυκτὸς οὔτε ἡμέρας δήλωσις γίνεται.
*of-night nor of-day indication arises*

22 ἐνταῦθα τὸν Φώτιον ἐπὶ χρόνου μῆκος καθείρξασα ἐτήρει.
*there — Photius for of-time length having-shut-up she-kept*
ὅθεν δὴ αὐτῷ ξυνέβη τις τύχη οὐχ ἅπαξ μόνον, ἀλλὰ
*whence indeed to-him it-happened some fortune not once only but*
καὶ δὶς διαφυγόντι ἀπαλλαγῆναι.
*also twice having-escaped to-get-away*

23 καὶ τὰ μὲν πρῶτα καταφυγὼν εἰς τὸν ναὸν τῆς θεοτόκου,
*and the indeed first having-fled into the temple of-the God-bearer*
ὅσπερ ἐν Βυζαντίοις ἁγιώτατός ἐστί τε καὶ ὠνομάσθη,
*which in Byzantium most-holy is both and was-named*
παρὰ τὴν ἱερὰν τράπεζαν ἱκέτης καθῆστο. ἐντεῦθέν τε
*at the holy table suppliant sat thence and*
αὐτὸν ἀναστήσασα βίᾳ τῇ πάσῃ καθεῖρξεν αὖθις.
*him having-raised by-force the all she-shut-up again*

24 τὸ δὲ δὴ δεύτερον ἐς τῆς Σοφίας τὸ ἱερὸν ἥκων, ἐς
*the and indeed second-time to of-the Wisdom the sanctuary having-come into*
αὐτήν που τὴν θείαν δεξαμενὴν ἐξαπιναίως ἐκάθισεν,
*very somewhere the divine font suddenly sat*
ἥνπερ μάλιστα πάντων νενομίκασι Χριστιανοὶ σέβειν.
*which most of-all have-been-accustomed Christians to-revere*

25 ἀλλὰ κἀνθένδε ἀφέλκειν αὐτὸν ἡ γυνὴ ἴσχυσε. χωρίον γὰρ
*but also-from-there to-drag-away him the woman was-able place for*
ἀβέβηλον πώποτε ἀνέφαπτον αὐτῇ οὐδὲν γέγονεν, ἀλλ᾽ αὐτῇ
*inviolable ever untouched by-her none has-been but to-her*
βιάζεσθαι τὰ ἱερὰ ξύμπαντα οὐδὲν πρᾶγμα ἐδόκει εἶναι.
*to-violate the holy-things all no matter seemed to-be*

26 καὶ ξὺν τῷ δήμῳ οἱ τῶν Χριστιανῶν ἱερεῖς καταπεπληγμένοι
*and with the people the of-the Christians priests stricken*
τῷ δέει ἐξίσταντο καὶ ἐνεχώρουν αὐτῇ ἅπαντα.
*by-the fear stood-aside and yielded to-her all-things*

τριῶν μὲν οὖν αὐτῷ ἐνιαυτῶν χρόνος ἐν ταύτῃ τῇ διαίτῃ 27
*of-three indeed then to-him years time in this the way-of-life*
ἐτρίβη, ὕστερον δὲ ὁ προφήτης αὐτῷ Ζαχαρίας ἐπιστὰς
*was-spent later and the prophet to-him Zechariah having-stood-by*
ὄναρ ὅρκοις, φασίν, ἐκέλευσε φεύγειν, συλλήψεσθαί οἱ
*in-a-dream with-oaths they-say ordered to-flee to-help to-him*
ἐν τῷ ἔργῳ τῷδε ὁμολογήσας.
*in the deed this having-promised*
ταύτῃ τε τῇ ὄψει ἀναπεισθεὶς ἀνέστη τε ἐνθένδε καὶ 28
*by-this and the vision persuaded he-rose and thence and*
διαλαθὼν εἰς τὰ Ἱεροσόλυμα ἦλθε, μυρίων μὲν αὐτὸν
*having-escaped-notice to — Jerusalem came countless indeed him*
διερευνωμένων ἀνθρώπων, οὐδενὸς δὲ τὸν νεανίαν, καίπερ
*searching-for of-men no-one but the youth although*
ἐντυχόντα ὁρῶντος.
*having-met seeing*
οὗ δὴ ἀποθριξάμενός τε καὶ τῶν μοναχῶν καλουμένων 29
*where indeed having-shorn-his-hair both and of-the monks called*
τὸ σχῆμα περιβαλλόμενος τὴν ἐκ Θεοδώρας κόλασιν
*the habit putting-on the from Theodora punishment*
διαφυγεῖν ἔσχε.
*to-escape he-was-able*
Βελισάριος δὲ τὰ ὀμωμοσμένα ἠλογηκώς, τιμωρεῖν τε 30
*Belisarius but the-things sworn having-disregarded to-avenge and*
οὐδαμῇ τούτῳ ἑλόμενος πάσχοντι, ὥσπερ ἐρρήθη, ἀνόσια
*in-no-way this-man having-chosen suffering as was-said unholy*
ἔργα, ἐς πάντα οἱ λοιπὸν τὰ ἐπιτηδεύματα πολέμια
*deeds in all to-him henceforth the undertakings hostile*
τὰ πρὸς τοῦ θεοῦ ὡς τὸ εἰκὸς εὗρεν· εὐθὺς γὰρ ἐπί
*the-things from — God as the likely found at-once for against*

τε Μήδους καὶ Χοσρόην σταλεὶς τὸ τρίτον ἐσβαλόντας
*both Medes and Chosroes sent the third-time having-invaded*
ἐς Ῥωμαίων τὴν γῆν κακότητα ὤφλε.
*into of-Romans the land cowardice he-incurred*
31 καίτοι ἐδόκει τι λόγου ἄξιον διαπεπρᾶχθαι, τὸν πόλεμον
*and-yet he-seemed something of-account worthy to-have-accomplished the war*
ἐνθένδε ἀποσεισάμενος. ἀλλ' ἐπεὶ Χοσρόης Εὐφράτην
*thence having-shaken-off but when Chosroes the-Euphrates*
διαβὰς ποταμὸν Καλλίνικον πόλιν πολυάνθρωπον οὐδενὸς
*having-crossed river Callinicum city populous no-one*
ἀμυνομένου εἷλε καὶ μυριάδας ἠνδραπόδισε Ῥωμαίων
*defending took and tens-of-thousands enslaved of-Romans*
πολλάς, Βελισάριος δὲ οὐδὲ ὅσον ἐπισπέσθαι τοῖς πολεμίοις
*many Belisarius but not-even so-much to-follow the enemies*
ἐν σπουδῇ ἔσχε, δόξαν ἀπήνεγκεν ὡς δυοῖν θάτερον,
*in earnestness had a-reputation carried-off that of-two the-one*
ἢ ἐθελοκακήσας ἢ ἀποδειλιάσας, αὐτοῦ ἔμεινεν.
*either having-been-willfully-negligent or having-been-cowardly there remained*

## IV · THE FALL OF BELISARIUS AND BOUZES

*When Justinian lies near death of the plague, some commanders in the Roman camp say they will never accept another emperor set up in Byzantium, and Peter and John the Glutton accuse Belisarius and Bouzes. Theodora summons Bouzes, throws him into an underground dungeon for two years and four months, and releases him half blind. Belisarius is stripped of his command and his guards, and walks through Byzantium alone and afraid. One evening, after being insulted at the Palace, he waits for his killer, but Quadratus brings a letter from the empress saying that she has spared his life for Antonina's sake. Belisarius falls at his wife's feet and calls himself her slave; Theodora gives thirty centenaria of his fortune to the emperor and returns the rest, and betroths his only daughter, Ioannina, to her grandson Anastasius. Antonina will not let him return to the eastern command; made commander of the imperial grooms, he is sent back to Italy, promising to fight the war at his own expense, and there everything goes against him.*

Ὑπὸ τοῦτον τὸν χρόνον καί τι ἕτερον αὐτῷ ἐπιπεσεῖν 1
*around this the time also something other him to-befall*
ξυνηνέχθη τοιόνδε. ὁ μὲν λοιμός, οὗπερ ἐν τοῖς ἔμπροσθεν
*it-happened such the indeed plague which in the earlier*
λόγοις ἐμνήσθην, ἐπενέμετο τοὺς ἐν Βυζαντίῳ ἀνθρώπους.
*books I-mentioned was-spreading-over the in Byzantium men*
βασιλεῖ δὲ Ἰουστινιανῷ χαλεπώτατα νοσῆσαι ξυνέβη,
*to-the-emperor and Justinian most-grievously to-fall-ill it-happened*
ὥστε καὶ ἐλέγετο ὅτι ἀπολώλει.
*so-that also it-was-said that he-had-died*
τοῦτον δὲ τὸν λόγον περιαγαγοῦσα ἡ φήμη διεκόμισεν ἄχρι 2
*this and the report having-carried-round the rumor conveyed as-far-as*
ἐς τὸ Ῥωμαίων στρατόπεδον. ἐνταῦθα ἔλεγον τῶν ἀρχόντων
*to the of-Romans camp there said of-the commanders*
τινὲς ὡς, ἢν βασιλέα Ῥωμαῖοι ἕτερόν τινα ἐν Βυζαντίῳ
*some that if an-emperor Romans another some in Byzantium*
καταστήσωνται σφίσιν, οὐ μήποτε αὐτοὶ ἐπιτρέψωσιν.
*set-up for-themselves not ever they will-permit*

3 ὀλίγῳ δὲ ὕστερον βασιλεῖ μὲν ῥαΐσαι ξυνέβη, τοῖς δὲ
*little but later for-the-emperor indeed to-recover it-happened for-the and*
τοῦ Ῥωμαίων στρατοῦ ἄρχουσι διαβόλοις ἐπ᾽ ἀλλήλοις
*of-the of-Romans army commanders slanderous against one-another*
γενέσθαι.
*to-become*

4 Πέτρος τε γὰρ ὁ στρατηγὸς καὶ Ἰωάννης, ὅνπερ
*Peter both for the general and John whom*
ἐπίκλησιν Φαγᾶν ἐκάλουν, Βελισαρίου τε καὶ Βούζου
*by-surname Phagas they-called Belisarius both and Bouzes*
ἐκεῖνα λεγόντων ἰσχυρίζοντο ἀκηκοέναι ἅπερ μοι ἀρτίως
*those-things saying insisted to-have-heard which by-me just-now*
δεδήλωται.
*has-been-shown*

5 ταῦτά γε ἡ βασιλὶς Θεοδώρα ἐπικαλέσασα ἐφ᾽
*these(-things) at-least the empress Theodora having-charged against*
ἑαυτῇ τοῖς ἀνθρώποις εἰρῆσθαι μεστὴ ἐγεγόνει.
*herself by-the men to-have-been-said full had-become*

6 ἅπαντας οὖν εὐθὺς μετακαλέσασα ἐς Βυζάντιον, ζήτησίν τε
*all then at-once having-summoned to Byzantium an-inquiry and*
τοῦ λόγου τούτου ποιησαμένη, τὸν Βούζην μετεπέμψατο
*of-the report this having-made — Bouzes summoned*
εἰς τὴν γυναικωνῖτιν ἐξαπιναίως, ὥς τι αὐτῷ
*into the women's-quarters suddenly as something with-him*
κοινολογησομένη τῶν ἄγαν σπουδαίων.
*going-to-confer of-the very serious-things*

7 ἦν δέ τι οἴκημα ἐν Παλατίῳ κατάγειον, ἀσφαλές τε
*there-was and a-certain chamber in the-Palace underground secure both*
καὶ λαβυρινθῶδες καὶ οἷον Ταρτάρῳ εἰκάζεσθαι, ἵνα δὴ
*and labyrinthine and such to-Tartarus to-be-likened where indeed*
τοὺς προσκεκρουκότας ὡς τὰ πολλὰ καθείρξασα ἐτήρει.
*those having-offended as the most having-shut-up she-kept*

καὶ ὁ Βούζης οὖν εἰς τὸ βάραθρον τοῦτο ἐμβέβληται, 8
*and — Bouzes then into the pit this has-been-thrown*
ἐνταῦθά τε ἀνὴρ ἐξ ὑπάτων γενόμενος ἄγνωστος ἀεὶ
*there and a-man from consuls having-been unknowing always*
τοῦ παρόντος καιροῦ ἔμεινεν.
*of-the present time remained*
οὔτε γὰρ αὐτὸς ἐν σκότῳ καθήμενος διαγινώσκειν οἷός 9
*neither for he in darkness sitting to-distinguish able*
τε ἐγεγόνει πότερον ἡμέρα ἢ νύκτωρ εἴη οὔτε ἄλλῳ
*— had-become whether day or by-night it-might-be nor another*
τῳ ἐντυχεῖν εἶχεν.
*anyone to-meet he-could*
ἄνθρωπος γάρ, ὅσπερ οἱ ἐς ἡμέραν ἑκάστην τὰ σιτία 10
*the-man for who to-him to day each the food*
ἐρρίπτει, ὥσπερ τι θηρίον θηρίῳ ἄφωνος ἀφώνῳ ὡμίλει.
*threw as some beast with-beast voiceless with-voiceless consorted*
καὶ πᾶσι μὲν τετελευτηκέναι εὐθὺς ἔδοξε, λόγον μέντοι ἢ 11
*and to-all indeed to-have-died at-once he-seemed word however or*
μνήμην ποιεῖσθαι αὐτοῦ τινα ἐτόλμα οὐδείς. ἐνιαυτοῖν δὲ δυοῖν
*mention to-make of-him any dared no-one of-years but two*
ὕστερον πρὸς μησὶ τέσσαρσιν οἰκτισαμένη τὸν ἄνδρα ἀφῆκε.
*later besides months four having-pitied the man she-released*
καὶ ὃς ὥσπερ ἀναβεβιωκὼς ἅπασιν ὤφθη. ξυνέβη τε 12
*and he as having-come-back-to-life to-all appeared it-happened and*
τῷ ἀνθρώπῳ ἐνθένδε ἀεὶ ἀμβλυώττειν τε καὶ τὸ ἄλλο
*to-the man thenceforth always to-be-dim-sighted both and the other*
σῶμα νοσώδει εἶναι.
*body sickly to-be*
Τὰ μὲν οὖν ἀμφὶ τῷ Βούζῃ τῇδε ἐχώρησε. Βελισάριον δὲ 13
*the-things indeed then about — Bouzes thus went Belisarius but*
βασιλεύς, καίπερ οὐδενὸς τῶν κατηγορουμένων ἁλόντα,
*the-emperor although of-none of-the-things charged convicted*

ἐγκειμένης τῆς βασιλίδος παραλύσας ἧς εἶχεν ἀρχῆς
*pressing the empress having-removed from-which he-had command*
Μαρτῖνον ἀντ᾽ αὐτοῦ τῆς ἑῴας στρατηγὸν κατεστήσατο,
*Martin instead-of him of-the east general appointed*
τούς τε Βελισαρίου δορυφόρους τε καὶ ὑπασπιστάς, καὶ
*the and of-Belisarius spearmen both and shield-bearers and*
τῶν οἰκετῶν εἴ τι ἐν πολέμῳ δόκιμον ἦν, τῶν τε ἀρχόντων
*of-the servants if any in war approved was of-the both commanders*
καὶ τῶν ἐν Παλατίῳ εὐνούχων τισὶν ἐπέστειλε διαδάσασθαι.
*and of-the in the-Palace eunuchs to-some he-instructed to-divide-up*
14 οἱ δὲ κλήρους ἐπ᾽ ἐκείνοις ἐμβεβλημένοι αὐτοῖς ὅπλοις
*they and lots over them having-cast with-the-very arms*
ἅπαντας ἐν σφίσιν αὐτοῖς διενείμαντο, ὥς πη
*all among them selves distributed as somehow*
κατατυχεῖν ἑκάστῳ συνέβη.
*to-fall-to each it-happened*
15 καὶ τῶν φίλων δὲ καὶ ἄλλως αὐτῷ τὰ πρότερα
*and of-the friends and also otherwise him the-things formerly*
ὑπουργηκότων πολλοῖς ἀπεῖπε παρὰ Βελισάριον μηκέτι
*having-served many he-forbade to Belisarius no-longer*
ἰέναι.
*to-go*
16 καὶ περιήρχετο πικρὸν θέαμα καὶ ἄπιστος ὄψις, Βελισάριος
*and went-about a-bitter spectacle and an-incredible sight Belisarius*
ἰδιώτης ἐν Βυζαντίῳ, σχεδόν τι μόνος, σύννους ἀεὶ καὶ
*a-private-man in Byzantium almost — alone pensive always and*
σκυθρωπὸς καὶ τὸν ἐξ ἐπιβουλῆς ὀρρωδῶν θάνατον.
*gloomy and the from plot dreading death*

μαθοῦσα δὲ ἡ βασιλὶς πολλά οἱ ἐπὶ τῆς ἕω χρήματα 17
*having-learned and the empress much to-him in the east money*
εἶναι, πέμψασα τῶν ἐν Παλατίῳ εὐνούχων τινὰ κεκόμισται
*to-be having-sent of-the in the-Palace eunuchs one has-brought*
πάντα.
*all*

ἐτύγχανε δὲ ἡ Ἀντωνίνα, ὥς μοι εἴρηται, τῷ μὲν 18
*it-happened and — Antonina as by-me has-been-said with-the indeed*
ἀνδρὶ διάφορος γεγενημένη, τῇ δὲ βασιλίδι φιλτάτη
*husband at-odds having-become to-the but empress dearest*
καὶ ἀναγκαιοτάτη οὖσα ἐν τοῖς μάλιστα ἅτε Ἰωάννην
*and most-indispensable being among the most since John*
ἔναγχος κατεργασαμένη τὸν Καππαδόκην.
*lately having-undone the Cappadocian*

διὸ δὴ χαρίσασθαι ἡ βασιλὶς τῇ Ἀντωνίνῃ βουλευσαμένη, 19
*wherefore indeed to-gratify the empress — to-Antonina having-planned*
ἅπαντα ἔπραττεν ὅπως ἐξαιτήσασθαί τε τὸν ἄνδρα ἡ
*all-things did so-that to-beg-off both the husband the*
γυνὴ καὶ ἀπὸ ξυμφορῶν τηλικῶνδε ῥύσασθαι δόξειε,
*wife and from disasters such to-rescue she-might-seem*
ταύτῃ τε οὐ μόνον τῷ ταλαιπώρῳ ἐς τὸ παντελὲς
*thereby and not only with-the wretch into the complete*
καταλλαγῆναι συμβήσεται, ἀλλὰ καὶ διαρρήδην αὐτὸν ἅτε
*to-be-reconciled it-will-happen but also openly him as*
πρὸς αὐτῆς διασεσωσμένον αἰχμάλωτον ἀναρπάσασθαι.
*by her saved captive to-carry-off*

ἐγένετο δὲ ὧδε. ἦλθε μέν ποτε Βελισάριος πρωΐ ἐς 20
*it-happened and thus came indeed once Belisarius early to*
Παλάτιον, ᾗπερ εἰώθει, ξὺν ἀνθρώποις οἰκτροῖς τε
*the-Palace as he-was-accustomed with men pitiable both*
καὶ ὀλίγοις τισίν.
*and few some*

21 οὐκ εὐμενῶν δὲ πειρασάμενος βασιλέως τε καὶ τῆς
*not well-disposed but having-found of-emperor both and of-the*
βασιλίδος, ἀλλὰ καὶ περιυβρισμένος ἐνταῦθα ὑπ᾽ ἀνδρῶν
*empress but also insulted there by men*
μοχθηρῶν τε καὶ ἀγελαίων, οἴκαδε ἀμφὶ δείλην ὀψίαν
*wicked both and vulgar homeward about evening late*
ἀπιὼν ᾤχετο, συχνά τε περιστρεφόμενος ἐν τῇ
*going-away went many-times and turning-around in the*
ἀναχωρήσει ταύτῃ καὶ πανταχόσε περισκοπούμενος, ὁπόθεν
*withdrawal this and everywhere looking-around from-where*
ποτὲ προσιόντας αὐτῷ τοὺς ἀπολλύντας ἴδοι.
*ever approaching him those destroying he-might-see*

22 ξὺν ταύτῃ τε τῇ ὀρρωδίᾳ εἰς τὸ δωμάτιον ἀναβὰς ἐπὶ
*with this and the dread into the room having-gone-up on*
τῆς στιβάδος καθῆστο μόνος, γενναῖον μὲν οὐδὲν ἐννοῶν,
*the couch sat alone noble indeed nothing thinking*
οὐδὲ ὅτι ἀνὴρ ἐγεγόνει ἐν μνήμῃ ἔχων, ἱδρῶν δὲ ἀεὶ καὶ
*nor that a-man he-had-been in memory having sweating but always and*
ἰλιγγιῶν καὶ ξὺν τρόμῳ πολλῷ ἀπορούμενος, φόβοις τε
*dizzy and with trembling much at-a-loss by-fears both*
ἀνδραποδώδεσι καὶ μερίμναις ἀποκναιόμενος φιλοψύχοις
*slavish and by-cares being-worn-out cowardly*
τε καὶ ὅλως ἀνάνδροις.
*both and wholly unmanly*

23 Ἀντωνίνα δὲ ἅτε οὔτε τὰ πρασσόμενα ὅλως ἐπισταμένη
*Antonina but as neither the-things being-done wholly knowing*
οὔτε τι τῶν ἐσομένων καραδοκοῦσα περιπάτους
*nor anything of-the-things about-to-be expecting walks*
ἐνταῦθα ἐποιεῖτο συχνοὺς ὀξυρεγμίαν σκηπτομένη·
*there made many heartburn pretending*

ἔτι γὰρ εἰς ἀλλήλους ὑπόπτως εἶχον. μεταξὺ δέ τις 24
*still for toward one-another suspiciously they-were meanwhile and a-certain-man*
ἐκ Παλατίου, Κουαδρᾶτος ὄνομα, ἥκεν ἤδη δεδυκότος ἡλίου,
*from the-Palace Quadratus by-name came already having-set the-sun*
τήν τε αὔλειον ὑπερβὰς ἐξαπιναίως παρὰ τὴν ἀνδρωνίτιδα
*the and court-gate having-passed suddenly at the men's-quarters*
ἔστη θύραν, φάσκων πρὸς τῆς βασιλίδος ἐνταῦθα ἐστάλθαι.
*stood door saying by the empress there to-have-been-sent*
ὅπερ ἐπεὶ Βελισάριος ἤκουσε, χεῖρας καὶ πόδας ἐπὶ τῆς 25
*which when Belisarius heard hands and feet on the*
στιβάδος ἑλκύσας ὕπτιος ἔκειτο, πρὸς τὴν ἀναίρεσιν
*couch having-drawn-up on-his-back lay for the killing*
ἑτοιμότατος· οὕτως ἅπαν αὐτὸν τὸ ἀρρενωπὸν ἀπελελοίπει.
*most-ready so all him the manliness had-left*
οὔπω τοίνυν ὁ Κουαδρᾶτος παρ' αὐτὸν εἰσελθὼν γράμματά 26
*not-yet therefore — Quadratus to him having-entered letters*
οἱ τῆς βασιλίδος ἐπέδειξεν.
*to-him of-the empress showed*
ἐδήλου δὲ ἡ γραφὴ τάδε "Ἃ μὲν εἰργάσω ἡμᾶς, 27
*showed and the writing these(-things) what indeed you-did us*
ὦ βέλτιστε, οἶσθα. ἐγὼ δὲ τὰ πολλὰ ὀφείλουσα τῇ σῇ
*O best-man you-know I but the many-things owing to-the your*
γυναικί, ταῦτα δὴ τὰ ἐγκλήματά σοι ἀφεῖναι ξύμπαντα
*wife these indeed the charges to-you to-forgive all*
ἔγνωκα, ἐκείνῃ τὴν σὴν δωρουμένη ψυχήν.
*have-resolved to-her the your granting life*
τὸ μὲν οὖν ἔνθεν σοι τὸ θαρσεῖν ὑπέρ τε τῆς 28
*the-thing indeed then henceforth for-you the confidence about both the*
σωτηρίας καὶ τῶν χρημάτων περίεστιν· ὁποῖος δὲ σὺ
*safety and the money remains of-what-sort and you*
πρὸς αὐτὴν ἔσῃ διὰ τῶν πραχθησομένων εἰσόμεθα."
*toward her will-be through the-things going-to-be-done we-shall-know*

29 ταῦτα ἐπεὶ Βελισάριος ἀνελέξατο, ἅμα μὲν ὑφ᾽ ἡδονῆς
*these(-things) when Belisarius read at-once indeed by pleasure*
ἐπὶ μέγα ἀρθείς, ἅμα δὲ καὶ τῷ παρόντι ἐπίδειξιν
*to great lifted at-once and also to-the present a-display*
ἐθέλων ποιεῖσθαι τῆς γνώμης, ἀναστὰς εὐθὺς παρὰ τῆς
*wishing to-make of-the mind having-risen at-once at the*
γυναικὸς τοὺς πόδας ἐπὶ στόμα πίπτει.
*wife's the feet on face falls*
30 καὶ χειρὶ μὲν ἑκατέρᾳ περιλαβὼν αὐτῆς ἄμφω τὰς
*and with-hand indeed each having-clasped her both the*
κνήμας, τὴν δὲ γλῶσσαν ἀεὶ τῶν ταρσῶν τῆς
*shins the and tongue constantly from-the soles of-the*
γυναικὸς μεταβιβάζων, τοῦ μὲν βίου καὶ τῆς σωτηρίας
*wife passing-over of-the indeed life and of-the safety*
αἰτίαν ἐκάλει, ἀνδράποδον δὲ αὐτῆς τὸ ἐνθένδε πιστὸν
*cause he-called slave and her the henceforth faithful*
ὡμολόγει καὶ οὐκ ἀνὴρ ἔσεσθαι.
*he-confessed and not husband to-be*
31 καὶ τῶν χρημάτων δὲ ἡ βασιλὶς ἐς τριάκοντα χρυσοῦ
*and of-the money and the empress to thirty of-gold*
κεντηνάρια τῷ βασιλεῖ δοῦσα, τἄλλα Βελισαρίῳ ἀπέδοτο.
*centenaria to-the emperor having-given the-rest to-Belisarius gave-back*
32 Τὰ μὲν οὖν ἀμφὶ Βελισαρίῳ τῷ στρατηγῷ τῇδε
*the-things indeed then about Belisarius the general thus*
κεχωρήκει, ᾧπερ ἡ τύχη οὐ πολλῷ πρότερον Γελίμερά
*had-gone to-whom the fortune not much earlier Gelimer*
τε καὶ Οὐίττιγιν δορυαλώτους παρεδεδώκει.
*both and Vittigis captives had-handed-over*

ἐκ παλαιοῦ δὲ Ἰουστινιανόν τε καὶ Θεοδώραν πλοῦτος 33
*from of-old and Justinian both and Theodora wealth*
ὁ τούτου τοῦ ἀνδρὸς ἀκριβῶς ἔκνιζεν, ὑπέρογκός τε ὢν
*the of-this the man sorely irked excessive and being*
καὶ βασιλικῆς αὐλῆς ἄξιος.
*and of-imperial court worthy*
ἔφασκόν τε ὡς τῶν δημοσίων χρημάτων Γελίμερός 34
*they-said and that of-the public money of-Gelimer*
τε καὶ Οὐιττίγιδος τὸ πλεῖστον ἀποκρυψάμενος λάθρα
*both and of-Vittigis the most having-hidden secretly*
ἔτυχε, μοῖραν δὲ αὐτῶν βραχεῖάν τέ τινα καὶ οὐδαμῇ
*he-had a-portion but of-it small both some and in-no-way*
ἀξιόλογον βασιλεῖ ἔδωκε.
*worth-mentioning to-the-emperor he-gave*
πόνους δὲ τοὺς τοῦ ἀνθρώπου καὶ τῶν ἔξωθεν τὴν 35
*the-labors and the of-the man and of-the outsiders the*
βλασφημίαν διαριθμούμενοι, ἅμα δὲ καὶ σκῆψιν ἀξιόχρεων
*blame reckoning at-once and also pretext adequate*
ἐπ᾽ αὐτῷ οὐδεμίαν κεκομισμένοι ἡσυχῇ ἔμενον.
*against him none having-found quietly they-remained*
τότε δὲ ἡ βασιλὶς αὐτοῦ λαβομένη κατωρρωδηκότος 36
*then but the empress him having-taken-hold-of terrified*
τε καὶ ἀποδειλιάσαντος ὅλως πράξει μιᾷ διεπράξατο
*both and having-lost-heart wholly by-deed one accomplished*
ξυμπάσης αὐτοῦ τῆς οὐσίας κυρία γενέσθαι.
*of-all his the property mistress to-become*
ἐς κῆδος γὰρ ἀλλήλοις ξυνηλθέτην εὐθύς, Ἰωαννίνα 37
*into marriage-alliance for with-one-another they-two-came at-once Ioannina*
τε ἡ Βελισαρίου θυγάτηρ, ἥσπερ μόνης ἐγεγόνει πατήρ,
*and the of-Belisarius daughter of-whom alone he-had-been father*
Ἀναστασίῳ τῷ τῆς βασιλίδος θυγατριδῷ μνηστὴ γέγονε.
*to-Anastasius the of-the empress grandson betrothed became*

38 Βελισάριος μὲν οὖν ἀρχήν τε ἀπολαβεῖν τὴν οἰκείαν
*Belisarius indeed then command both to-recover the own*
ἠξίου καὶ στρατηγὸς τῆς ἑῴας ἀποδειχθεὶς πάλιν
*deemed-worthy and general of-the east having-been-appointed again*
ἐπὶ Χοσρόην καὶ Μήδους ἐξηγήσεσθαι τῷ Ῥωμαίων
*against Chosroes and Medes to-lead the of-Romans*
στρατῷ, Ἀντωνίνα δὲ οὐδαμῶς εἴα· περιυβρίσθαι γὰρ
*army Antonina but in-no-way allowed to-have-been-insulted for*
ἐν τοῖς ἐκείνῃ χωρίοις πρὸς αὐτοῦ ἔφασκεν, ἅπερ οὐκέτι
*in the there places by him she-said which no-longer*
τὸ λοιπὸν ὄψεσθαι.
*for-the rest to-see*

39 Διὸ δὴ Βελισάριος ἄρχων τῶν βασιλικῶν καταστὰς
*wherefore indeed Belisarius commander of-the imperial having-been-appointed*
ἱπποκόμων ἐς τὴν Ἰταλίαν τὸ δεύτερον ἐστάλη, ὁμολογήσας
*grooms to — Italy the second-time was-sent having-promised*
βασιλεῖ, ὥς φασι, χρήματα μήποτε αὐτὸν ἐν τῷδε τῷ
*to-the-emperor as they-say money never him in this the*
πολέμῳ αἰτήσειν, ἀλλὰ ξύμπασαν αὐτὸς τὴν τοῦ πολέμου
*war to-ask but all himself the of-the war*
παρασκευὴν χρήμασιν οἰκείοις ποιήσεσθαι.
*preparation with-money own to-make*

40 πάντες μὲν οὖν ὑπετόπαζον τά τε ἀμφὶ τῇ γυναικὶ
*all indeed then suspected the-things both about the wife*
ταύτῃ, ᾗπερ ἐρρήθη, Βελισάριον διοικήσασθαι καὶ βασιλεῖ
*this as was-said Belisarius to-have-arranged and to-the-emperor*
ταῦτα ὁμολογῆσαι ἀμφὶ τῷ πολέμῳ ἃ δεδιήγηται,
*these(-things) to-promise about the war which has-been-narrated*
ἀπαλλαξείοντα τῆς ἐν Βυζαντίῳ διατριβῆς, ἐπειδάν τε
*wishing-to-be-rid of-the in Byzantium stay when and*
τάχιστα τοῦ τῆς πόλεως περιβόλου ἐκτὸς γένηται,
*soonest of-the of-the city enclosure outside he-was*

ἁρπάσεσθαί τε αὐτίκα τὰ ὅπλα καί τι γενναῖον καὶ
*to-seize and at-once the arms and something noble and*
ἀνδρὶ πρέπον ἐπί τε τῇ γυναικὶ καὶ τοῖς βιασαμένοις
*to-a-man befitting against both the wife and those having-used-force*
φρονήσειν.
*to-plan*
αὐτὸς δὲ πάντα τὰ ξυμπεσόντα ἐν ἀλογίᾳ πεποιημένος 41
*he but all the-things having-befallen in disregard having-made*
ὅρκων τε τῶν Φωτίῳ καὶ τοῖς ἄλλοις ἐπιτηδείοις
*of-oaths and those to-Photius and to-the other close-friends*
ὀμωμοσμένων ἐν λήθῃ τε πολλῇ καὶ ὀλιγωρίᾳ γενόμενος
*sworn in forgetfulness both much and contempt having-become*
εἵπετο τῇ γυναικί, καταστὰς ἐκτόπως εἰς αὐτὴν
*followed the wife having-become extraordinarily toward her*
ἐρωτόληπτος, καὶ ταῦτα ἑξήκοντα ἤδη γεγονυῖαν ἔτη.
*love-smitten and that sixty already having-reached years*
ἐπειδὴ μέντοι ἐν Ἰταλίᾳ ἐγένετο, εἰς ἡμέραν ἑκάστην ἀπ᾽ 42
*when however in Italy he-came to day each from*
ἐναντίας αὐτῷ τὰ πράγματα ἐχώρει, ἐπεί οἱ διαρρήδην
*opposite to-him the affairs went since to-him openly*
τὰ ἐκ θεοῦ πολέμια ἦν.
*the-things from God hostile were*
πρῶτον μέν γε τὰ τῷ στρατηγῷ τούτῳ ἐν τοῖς 43
*first indeed at-least the-things by-the general this in the*
ξυμπίπτουσιν ἐπί τε Θευδάτον καὶ Οὐίττιγιν βουλευόμενα,
*happenings against both Theodahad and Vittigis planned*
καίπερ οὐκ ἐπιτηδείως τοῖς πρασσομένοις δοκοῦντα
*although not suitably to-the-things being-done seeming*
ἔχειν, ἐς ξύμφορον ἐκ τοῦ ἐπὶ πλεῖστον ἐτελεύτα τέλος·
*to-be to advantageous from the for most ended end*
ἐν δὲ τῷ ὑστέρῳ δόξαν μὲν ἀπήνεγκεν ὅτι δὴ τὰ
*in but the later reputation indeed he-carried-off that indeed the*

βελτίω βεβούλευται ἅτε καὶ τῶν κατὰ τὸν πόλεμον τόνδε
*better-things he-has-planned as also of-the in the war this*
πραγμάτων γεγονὼς ἔμπειρος, ἀλλ᾽ ἐν τοῖς ἀποβαίνουσι
*affairs having-become experienced but in the outcomes*
κακοτυχοῦντι τὰ πολλὰ ἐς ἀβουλίας δόκησιν αὐτῷ ἀπεκρίθη.
*being-unlucky the most-part to of-ill-counsel appearance for-him resulted*
44 οὕτως ἄρα οὐκ ἀνθρώπων βουλαῖς, ἀλλὰ τῇ ἐκ θεοῦ
*thus then not by-men's counsels but by-the from God*
ῥοπῇ πρυτανεύεται τὰ ἀνθρώπεια, ὃ δὴ τύχην εἰώθασι
*inclination are-governed the human-things which indeed fortune are-accustomed*
καλεῖν ἄνθρωποι, οὐκ εἰδότες ὅτου δὴ ἕνεκα ταύτῃ
*to-call men not knowing for-what indeed sake this-way*
πρόεισι τὰ ξυμβαίνοντα, ᾗπερ αὐτοῖς ἔνδηλα γίνεται.
*proceed the-things happening as to-them plain becomes*
45 τῷ γὰρ ἀλόγῳ δοκοῦντι εἶναι φιλεῖ τὸ τῆς τύχης ὄνομα
*to-the for irrational seeming to-be is-wont the of-the fortune name*
προσχωρεῖν. ἀλλὰ ταῦτα μὲν ὥς πη ἑκάστῳ φίλον,
*to-attach but these(-things) indeed as somehow to-each dear*
ταύτῃ δοκείτω.
*this-way let-it-seem*

## V · BELISARIUS IN ITALY, AND THEODORA'S MARRIAGES

*In five years of the second Italian war Belisarius never lands where there is no fortress, loses Rome to Totila, and grows grasping, driving Herodian to surrender Spoletium to the Goths. Theodora, out of hatred for Germanus, keeps anyone from marrying his children, and when John the nephew of Vitalian swears to marry his daughter she threatens his life, so that John dare not join Belisarius. Belisarius is allowed home and leaves Italy to the enemy. Theodora, wanting Belisarius' wealth for her grandson, has Ioannina joined to Anastasius without law; after Theodora's death Antonina separates them, and Belisarius shares the blame. Sergius, who murdered the Leuathae envoys at a feast after swearing their safety, ruins Libya, but as suitor of Antonina's granddaughter goes unpunished; his brother Solomon kills his ransomer Pegasius, is cleared by Justinian, and dies on the road.*

Βελισάριος δὲ τὸ δεύτερον ἐν Ἰταλίᾳ γενόμενος αἴσχιστα 1
*Belisarius and the second-time in Italy having-come most-shamefully*
ἐνθένδε ἀπήλλαξε· τῆς μὲν γὰρ γῆς ἐς πεντάετες ἀποβῆναι
*thence departed of-the indeed for land for five-years to-disembark*
οὐδαμῇ ἴσχυσεν, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις
*in-no-way he-was-able as by-me in the earlier books*
ἐρρήθη, ὅτι μὴ ἔνθα τι ὀχύρωμα ἦν. ναυτιλλόμενος δὲ
*was-said except — where some stronghold was sailing but*
πάντα τοῦτον τὸν χρόνον τὰ ἐπιθαλάσσια περιήει.
*all this the time the-places by-the-sea he-went-around*
Τουτίλας δὲ λυσσῶν ἦν αὐτὸν ἔξω τείχους λαβεῖν, οὐ 2
*Totila and raging was him outside the-wall to-catch not*
μέντοι εὗρεν, ἐπεὶ ὀρρωδίᾳ πολλῇ αὐτός τε καὶ ξύμπας
*however he-found since by-dread much he both and all*
ὁ Ῥωμαίων στρατὸς εἶχετο.
*the of-Romans army was-held*

3 διὸ δὴ οὔτε τῶν ἀπολωλότων τι ἀνεσώσατο,
*wherefore indeed neither of-the-things lost anything he-recovered*
ἀλλὰ καὶ Ῥώμην προσαπώλεσε καὶ τἄλλα ὡς εἰπεῖν
*but also Rome he-lost-besides and the-rest so-to speak*
ἅπαντα.
*all*

4 ἐγένετο δὲ φιλοχρήματος ἐν τούτῳ τῷ χρόνῳ πάντων
*he-became and money-loving in this the time of-all*
μάλιστα καὶ κέρδους αἰσχροῦ ἐπιμελητὴς ἀκριβέστατος ἅτε
*most and of-gain shameful a-seeker most-exacting as*
οὐδὲν ἐκ βασιλέως κεκομισμένος, Ἰταλοὺς ἀμέλει σχεδὸν
*nothing from emperor having-received the-Italians indeed almost*
πάντας, οἵπερ ᾤκηντο ἐπί τε Ῥαβέννης καὶ Σικελίας,
*all who dwelt in both Ravenna and Sicily*
καὶ εἴ του ἄλλου κατατυχεῖν ἐν ἐξουσίᾳ ἔσχεν, ἐληΐσατο
*and if anyone else to-fall-in-with in power he-had he-plundered*
οὐδενὶ κόσμῳ, λογισμοὺς δῆθεν τῶν βεβιωμένων
*with-no order accounts supposedly of-the-things lived*
καταπραττόμενος.
*exacting*

5 οὕτω γοῦν καὶ Ἡρωδιανὸν μετιὼν χρήματα ᾔτει,
*thus at-any-rate also Herodian pursuing money he-demanded*
ἅπαντα τῷ ἀνθρώπῳ ἐπανασείων.
*all-things at-the man brandishing*

6 οἷς δὴ ἐκεῖνος ἀχθόμενος ἀπετάξατο μὲν τῷ Ῥωμαίων
*by-which indeed he vexed renounced indeed the of-Romans*
στρατῷ, αὐτὸν δὲ εὐθὺς ξύν τε τοῖς ἑπομένοις καὶ τῷ
*army himself and at-once with both the followers and —*
Σπολιτίῳ Τουτίλᾳ καὶ Γότθοις ἐνέδωκεν.
*Spoletium to-Totila and to-Goths gave-up*

ὅπως δὲ αὐτῷ τε καὶ Ἰωάννῃ τῷ Βιταλιανοῦ ἀδελφιδῷ 7
*how but for-him both and for-John the of-Vitalian nephew*
διχοστατῆσαι συνέβη, ὅπερ τὰ Ῥωμαίων πράγματα
*to-quarrel it-happened which the of-Romans affairs*
μάλιστα ἔσφηλεν, αὐτίκα δηλώσω.
*most tripped at-once I-will-make-plain*
Ἐς τοῦτο ἀπεχθείας Γερμανῷ ἡ βασιλὶς ἦλθεν 8
*to such hatred toward-Germanus the empress came*
ἐπιδηλότατόν τε ἅπασι τὸ ἔχθος ἐποίει, ὥστε αὐτῷ
*most-evident and to-all the hatred made so-that with-him*
κηδεύειν, καίπερ βασιλέως ἀνεψιῷ ὄντι, ἐτόλμα
*to-form-a-marriage-alliance although of-the-emperor cousin being dared*
οὐδείς, ἄνυμφοί τε αὐτῷ οἱ παῖδες διαγεγόνασι, μέχρις
*no-one unmarried and to-him the children remained until*
αὐτὴ ἀπελύθη τοῦ βίου. ἥ τε θυγάτηρ αὐτῷ Ἰουστίνα
*she was-released from-the life the and daughter to-him Justina*
ἐπὶ ὀκτωκαίδεκα ἔτη ἡβήσασα ἔτι ἀνυμέναιος ἦν.
*to eighteen years having-come-of-age still unwed was*
διά τοι τοῦτο ἡνίκα Ἰωάννης πρὸς Βελισαρίου σταλεὶς 9
*because-of indeed this when John by Belisarius sent*
ἀφίκετο ἐς Βυζάντιον, ἐς λόγους αὐτῷ καταστῆναι ὁ
*arrived to Byzantium into talks with-him to-enter —*
Γερμανὸς ἀμφὶ τῇ κηδείᾳ ἠνάγκαστο, καὶ ταῦτα λίαν
*Germanus about the marriage-alliance was-compelled and that very*
ἀπὸ τῆς ἀξίας τῆς αὐτοῦ ὄντι.
*far-below the rank the his being*
ἐπεί τε τὸ πρᾶγμα ἤρεσκεν ἄμφω, ὅρκοις ἀλλήλους ἔγνωσαν 10
*when and the matter pleased both by-oaths one-another they-resolved*
δεινοτάτοις καταλαβεῖν ἦ μὴν τὸ κῆδος ἐπιτελέσειν δυνάμει
*most-terrible to-bind truly indeed the alliance to-accomplish with-power*
τῇ πάσῃ, ἐπεὶ αὐτοῖν ἑκάτερος τὸ θαρσεῖν ἐπὶ θατέρῳ
*the all since of-the-two each the confidence in the-other*

ὡς ἥκιστα εἶχεν, ὁ μὲν τῷ ξυνειδέναι ὅτι δὴ τῶν
*as least had the-one indeed by-the to-be-aware that indeed things*
ὑπὲρ τὴν ἀξίαν ὀρέγοιτο, ὁ δὲ κηδεστοῦ ἀπορούμενος.
*beyond the rank he-reached-for the-other but a-kinsman lacking*
11 ἡ δὲ οὐκ ἔχουσα τίς γένηται διὰ πάσης ὁδοῦ ἰοῦσα
*she but not having what she-should-do through every way going*
ἑκάτερον μετιέναι μηχανῇ πάσῃ οὐκ ἀπηξίου, ὅπως ἂν
*each to-pursue by-device every not she-disdained so-that —*
τὰ πραττόμενα διακωλύοι.
*the-things being-done she-might-prevent*
12 ἐπεὶ δὲ αὐτοῖν καίπερ πολλὰ δεδιξαμένη ἀναπείθειν
*when but them although many-things having-frightened to-persuade*
οὐδέτερον ἔσχε, διαρρήδην ἀπολεῖν τὸν Ἰωάννην ἠπείλησε.
*neither she-could openly to-destroy — John she-threatened*
13 καὶ ἀπ᾽ αὐτοῦ Ἰωάννης αὖθις ἐς Ἰταλίαν σταλεὶς οὐδαμῇ
*and from it John again to Italy sent in-no-way*
ξυμμῖξαι Βελισαρίῳ ἐτόλμησε, τὴν ἐξ Ἀντωνίνης ἐπιβουλὴν
*to-join with-Belisarius dared the from Antonina plot*
δείσας, ἕως Ἀντωνίνα ἐς Βυζάντιον ἦλθε.
*fearing until Antonina to Byzantium came*
14 τήν τε γὰρ βασιλίδα ταύτῃ ἐπιστεῖλαι τὸν αὐτοῦ φόνον οὐκ
*the both for empress to-her to-have-instructed the his murder not*
ἄπο τοῦ εἰκότος ἄν τις ὑπώπτευσε, καὶ τὸν Ἀντωνίνης
*away-from the likely — anyone would-suspect and the of-Antonina*
σταθμωμένῳ τρόπον ἅπαντά τε Βελισάριον ἐνδιδόναι τῇ
*for-one-weighing character all-things and Belisarius to-yield to-the*
γυναικὶ ἐπισταμένῳ δέος ἐγίνετο μέγα καὶ τὸν ἐσήει.
*wife for-one-knowing fear arose great and him it-came-upon*
15 τοῦτο γοῦν Ῥωμαίοις τὰ πράγματα καὶ πρότερον ἐπὶ
*this at-any-rate for-the-Romans the affairs even before on*
θατέρου σκέλους ἑστῶτα προσουδίζει χαμαί.
*the-other leg standing dashes-to-the-ground to-earth*

Βελισαρίῳ μὲν οὖν ὁ Γοτθικὸς πόλεμος τῇδε ἐχώρησεν. 16
*for-Belisarius indeed then the Gothic war thus went*
ἀπογνοὺς δὲ βασιλέως ἐδεῖτο ὅπως οἱ ἐξῇ ἐνθένδε
*having-despaired and of-the-emperor he-begged that for-him it-be-allowed thence*
ὅτι τάχιστα ἀπαλλαγῆναι.
*as soonest to-depart*
καὶ ἐπεὶ ἐνδεχόμενον βασιλέα τὴν δέησιν ἔγνω, ἄσμενος 17
*and when accepting the-emperor the request he-learned gladly*
εὐθὺς ἀπιὼν ᾤχετο, χαίρειν πολλὰ τῷ τε Ῥωμαίων
*at-once going-away he-went farewell much to-the both of-Romans*
στρατῷ καὶ τοῖς Ἰταλοῖς φράσας, καὶ τὰ μὲν πλεῖστα
*army and to-the Italians having-said and the indeed most*
ὑποχείρια τοῖς πολεμίοις ἀπολιπών, Περυσίαν δὲ πικρότατα
*subject to-the enemies having-left Perusia and most-bitterly*
πολιορκίᾳ πιεζομένην, ἥπερ ἔτι αὐτοῦ ὁδῷ ἰόντος κατ᾽
*by-siege being-pressed which still him on-the-road going from*
ἄκρας ἁλοῦσα ἐς πᾶσαν κακοῦ ἰδέαν ἦλθεν, ᾗπέρ μοι
*top-to-bottom taken to every of-evil form came as by-me*
πρότερον δεδιήγηται. ξυνηνέχθη δὲ καὶ κατὰ τὴν οἰκίαν
*earlier has-been-narrated it-happened and also at the house*
τύχης ἐναντίωμα ξυμπεσεῖν τοιόνδε.
*of-fortune a-reverse to-befall such*
Θεοδώρα ἡ βασιλὶς τῆς Βελισαρίου παιδὸς ἐξεργάζεσθαι 18
*Theodora the empress of-the of-Belisarius daughter to-bring-about*
τὴν ἐγγύην ἐπειγομένη τῷ θυγατριδῷ, συχνὰ γράφουσα
*the betrothal pressing to-the grandson often writing*
τοὺς γειναμένους τὴν κόρην ἠνώχλει.
*the-(ones) having-begotten the girl harassed*
οἱ δὲ τὸ κῆδος ἀναδυόμενοι ἀπετίθεντο μὲν ἐς παρουσίαν 19
*they but the alliance shrinking-from put-off indeed to arrival*
τὴν σφετέραν τὸν γάμον, μεταπεμπομένης δὲ αὐτοὺς ἐς
*the their-own the marriage summoning and them to*

Βυζάντιον τῆς βασιλίδος, ἀδύνατοι εἶναι ἀπαλλάσσεσθαι
*Byzantium the empress unable to-be to-depart*
τανῦν ἐξ Ἰταλίας ἐσκήπτοντο.
*now from Italy they-pretended*
20 ἡ δὲ γλιχομένη μὲν κύριον τὸν θυγατριδοῦν τοῦ
*she but longing indeed master the grandson of-the*
Βελισαρίου καταστήσεσθαι πλούτου, ᾔδει γὰρ ἐπίκληρον
*of-Belisarius to-make wealth she-knew for heiress*
ἐσομένην τὴν παῖδα, οὐκ ὄντος Βελισαρίῳ ἑτέρου του
*about-to-be the daughter not being for-Belisarius other any*
γόνου, ἐπὶ μέντοι τῇ Ἀντωνίνης γνώμῃ θαρσεῖν οὐδαμῇ
*offspring in however the of-Antonina intention to-trust in-no-way*
ἔχουσα, δειμαίνουσά τε μὴ μετὰ τὴν τοῦ βίου καταστροφὴν
*having fearing and lest after the of-the life end*
οὐ φανεῖσα πιστὴ ἐς τὸν αὐτῆς οἶκον, καίπερ αὐτῆς
*not appearing faithful to the her house although her*
οὕτω φιλανθρώπου ἐν τοῖς ἀναγκαιοτάτοις τυχοῦσα,
*so kind in the most-necessary-things having-found*
διασπάσηται τὰ ξυγκείμενα, ἐργάζεται ἀνόσιον ἔργον.
*she-might-tear-apart the-things agreed does an-unholy deed*
21 τῷ γὰρ μειρακίῳ τὴν παιδίσκην ξυνοικίζει οὐδενὶ νόμῳ.
*to-the for youth the girl she-joins with-no law*
φασὶ δὲ ὡς καὶ πλησιάσαι οὔτι ἑκουσίαν ἠνάγκασε κρύβδην,
*they-say and that also to-lie-with not willing she-compelled secretly*
οὕτω τε διαπεπαρθενευμένῃ τὸν ὑμέναιον τῇ κόρῃ
*so and having-been-deflowered the wedding for-the maiden*
ξυστῆναι, τοῦ μὴ βασιλέα τὰ πρασσόμενα διακωλῦσαι.
*to-be-set-up — lest the-emperor the-things being-done prevent*

τοῦ μέντοι ἔργου ἐξειργασμένου ἔρωτι ἀλλήλοιν διαπύρῳ 22
*the however deed having-been-done with-love for-one-another burning*
τινὶ ὅ τε Ἀναστάσιος καὶ ἡ παῖς εἴχοντο, καὶ χρόνος σφίσιν
*some — both Anastasius and the girl were-held and time for-them*
οὐχ ἧσσων ἢ ὀκτὼ μηνῶν ἐν ταύτῃ τῇ διαίτῃ ἐτρίβη.
*not less than eight of-months in this the way-of-life was-spent*
ἡνίκα δὲ Ἀντωνίνα τῆς βασιλίδος ἀπογενομένης ἐς Βυζάντιον 23
*when but Antonina the empress having-died to Byzantium*
ἦλθεν, ἐπελάθετο μὲν ἐθελουσία ὧν ἐκείνη ἔναγχος εἰς
*came forgot indeed willingly what she lately toward*
αὐτὴν εἴργαστο, ὡς ἥκιστα δὲ ὑπολογισαμένη ὡς, ἤν
*her had-done as least and having-reckoned that if*
τῳ ἑτέρῳ ἡ παῖς αὐτῇ ξυνοικίζοιτο, πεπορνευμένη τὰ
*to-some other the daughter to-her were-married having-been-debauched the*
πρότερα ἔσται, τὸν Θεοδώρας ἔκγονον κηδεστὴν ἀτιμάζει,
*formerly she-will-be the of-Theodora descendant kinsman dishonors*
τήν τε παῖδα ὡς μάλιστα ἀκουσίαν βιασαμένη ἀνδρὸς
*the and girl as most unwilling having-forced from-husband*
τοῦ ἐρωμένου ἀπέστησε.
*the loved separated*
μεγάλην τε ἀγνωμοσύνης ἐκ τοῦ ἔργου τούτου ἀπηνέγκατο 24
*great and of-ingratitude from the deed this carried-off*
δόξαν εἰς πάντας ἀνθρώπους, ἥκοντά τε οὐδενὶ πόνῳ
*reputation to all men coming and with-no toil*
ἀναπείθει τὸν ἄνδρα τοῦ ἄγους αὐτῇ μεταλαχεῖν τοῦδε. ὥστε
*she-persuades the husband of-the pollution with-her to-share this so-that*
διαρρήδην τηνικάδε ὁ τοῦ ἀνθρώπου τρόπος ἐλήλεγκται.
*openly at-that-time the of-the man character was-exposed*

25 καίτοι διομοσάμενος Φωτίῳ τε καὶ τῶν ἐπιτηδείων τισὶ
*and-yet having-sworn to-Photius both and of-the close-friends to-some*
πρότερον καὶ τὰ ὀμωμοσμένα οὐδαμῇ ἐμπεδώσας
*formerly and the-things sworn in-no-way having-kept*
συγγνώμης ἐτύγχανε πρὸς πάντων ἀνθρώπων.
*pardon he-obtained from all men*

26 αἴτιον γὰρ τοῦ ἀπίστου τἀνδρὸς οὐ τὴν γυναικοκράτειαν,
*the-cause for of-the faithlessness of-the-man not the wife-rule*
ἀλλὰ δέος τὸ ἐκ τῆς βασιλίδος ὑπώπτευον εἶναι.
*but fear the from the empress they-suspected to-be*

27 ἐπεὶ δὲ καὶ Θεοδώρας ἀπογενομένης, ὥσπερ μοι εἴρηται,
*when but also Theodora having-died as by-me has-been-said*
οὔτε Φωτίου οὔτε ἄλλου του τῶν οἱ ἀναγκαίων λόγος
*neither of-Photius nor of-other anyone of-the to-him intimates account*
γεγένητο, ἀλλ᾽ αὐτῷ δέσποινα μὲν ἡ γυνὴ ἐφαίνετο
*had-been-made but to-him mistress indeed the wife appeared*
οὖσα, κύριος δὲ Καλλίγονος ὁ προαγωγὸς ἦν, τότε δὴ
*being master but Calligonus the procurer was then indeed*
ἀπογνόντες αὐτοῦ ἅπαντες ἐχλεύαζόν τε διαθρυλλοῦντες
*having-despaired-of him all mocked both noising-abroad*
καὶ ἅτε ἄνοιαν ὀφλισκάνοντι ἐλοιδοροῦντο. τὰ μὲν
*and as folly incurring reviled the-things indeed*
οὖν ἡμαρτημένα Βελισαρίῳ ἀπαρακαλύπτως εἰπεῖν ταύτῃ
*then sinned by-Belisarius without-veil to-tell this-way*
πη ἔχει.
*somehow stands*

28 Τὰ δὲ Σεργίῳ τῷ Βάκχου παιδὶ ἐπὶ Λιβύης ἡμαρτημένα
*the-things and by-Sergius the of-Bacchus son in Libya sinned*
διαρκῶς μὲν ἐν λόγοις μοι τοῖς ἐπιτηδείοις δεδήλωται,
*sufficiently indeed in books by-me the suitable have-been-shown*
ὃς δὴ αἰτιώτατος γέγονε Ῥωμαίοις ἐνταῦθα διαφθαρῆναι
*who indeed most-responsible became for-Romans there to-be-ruined*

τὰ πράγματα, τά τε πρὸς Λευάθας αὐτῷ πρὸς τῶν
*the affairs the-things both to Leuathae by-him on the*
εὐαγγελίων ὀμωμοσμένα ἐν ἀλογίᾳ πεποιημένος καὶ τοὺς
*gospels sworn in disregard having-made and the*
ὀγδοήκοντα πρέσβεις οὐδενὶ λόγῳ διαχρησάμενος, τοσοῦτον
*eighty envoys with-no reason having-killed so-much*
δέ μοι τανῦν ἐντιθέναι τῷ λόγῳ δεήσει, ὡς οὔτε
*but for-me now to-put-in in-the account it-will-be-necessary that neither*
νῷ δολερῷ οἱ ἄνδρες οὗτοι παρὰ Σέργιον ἦλθον οὔτε τινὰ
*with-mind treacherous the men these to Sergius came nor any*
σκῆψιν ὁ Σέργιος ὑποψίας περὶ αὐτοὺς εἶχεν, ἀλλὰ διώμοτος
*pretext — Sergius of-suspicion about them had but under-oath*
ἐπὶ θοίνην καλέσας τοὺς ἄνδρας διεχρήσατο οὐδενὶ κόσμῳ.
*to a-feast having-invited the men killed with-no order*
ἀφ᾽ οὗ δὴ Σολόμωνι καὶ τῷ Ῥωμαίων στρατῷ καὶ 29
*from which indeed for-Solomon and for-the of-Romans army and*
Λίβυσι πᾶσι διεφθάρθαι ξυνέβη.
*for-Libyans all to-have-been-ruined it-happened*
δι᾽ αὐτὸν γάρ, ἄλλως τε καὶ Σολόμωνος τετελευτηκότος, 30
*because-of him for especially — also Solomon having-died*
ὥσπερ μοι εἴρηται, οὔτε τις ἄρχων οὔτε τις στρατιώτης
*as by-me has-been-said neither any commander nor any soldier*
ἐς πολέμου κίνδυνον ἰέναι ἠξίου.
*to of-war danger to-go deemed-fit*
μάλιστα δὲ πάντων Ἰωάννης ὁ Σισιννιόλου τῷ ἐς 31
*most but of-all John the-(son) of-Sisinniolus by-the toward*
αὐτὸν ἔχθει ἀπόμαχος ἦν, ἕως Ἀρεόβινδος ἐς Λιβύην
*him hatred out-of-the-fight was until Areobindus to Libya*
ἀφίκετο.
*arrived*

32 ἦν γὰρ ὁ Σέργιος μαλθακὸς μὲν καὶ ἀπόλεμος, τὸ
*was for — Sergius soft indeed and unwarlike the*
δὲ ἦθος καὶ τὴν ἡλικίαν κομιδῇ νέος, φθόνῳ τε καὶ
*and character and the age quite young by-envy both and*
ἀλαζονείᾳ ἐς ὑπερβολὴν ἐχόμενος ἐς πάντας ἀνθρώπους,
*by-arrogance to excess held toward all men*
τεθρυμμένος τε τὴν δίαιταν καὶ τὰς γνάθους φυσῶν.
*enervated both the way-of-life and the cheeks puffing*
33 ἀλλ᾽ ἐπεὶ τῆς Ἀντωνίνης τῆς Βελισαρίου γυναικὸς ἐγγόνης
*but since — of-Antonina the of-Belisarius wife granddaughter*
ἐτύγχανε μνηστὴρ γεγονώς, τίσιν τινὰ ἐς αὐτὸν ἡ
*he-happened suitor having-become punishment any against him the*
βασιλὶς ἐξενεγκεῖν ἢ παραλύειν τῆς ἀρχῆς οὐδαμῇ ἤθελε,
*empress to-bring or to-remove from-the command in-no-way wished*
καίπερ ἐνδελεχέστατα διαφθειρομένην Λιβύην ὁρῶσα, ἐπεὶ
*although most-continually being-ruined Libya seeing since*
καὶ Σολόμωνα τὸν Σεργίου ἀδελφὸν τοῦ Πηγασίου φόνου
*also Solomon the of-Sergius brother of-the of-Pegasius murder*
αὐτή τε καὶ βασιλεὺς ἀθῷον ἀφῆκεν. ὅ τι δὲ τοῦτό
*she both and the-emperor guiltless let-go what — and this*
ἐστιν αὐτίκα δηλώσω.
*is at-once I-will-make-plain*
34 Ἐπειδὴ ὁ Πηγάσιος τὸν Σολόμωνα πρὸς τῶν Λευαθῶν
*when — Pegasius — Solomon from the Leuathae*
ὠνήσατο καὶ οἱ βάρβαροι ἐπ᾽ οἴκου ἀπεκομίσθησαν, ὁ
*ransomed and the barbarians to home returned —*
μὲν Σολόμων ξύν τε Πηγασίῳ τῷ ἐωνημένῳ καὶ
*indeed Solomon with both Pegasius the having-ransomed-(him) and*
στρατιώταις ὀλίγοις τισὶν εἰς Καρχηδόνα ἐστέλλετο, ἐν δὲ
*soldiers few some to Carthage was-dispatched on and*
τῇ ὁδῷ ταύτῃ λαβὼν ὁ Πηγάσιος ὅ τι δὴ ἀδικοῦντα
*the road this having-caught — Pegasius what — indeed wrongdoing*

Σολόμωνα χρῆναί οἱ ἔφασκεν ἐν μνήμῃ εἶναι ὡς
*Solomon it-was-necessary for-him he-said in memory to-be how*
αὐτὸν ἔναγχος ἐκ τῶν πολεμίων ὁ θεὸς ῥύσαιτο.
*him lately from the enemies — God rescued*
ὁ δὲ χαλεπήνας, ὅτι δή οἱ ἅτε δορυαλώτῳ ὠνείδισε, 35
*he but having-been-angered that indeed to-him as-to-a captive he-reproached*
τὸν Πηγάσιον εὐθὺς ἔκτεινε, ταῦτά τε σῶστρα τῷ
*— Pegasius at-once killed these(-things) and as-ransom to-the*
ἀνθρώπῳ ἀπέδωκεν.
*man he-repaid*
ἐπειδή τε ὁ Σολόμων ἐς Βυζάντιον ἦλθε, καθαρὸν αὐτὸν 36
*when and — Solomon to Byzantium came clean him*
βασιλεὺς τοῦ φόνου ἐποίει ἅτε προδότην ἀνελόντα τῆς
*the-emperor of-the murder made as a-traitor having-killed of-the*
Ῥωμαίων ἀρχῆς.
*of-Romans empire*
γράμματά τε αὐτῷ ἐδίδου τὴν ὑπὲρ τούτων ἀσφάλειαν 37
*letters and to-him gave the concerning these(-things) security*
παρεχόμενος. καὶ ὁ μὲν Σολόμων οὕτω τὴν τίσιν
*providing and — indeed Solomon thus the punishment*
διαφυγὼν ἐπὶ τὴν ἑῴαν ἄσμενος ᾔει, τήν τε πατρίδα
*having-escaped to the east gladly went the both fatherland*
καὶ γένος τὸ κατὰ τὴν οἰκίαν ὀψόμενος.
*and family the at the house going-to-see*
ἡ δὲ ἀπὸ τοῦ θεοῦ τίσις ἐν ταύτῃ τῇ ὁδῷ καταλαβοῦσα 38
*the but from — God punishment on this the road having-overtaken*
ἐξ ἀνθρώπων αὐτὸν ἀφανίζει. τὰ μὲν οὖν ἀμφὶ
*from men him makes-vanish the-things indeed then about*
Σολόμωνί τε καὶ Πηγασίῳ τῇδε ἐχώρησεν.
*Solomon both and Pegasius thus went*

*Procopius turns to what Justinian and Theodora were and how they tore apart the Romans' affairs. Under Leo three peasant youths from Illyria, among them Justin, walk to Byzantium with their biscuit and are enrolled in the Palace guard. Under Anastasius the general John the Hunchback jails Justin and is kept from killing him by a dream three times repeated. Justin rises to command the guards and takes the throne as an unlettered old man, signing his edicts by tracing a stencil; his wife Lupicina was a barbarian slave. His nephew Justinian governs for him, the author of calamities greater than any heard of: he murders and confiscates, overturns every established thing, and kills the eunuch Amantius and the rebel Vitalian after swearing to his safety.*

1 Οἵτινες δὲ ἀνθρώπω Ἰουστινιανός τε καὶ Θεοδώρα ἤστην
*what-sort and the-two-persons Justinian both and Theodora were*
τρόπῳ τε ὅτῳ διεσπάσαντο τὰ Ῥωμαίων πράγματα
*in-manner and what they-tore-apart the of-Romans affairs*
ἐρῶν ἔρχομαι.
*going-to-tell I-come*

2 Λέοντος ἐν Βυζαντίῳ τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος,
*Leo in Byzantium the absolute rule holding*
γεωργοὶ νεανίαι τρεῖς, Ἰλλυριοὶ γένος, Ζίμαρχός τε καὶ
*farmers youths three Illyrians by-race Zimarchus both and*
Διτύβιστος καὶ Ἰουστῖνος ὁ ἐκ Βεδεριάνης, πράγμασιν
*Ditybistus and Justin the-(one) from Bederiana with-troubles*
ἐνδελεχέστατα τοῖς ἀπὸ τῆς πενίας οἴκοι μαχόμενοι
*most-continually those from the poverty at-home fighting*
τούτων τε ἀπαλλαξείοντες ἐπὶ τὸ στρατεύεσθαι ὥρμησαν.
*from-these and wishing-to-be-rid to the to-serve-as-soldiers set-out*

3 καὶ πεζῇ βαδίζοντες ἐς Βυζάντιον ἦεσαν, σισύρας ἐπὶ τῶν
*and on-foot walking to Byzantium they-went cloaks on the*
ὤμων αὐτοὶ φέροντες, ἐν αἷς δὴ ἄλλο οὐδὲν ὅτι μὴ
*shoulders themselves carrying in which indeed other nothing except —*

διπύρους ἄρτους οἴκοθεν ἐμβεβλημένοι ἀφίκοντο, ταχθέντας
*twice-baked loaves from-home having-thrown-in they-arrived enrolled*
τε ἐν τοῖς στρατιωτικοῖς καταλόγοις βασιλεὺς αὐτοὺς
*and in the military lists the-emperor them*
ἐς τοῦ Παλατίου τὴν φυλακὴν ἐπελέξατο. κάλλιστοι γὰρ
*for of-the Palace the guard picked-out finest for*
ἅπαντες τὰ σώματα ἦσαν.
*all the bodies they-were*
χρόνῳ δὲ ὕστερον Ἀναστασίῳ τὴν βασιλείαν παραλαβόντι 4
*in-time and later for-Anastasius the empire having-taken-over*
πόλεμος πρὸς τὸ Ἰσαύρων ἔθνος ὅπλα ἐπ᾽ αὐτὸν
*a-war against the of-Isaurians nation arms against him*
ἀραμένους κατέστη.
*having-raised arose*
στρατιάν τε λόγου ἀξίαν ἐπ᾽ αὐτοὺς ἔπεμψεν, ἥσπερ 5
*an-army and of-account worthy against them he-sent which*
Ἰωάννης ἡγεῖτο, ἐπίκλησιν Κυρτός. οὗτος Ἰωάννης τὸν
*John led by-surname the-Hunchback this John —*
Ἰουστῖνον ἁμαρτάδος τινὸς ἕνεκα ἐν δεσμωτηρίῳ καθεῖρξεν,
*Justin of-offense some for-the-sake in prison shut-up*
ἡμέρᾳ τε τῇ ἐπιούσῃ ἐξ ἀνθρώπων αὐτὸν ἀφανιεῖν
*on-day and the following from men him to-make-vanish*
ἔμελλεν, εἰ μή τις μεταξὺ ἐπιγενομένη ὄψις ὀνείρου ἐκώλυσεν.
*he-was-about if not some meanwhile having-come vision of-a-dream prevented*
ἔφη γάρ οἱ ἐν ὀνείρῳ ὁ στρατηγὸς ἐντυχεῖν τινα 6
*said for to-him in a-dream the general to-meet someone*
παμμεγέθη τε τὸ σῶμα καὶ τἆλλα κρείσσω ἢ ἀνθρώπῳ
*huge both the body and the-rest greater than to-a-man*
εἰκάζεσθαι.
*to-be-likened*

7 καὶ τὸν μέν οἱ ἐπισκῆψαι μεθεῖναι τὸν ἄνδρα, ὅνπερ
*and him indeed to-him to-enjoin to-release the man whom*
καθείρξας ἐκείνῃ τῇ ἡμέρᾳ ἐτύγχανεν· αὐτὸν δὲ τοῦ ὕπνου
*having-shut-up that the day he-happened he but from-the sleep*
ἐξαναστάντα ἐν ἀλογίᾳ τὴν τοῦ ὀνείρου ὄψιν ποιήσασθαι.
*having-risen in disregard the of-the dream vision to-make*

8 ἐπιλαβούσης δὲ καὶ ἑτέρας νυκτὸς ἐδόκει μέν οἱ ἐν
*having-come-on and also another night he-seemed indeed to-him in*
τῷ ὀνείρῳ καὶ αὖθις τῶν λόγων ἀκούειν ὥνπερ ἠκηκόει
*the dream also again the words to-hear which he-had-heard*
τὸ πρότερον, ἐπιτελέσαι δὲ τὰ ἐπιτεταγμένα οὐδ' ὡς
*the before to-accomplish but the-things enjoined not-even so*
βεβουλῆσθαι.
*to-have-wished*

9 τρίτον τέ οἱ ἐπιστᾶσαν τὴν τοῦ ὀνείρου ὄψιν ἀπειλῆσαι
*a-third-time and to-him having-stood-by the of-the dream vision to-threaten*
μὲν τὰ ἀνήκεστα, ἢν μὴ τὰ ἐπηγγελμένα ποιοίη,
*indeed the-things incurable if not the-things commanded he-did*
ἐπειπεῖν τε ὡς αὐτοῦ τε τοῦ ἀνθρώπου καὶ τῆς ξυγγενείας
*to-add and that of-him both the man and of-the kin*
χρέος οἱ μέγα ὀργισθησομένῳ ἐς χρόνον τὸν ὄπισθεν εἴη.
*need to-him great going-to-be-angered for time the after might-be*

10 Τότε μὲν οὖν οὕτως Ἰουστίνῳ περιεῖναι ξυνέβη, προϊόντος
*then indeed then thus for-Justin to-survive it-happened advancing*
δὲ τοῦ χρόνου ἐς μέγα δυνάμεως οὗτος Ἰουστῖνος
*and the time to great power this Justin*
ἐχώρησεν.
*went*

11 ἄρχοντα γὰρ αὐτὸν Ἀναστάσιος βασιλεὺς κατεστήσατο τῶν
*commander for him Anastasius emperor appointed of-the*
ἐν Παλατίῳ φυλάκων. ἐπειδή τε ὁ βασιλεὺς ἐξ ἀνθρώπων
*in the-Palace guards when and the emperor from men*

ἠφάνιστο, αὐτὸς τῇ τῆς ἀρχῆς δυνάμει τὴν βασιλείαν
*had-vanished he by-the of-the command power the empire*
παρέλαβε, τυμβογέρων μὲν γεγονὼς ἤδη, ἀμάθητος δὲ
*took-over an-old-dotard indeed having-become already unlearned and*
γραμμάτων ἁπάντων καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος
*in-letters all and the indeed so-called illiterate*
ὤν, οὐ γεγονὸς ἔν γε Ῥωμαίοις πρότερον τοῦτο.
*being not having-happened among at-least Romans before this*
εἰθισμένον δὲ γράμματα οἰκεῖα τοῖς βιβλίοις ἐντιθέναι 12
*customary and letters own on-the documents to-put*
τὸν βασιλέα, ὅσα ἂν ἐπαγγέλλοντος αὐτοῦ γίνοιτο,
*the emperor as-many-as — enjoining him might-come-about*
αὐτὸς μέντοι οὔτε ἐπήγγειλεν οὔτε τοῖς πρασσομένοις
*he however neither enjoined nor with-the-things being-done*
ξυνεπίστασθαι οἷός τε ἦν.
*to-understand able — was*
ὃς δὲ παρεδρεύειν αὐτῷ ἔλαχεν, ἀρχὴν ἔχων τὴν τοῦ 13
*who and to-sit-beside him obtained command holding the of-the*
καλουμένου κοιαίστωρος Πρόκλος ὄνομα,
*so-called quaestor Proclus by-name*
αὐτὸς δὴ αὐτονόμῳ γνώμῃ ἅπαντα ἔπρασσεν. ὅπως 14
*he indeed with-independent judgment all-things did so-that*
δὲ μαρτυρίαν τῆς βασιλέως χειρὸς ἔχοιεν, οἷς δὴ
*and testimony of-the of-emperor hand they-might-have to-whom indeed*
ἐπίκειται τὸ ἔργον τοῦτο, ἐπενοήθη τάδε.
*is-imposed the task this was-devised these(-things)*
ξύλῳ εἰργασμένῳ βραχεῖ ἐγκολάψαντες μορφήν τινα 15
*in-wood worked short having-engraved a-form some*
γραμμάτων τεττάρων, ἅπερ ἀναγνῶναι τῇ Λατίνων φωνῇ
*of-letters four which to-read in-the of-Latins tongue*

δύναται, γραφίδα τε βαφῇ βάψαντες, ᾗ βασιλεῖς
*is-possible a-pen and in-the-dye having-dipped with-which emperors*
γράφειν εἰώθασιν, ἐνεχειρίζοντο τῷ βασιλεῖ τούτῳ.
*to-write are-accustomed they-put-in-the-hands to-the emperor this*
16 καὶ τὸ ξύλον, οὗπερ ἐμνήσθην, τῷ βιβλίῳ ἐνθέμενοι,
*and the wood which I-mentioned on-the document having-placed*
λαβόμενοί τε τῆς βασιλέως χειρός, περιῆγον μὲν ξὺν
*having-taken-hold-of and of-the of-emperor hand they-led-around indeed with*
τῇ γραφίδι ἐς τῶν τεττάρων γραμμάτων τὸν τύπον, ἐς
*the pen to of-the four letters the shape into*
πάσας τε τὰς τοῦ ξύλου αὐτὴν περιελίξαντες ἐντομὰς οὕτω
*all and the of-the wood it having-wound-round incisions thus*
δὴ ἀπηλλάσσοντο, τοιαῦτα βασιλέως γράμματα φέροντες.
*indeed they-went-away such of-emperor letters carrying*
17 Τὰ μὲν ἀμφὶ τῷ Ἰουστίνῳ ταύτῃ Ῥωμαίοις εἶχε.
*the-things indeed about — Justin this-way for-Romans stood*
γυναικὶ δὲ ὄνομα Λουππικίνῃ ξυνῴκει. αὕτη δὲ δούλη
*with-a-wife and by-name Lupicina he-lived she and slave*
τε καὶ βάρβαρος οὖσα τοῦ πρόσθεν αὐτὴν ἐωνημένου
*both and barbarian being of-the-(one) formerly her having-bought*
παλλακὴ γέγονε. καὶ αὐτὴ μὲν ξὺν Ἰουστίνῳ ἐπὶ βίου
*concubine had-been and she indeed with Justin at life's*
δυσμαῖς τὴν βασιλείαν ἔσχεν.
*setting the empire held*
18 Ἰουστῖνος μὲν οὖν οὔτε τι πονηρὸν τοὺς ὑπηκόους
*Justin indeed then neither anything bad the subjects*
ἐργάζεσθαι οὔτε ἀγαθὸν ἴσχυεν. εὐηθείᾳ γὰρ πολλῇ εἶχετο,
*to-do nor good was-able by-simplicity for much he-was-held*
ἄγλωττός τε παντάπασιν ὢν καὶ ἀγροικιζόμενος μάλιστα.
*tongueless both altogether being and being-boorish most*

ἀδελφιδοῦς δὲ αὐτῷ Ἰουστινιανὸς νέος ὢν ἔτι διῳκεῖτο 19
*nephew but his Justinian young being still administered*
τὴν ἀρχὴν ξύμπασαν καὶ γέγονε Ῥωμαίοις ξυμφορῶν
*the rule all and became for-Romans of-disasters*
αἴτιος, οἵας τε καὶ ὅσας ἐς τὸν ἅπαντα αἰῶνα οὐδείς
*cause such both and so-many into the whole age no-one*
που πρότερον ἀκοῇ ἔλαβεν.
*anywhere before by-hearing took*
ἔς τε γὰρ ἀνθρώπων ἄδικον φόνου καὶ χρημάτων 20
*to both for of-men unjust murder and of-property*
ἁρπαγὴν ἀλλοτρίων ῥᾷστα ἐχώρει, καὶ οὐδὲν ἦν αὐτῷ
*seizure belonging-to-others most-easily he-went and nothing it-was to-him*
μυριάδας πολλὰς ἐξ ἀνθρώπων ἀφανισθῆναι, καίπερ
*tens-of-thousands many from men to-be-made-to-vanish although*
αὐτῷ αἰτίαν οὐδεμίαν παρασχομένων.
*to-him cause no having-given*
καὶ φυλάσσειν μὲν τῶν καθεσταμένων οὐδὲν ἠξίου, 21
*and to-keep indeed of-the-things established nothing he-deemed-fit*
ἅπαντα δὲ νεοχμοῦν ἐς ἀεὶ ἤθελε, καὶ τὸ ξύμπαν εἰπεῖν,
*all-things but to-innovate for ever he-wished and the whole to-say*
μέγιστος δὴ οὗτος ἦν διαφθορεὺς τῶν εὖ καθεστώτων.
*greatest indeed this-man was destroyer of-the-things well established*
τὸν μὲν οὖν λοιμόν, ὅσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις 22
*the indeed then plague which by-me in the earlier books*
ἐρρήθη, καίπερ ἐπισκήψαντα εἰς τὴν γῆν ξύμπασαν,
*was-said although having-fallen upon the earth whole*
διέφυγον ἄνθρωποι οὐχ ἧσσους ἢ ὅσοις διαφθαρῆναι
*escaped men not fewer than as-many-as to-be-destroyed*
τετύχηκεν, ἢ οὐδαμῇ τῇ νόσῳ ἁλόντες ἢ περιγενόμενοι,
*happened either in-no-way by-the disease caught or having-survived*
ἐπειδὴ σφίσιν ἁλῶναι ξυνέβη.
*when them to-be-caught it-happened*

23 ἄνδρα δὲ τοῦτον διαφυγεῖν ἀνθρώπῳ γε ὄντι Ῥωμαίῳ
*the-man but this to-escape to-a-man at-least being Roman*
τῶν πάντων οὐδενὶ ξυνηνέχθη, ἀλλ᾽ ὥσπερ τι ἄλλο
*of-the all to-no-one it-happened but like some other*
ἐξ οὐρανοῦ πάθος ὅλῳ τῷ γένει ἐπεισπεσὸν ἀνέπαφον
*from heaven affliction on-whole the race having-fallen untouched*
οὐδένα παντελῶς εἴασε.
*no-one at-all he-allowed*

24 τοὺς μὲν γὰρ ἔκτεινεν οὐδενὶ λόγῳ, τοὺς δὲ πενίᾳ
*some indeed for he-killed with-no reason others but with-poverty*
μαχομένους ἀφεὶς ἀθλιωτέρους τῶν τετελευτηκότων
*fighting having-let-go more-wretched than-the dead*
εἰργάζετο, εὐχομένους τὰ παρόντα σφίσι διαλῦσαι θανάτῳ
*he-made praying the present-things for-them to-end by-a-death*
οἰκτίστῳ. τινῶν μέντοι ξὺν τοῖς χρήμασι καὶ τὰς ψυχὰς εἷλεν.
*most-pitiable of-some however with the money also the lives he-took*

25 ἐπεὶ δὲ οὐδὲν ἦν αὐτῷ μόνην καταλῦσαι τὴν Ῥωμαίων
*since and nothing it-was to-him alone to-destroy the of-Romans*
ἀρχήν, Λιβύης τε καὶ Ἰταλίας οὐκ ἄλλου του ἕνεκα
*empire of-Libya both and of-Italy not of-another any for-the-sake*
πεποιῆσθαι τὴν ἐπικράτησιν ἴσχυσεν ἢ ὥστε ξὺν τοῖς
*to-have-made the conquest he-was-able than so-that with those*
πρότερον ὑφ᾽ αὐτῷ οὖσι διολέσαι τοὺς ταύτῃ ἀνθρώπους.
*formerly under him being to-destroy the in-these-parts men*

26 οὔπω γοῦν δεκαταῖος εἰς τὴν δύναμιν γεγονὼς Ἀμάντιον
*not-yet at-any-rate tenth-day into the power having-come Amantius*
τῶν ἐν Παλατίῳ εὐνούχων ἄρχοντα ξὺν ἑτέροις τισὶν
*of-the in the-Palace eunuchs chief with others some*
ἐξ αἰτίας οὐδεμιᾶς ἔκτεινεν, ἄλλο οὐδὲν τῷ ἀνθρώπῳ
*from cause no he-killed other nothing against-the man*

ἐπενεγκών, πλήν γε δὴ ὅτι ἐς Ἰωάννην τὸν τῆς
*having-charged except at-least indeed that against John the of-the*
πόλεως ἀρχιερέα λόγον τινὰ προπετῆ εἴποι.
*city high-priest word some rash he-had-said*
καὶ ἀπ᾽ αὐτοῦ φοβερώτατος γέγονεν ἀνθρώπων ἁπάντων. 27
*and from it most-fearsome became of-men all*
αὐτίκα δὲ καὶ Βιταλιανὸν τὸν τύραννον μετεπέμψατο, ᾧ
*at-once and also Vitalian the usurper he-summoned to-whom*
δὴ τὰ πιστὰ πρότερον ὑπὲρ τῆς ἀσφαλείας παρέσχετο,
*indeed the pledges earlier about the safety he-had-given*
διαλαχὼν αὐτῷ τῶν ἐν Χριστιανοῖς μυστηρίων.
*having-partaken with-him of-the among Christians mysteries*
ὀλίγῳ τε ὕστερον ἐξ ὑποψίας αὐτῷ προσκεκρουκότα ξὺν 28
*a-little and later from suspicion him having-offended with*
τοῖς ἐπιτηδείοις ἐν Παλατίῳ λόγῳ οὐδενὶ διεχρήσατο,
*the close-friends in the-Palace with-reason no he-killed*
πίστεις οὕτω δεινοτάτας ἐμπεδῶσαι οὐδαμῇ ἀξιώσας.
*pledges so most-terrible to-keep in-no-way having-deemed-fit*

*Justinian makes the Blues his own faction and throws the Empire into confusion. The partisans cut their hair in the Hunnic fashion, wear billowing sleeves, and go armed at night, robbing and killing, until even the Greens join them or flee. No one is punished: magistrates judge in fear, creditors are forced to return their bonds, masters to free their slaves, fathers to pay their sons, and a woman throws herself into the sea to escape them. Justinian, their patron, lavishes money on the youths and gives them offices. What they suffer at the partisans' hands pains the victims less than what Justinian inflicts on the state.*

1 Τοῦ δὲ δήμου ἐκ παλαιοῦ ἐς μοίρας δύο διεστηκότος,
*the and people from of-old into parts two having-been-divided*
ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, μίαν αὐτὸς
*as by-me in the earlier books was-said one he*
τὴν Βενέτων ἑταιρισάμενος, ᾗ οἱ καὶ τὸ πρότερον
*the of-Blues having-made-his-own which to-him also the before*
κατεσπουδασμένη ἐτύγχανε, ξυγχεῖν τε καὶ ξυνταράξαι
*being-favored happened to-confound both and to-throw-into-disorder*
ἅπαντα ἴσχυσε. καὶ ἀπ' αὐτοῦ ἐς γόνυ ἐλθεῖν Ῥωμαίοις
*all-things he-was-able and from it to knee to-come for-Romans*
τὴν πολιτείαν πεποίηκεν.
*the state he-made*

2 οὐχ ἅπαντες δὲ οἱ Βένετοι ἐπισπέσθαι τῇ τοῦδε τοῦ
*not all but the Blues to-follow the of-this the*
ἀνδρὸς γνώμῃ ἔγνωσαν, ἀλλ' ὅσοι στασιῶται ὄντες
*man intention resolved but as-many-as partisans being*
ἐτύγχανον.
*happened*

3 καὶ αὐτοὶ μέντοι προϊόντος ἤδη τοῦ δεινοῦ σωφρονέστατοι
*and they however advancing already the evil most-temperate*
ἔδοξαν εἶναι ἀνθρώπων ἁπάντων.
*seemed to-be of-men all*

ἐνδεεστέρως γὰρ ἢ κατὰ τὴν ἐξουσίαν ἡμάρτανον. οὐ 4
*more-sparingly for than according-to the license they-sinned not*
μὴν οὐδὲ τῶν Πρασίνων οἱ στασιῶται ἡσυχῇ ἔμενον, ἀλλὰ
*indeed not-even of-the Greens the partisans quietly remained but*
καὶ αὐτοὶ ἔπρασσον ἀεὶ τὰ ἐγκλήματα ἐς ὅσον σφίσι
*also they did always the crimes to as-far-as for-them*
δυνατὰ ἐγεγόνει, καίπερ κατὰ μόνας διηνεκὲς κολαζόμενοι.
*possible it-had-been although — singly continually being-punished*
ὅπερ αὐτοὺς ἐς τὸ θρασύνεσθαι πολλῷ ἔτι μᾶλλον ἐς ἀεὶ 5
*which them to the to-grow-bold by-much still more for ever*
ἦγεν. ἀδικούμενοι γὰρ εἰώθασιν ἐς ἀπόνοιαν τρέπεσθαι
*led being-wronged for are-accustomed to desperation to-turn*
ἄνθρωποι.
*men*
τότε οὖν τοὺς Βενέτους αὐτοῦ ῥιπίζοντός τε καὶ 6
*then therefore the Blues him fanning both and*
διαφανῶς ἐρεθίζοντος ἅπασα κατ' ἄκρας ἡ Ῥωμαίων
*openly provoking all from top-to-bottom the of-Romans*
ἀρχὴ ἐκινήθη ὥσπερ σεισμοῦ ἢ κατακλυσμοῦ ἐπιπεσόντος
*empire was-moved as-if an-earthquake or a-flood having-fallen-upon*
ἢ πόλεως ἑκάστης πρὸς τῶν πολεμίων ἁλούσης.
*or city each by the enemies taken*
πάντα γὰρ ἐν ἅπασι ξυνεταράχθη καὶ οὐδὲν ἐφ' ἑαυτοῦ 7
*all-things for in all was-thrown-into-confusion and nothing on itself*
τὸ λοιπὸν ἔμεινεν, ἀλλ' οἵ τε νόμοι καὶ ὁ τῆς πολιτείας
*for-the rest remained but the both laws and the of-the state*
κόσμος ξυγχύσεως ἐπιγενομένης ἐς πᾶν τοὐναντίον ἐχώρησαν.
*order confusion having-come-on to all the-opposite went*

8 Καὶ πρῶτα μὲν τοῖς στασιώταις τὰ ἐς τὴν
*and first indeed for-the partisans the-things concerning the*
κόμην ἐς νεώτερόν τινα μετεβέβλητο τρόπον. ἀπεκείροντο
*hair to newer some had-been-changed fashion they-cut*
γὰρ αὐτὴν οὐδὲν ὁμοίως τοῖς ἄλλοις Ῥωμαίοις.
*for it nothing like to-the other Romans*

9 τοῦ μὲν γὰρ μύστακος καὶ τοῦ γενείου οὐδαμῇ ἥπτοντο,
*of-the indeed for mustache and of-the beard in-no-way they-touched*
ἀλλ᾽ αὐτοῖς κατακομᾶν ἐπὶ πλεῖστον ὥσπερ οἱ Πέρσαι ἐς
*but them to-let-grow for very-long as the Persians for*
ἀεὶ ἤθελον.
*ever they-wished*

10 τῶν δὲ ἐν τῇ κεφαλῇ τριχῶν τὰ ἔμπροσθεν ἄχρι ἐς
*of-the and on the head hairs the-things in-front as-far-as to*
τοὺς κροτάφους ἀποτεμόμενοι τὰ ὄπισθεν ἀποκρέμασθαι
*the temples having-cut-off the-things behind to-hang-down*
σφίσιν ἐπὶ μακρότατον λόγῳ οὐδενὶ εἴων, ὥσπερ οἱ
*for-them to greatest-length with-reason no they-let as the*
Μασσαγέται. διὸ δὴ καὶ Οὐννικὸν τὸ τοιοῦτον εἶδος
*Massagetae wherefore indeed also Hunnic the such style*
ἐκάλουν.
*they-called*

11 Ἔπειτα δὲ τὰ ἐς τὰ ἱμάτια εὐπάρυφοι ἠξίουν
*then and the-things concerning the garments with-fine-borders deemed-fit*
ἅπαντες εἶναι, κομπωδεστέραν ἢ κατὰ τὴν ἑκάστου
*all to-be more-pretentious than according-to the each-man's*
ἀξίαν ἐνδιδυσκόμενοι τὴν ἐσθῆτα.
*rank putting-on the dress*

12 κτᾶσθαι γὰρ αὐτοῖς τὰ τοιαῦτα ἐξ οὐ προσηκόντων
*to-acquire for for-them the such-things from not fitting-sources*
παρῆν. τοῦ δὲ χιτῶνος τὸ ἀμφὶ τὼ χεῖρε μέρος
*it-was-possible of-the and tunic the around the-two hands part*

τὰ μὲν ἐς τὸν καρπὸν ξυνήει σφίσιν ἐν στενῷ
*the-things indeed at the wrist came-together for-them in narrow*
μάλιστα, τὰ δὲ ἐνθένδε ἄχρι ἐς ὦμον ἑκάτερον ἐς
*most the-things but thence as-far-as to shoulder each to*
ἄφατόν τι εὖρους διεκέχυτο χρῆμα.
*unspeakable some width had-been-spread amount*
ὁσάκις τε ἡ χεὶρ αὐτοῖς σείοιτο ἀναβοῶσιν ἐν τοῖς θεάτροις 13
*as-often-as and the hand for-them was-shaken cheering in the theaters*
τε καὶ ἱπποδρομίοις, ἢ ἐγκελευομένοις, ᾗπερ εἰώθει,
*both and hippodromes or urging-on as it-was-customary*
ἐς ὕψος αὐτοῖς τοῦτο τὸ μέρος ἀτεχνῶς ᾔρετο, αἴσθησιν
*to height for-them this the part simply was-raised perception*
παρεχόμενον τοῖς ἀνοήτοις, ὅτι δὴ αὐτοῖς οὕτω καλόν τε
*giving to-the foolish that indeed to-them so beautiful both*
τὸ σῶμα καὶ ἁδρὸν εἴη ἄν, ὥστε δεῖν γε αὐτοῖς
*the body and sturdy would-be — so-that to-be-necessary at-least for-them*
πρὸς τῶν τοιούτων ἱματίων καλύπτεσθαι, οὐκ ἐννοοῦσιν
*by the such garments to-be-covered not considering*
ὅτι δὴ αὐτοῖς τῷ τῆς ἐσθῆτος ἠραιωμένῳ τε καὶ κενῷ
*that indeed for-them by-the of-the dress airy both and empty*
πολλῷ ἔτι μᾶλλον τὸ τοῦ σώματος ἐξίτηλον διελεγχθείη.
*by-much still more the of-the body feeble would-be-exposed*
αἱ ἐπωμίδες δὲ καὶ ἀναξυρίδες καὶ τῶν ὑποδημάτων τὰ 14
*the capes but and trousers and of-the shoes the*
πλεῖστα ἐς τῶν Οὔννων τό τε ὄνομα καὶ τὸν τρόπον
*most to of-the Huns the both name and the fashion*
ἀπεκέκριτο σφίσιν.
*had-been-set-apart for-them*
Ἐσιδηροφόρουν δὲ νύκτωρ μὲν τὰ πρῶτα ἐκ τοῦ ἐμφανοῦς 15
*they-carried-iron but by-night indeed the first from the open*
ἅπαντες σχεδόν, ἐν δέ γε ἡμέρᾳ ξιφίδια παρὰ τὸν μηρὸν
*all almost in and at-least day daggers at the thigh*

δίστομα ὑπὸ τῷ ἱματίῳ ἀποκρυψάμενοι, ξυνιστάμενοί τε
*two-edged under the cloak having-hidden gathering and*
κατὰ συμμορίας, ἐπειδὰν ξυσκοτάζοι, ἐλωποδύτουν τοὺς
*by gangs when it-grew-dark they-robbed the*
ἐπιεικεστέρους ἔν τε ὅλῃ ἀγορᾷ καὶ ν τοῖς στενωποῖς,
*more-respectable in both whole marketplace and-in the alleys*
ἀφαιρούμενοι τοὺς παραπεπτωκότας τά τε ἱμάτια καὶ ζώνας
*taking-from those falling-in-their-way the and cloaks and belts*
τε καὶ περόνας χρυσᾶς καὶ εἴ τι ἄλλο ἐν χερσὶν ἔχοιεν.
*both and brooches golden and if anything else in hands they-had*
16 τινὰς δὲ πρὸς τῇ ἁρπαγῇ καὶ κτείνειν ἠξίουν, ὅπως
*some but besides the robbery also to-kill they-deemed-fit so-that*
μηδενὶ τὰ ξυμπεσόντα σφίσιν ἀναγγείλωσιν.
*to-no-one the-things having-befallen them they-might-report*
17 οἷς δὴ ἅπαντες καὶ τῶν Βενέτων οἱ μὴ στασιῶται
*at-whom indeed all also of-the Blues those not partisans*
μάλιστα ἤχθοντο, ἐπεὶ οὐδὲ αὐτοὶ ἀπαθεῖς ἔμενον.
*most were-vexed since not-even they unscathed remained*
18 καὶ ἀπ᾽ αὐτοῦ χαλκαῖς τὸ λοιπὸν ζώναις τε καὶ
*and from it bronze for-the rest belts both and*
περόναις καὶ ἱματίοις πολλῷ ἐλασσόνως ἢ κατὰ τὴν
*brooches and cloaks by-much more-meanly than according-to the*
ἀξίαν ὡς πλεῖστοι ἐχρῶντο, ὅπως δὴ μὴ τῷ φιλοκάλῳ
*rank as most used so-that indeed not by-the love-of-finery*
ἀπόλωνται, καὶ οὔπω δεδυκότος ἡλίου ἐς τὰς οἰκίας
*they-might-perish and not-yet having-set the-sun to the houses*
ἀναχωροῦντες ἐκρύπτοντο.
*withdrawing they-hid*

μηκυνομένου δὲ τοῦ κακοῦ καὶ οὐδεμιᾶς ἐπιστροφῆς ἐς 19
*being-prolonged and the evil and no attention to*
τοὺς ἡμαρτηκότας πρὸς τῆς τῷ δήμῳ ἐφεστώσης ἀρχῆς
*those having-sinned from the over-the people set authority*
γινομένης ἐπὶ μέγα τὸ τῶν ἀνδρῶν θράσος ἐς ἀεὶ ᾖρετο.
*coming to great the of-the men boldness for ever was-lifted*
ἁμαρτία γὰρ παρρησίας ἀξιωθεῖσα ἐπ᾽ ἄπειρον φέρεσθαι 20
*sin for of-license deemed-worthy to infinite to-be-carried*
πέφυκεν, ἐπεὶ καὶ κολαζόμενα τὰ ἐγκλήματα φιλεῖ οὐκ
*is-wont since even being-punished the crimes are-wont not*
ἐς τὸ παντελὲς ἀποκόπτεσθαι.
*into the complete to-be-cut-off*
φύσει γὰρ οἱ πλεῖστοι ἐς τὸ ἁμαρτάνειν εὐπετῶς 21
*by-nature for the most to the to-sin easily*
τρέπονται.
*turn*
Τὰ μὲν οὖν τῶν Βενέτων ἐφέρετο τῇδε. τῶν δὲ 22
*the-things indeed then of-the Blues went thus of-the and*
ἀντιστασιωτῶν οἱ μὲν ἐς τὴν ἐκείνων ἀπέκλινον μοῖραν,
*opposing-partisans some indeed to the their inclined party*
ἐπιθυμίᾳ τοῦ ξυναμαρτάνειν τε καὶ μὴ δοῦναι τὴν δίκην,
*by-desire of-the to-sin-with-(them) both and not to-give the penalty*
οἱ δὲ φυγῇ ἐχόμενοι ἐς ἑτέρας τινὰς ἐλάνθανον χώρας·
*others and in-flight held to other some escaped-notice lands*
πολλοὶ δὲ καὶ αὐτοῦ καταλαμβανόμενοι διεφθείροντο πρὸς
*many and also there being-caught were-destroyed by*
τῶν ἐναντίων ἢ πρὸς τῆς ἀρχῆς κολαζόμενοι.
*the opponents or by the authority being-punished*

23 καὶ ἄλλοι δὲ νεανίαι πολλοὶ ἐς ταύτην δὴ τὴν ἑταιρίαν
*and other too youths many to this indeed the fellowship*
ξυνέρρεον οὐδεπώποτε πρότερον περὶ ταῦτα ἐσπουδακότες,
*flowed-together never before about these(-things) having-been-zealous*
ἀλλὰ δυνάμεώς τε καὶ ὕβρεως ἐξουσίᾳ ἐνταῦθα ἠγμένοι.
*but of-power both and of-outrage by-license there led*

24 οὐ γάρ ἐστιν οὐδὲν μίασμα ὑπὸ ἀνθρώπων ὠνομασμένον,
*not for is-there any pollution by men named*
ὅπερ οὐχ ἡμαρτήθη τε ἐν τούτῳ τῷ χρόνῳ καὶ τιμωρίας
*which not was-committed both in this the time and of-punishment*
ἐκτὸς ἔμεινε.
*outside remained*

25 πρῶτον μὲν οὖν σφῶν τοὺς ἀντιστασιώτας διέφθειρον,
*first indeed then of-them the opponents they-destroyed*
προϊόντες δὲ καὶ τοὺς οὐδὲν προσκεκρουκότας αὐτοῖς
*advancing but also those nothing having-offended them*
ἔκτεινον.
*they-killed*

26 πολλοὶ δὲ καὶ χρήμασιν αὐτοὺς ἀναπείσαντες ἀπεδείκνυον
*many and also with-money them having-persuaded pointed-out*
τοὺς σφετέρους ἐχθρούς, οὕσπερ ἐκεῖνοι διεχρῶντο εὐθὺς
*the their-own enemies whom they killed at-once*
ὄνομα μὲν Πρασίνων αὐτοῖς ἐπενεγκόντες, ἀγνῶτας δὲ
*name indeed of-Greens on-them having-put unknown but*
σφίσι παντάπασιν ὄντας.
*to-them altogether being*

27 καὶ ταῦτα οὐκ ἐν σκότῳ ἔτι οὐδ' ἐν παραβύστῳ
*and these(-things) not in darkness any-longer nor in secret*
ἐγένετο, ἀλλ' ἐν ἅπασι μὲν τῆς ἡμέρας καιροῖς, ἐν ἑκάστῳ
*happened but in all indeed of-the day times in each*

δὲ τῆς πόλεως χώρῳ, ἀνδράσι τοῖς λογιμωτάτοις τῶν
*and of-the city place to-men the most-notable of-the-things*
πρασσομένων, ἂν οὕτω τύχοι, ἐν ὀφθαλμοῖς ὄντων.
*being-done — so it-might-happen in eyes being*
οὐδὲν γὰρ ἐπικαλύπτειν ἐδέοντο τὰ ἐγκλήματα, ἐπεί τοι 28
*nothing for to-cover-up needed the crimes since indeed*
αὐτοῖς οὐκ ἐπέκειτο κολάσεως δέος, ἀλλά τις προσῆν καὶ
*for-them not was-imposed of-punishment fear but some was-present also*
φιλοτιμίας ἀξίωσις, ἰσχύος τε καὶ ἀνδρείας ἐμποιουμένοις
*of-ambition claim of-strength both and of-courage making-for-themselves*
ἐπίδειξιν, ὅτι δὴ πληγῇ μιᾷ τῶν τινα παραπεπτωκότων
*a-display that indeed with-blow one of-the some passers-by*
γυμνὸν ἔκτεινον, ἐλπίς τε οὐδενὶ τοῦ ἔτι βιώσεσθαι ἐν
*naked they-killed hope and to-no-one of-the still to-live in*
τῷ τῆς διαίτης σφαλερῷ ἔμενε.
*the of-the life perilousness remained*
πάντες γὰρ ἐγκεῖσθαι σφίσι τὸν θάνατον τῷ περιδεεῖς 29
*all for to-press-upon them the death by-the terrified*
εἶναι ὑπώπτευον, καὶ οὔτε τόπος τις ὀχυρὸς οὔτε καιρὸς
*to-be suspected and neither place any strong nor time*
ἐχέγγυός τινι ἐς τὴν σωτηρίαν ἔδοξεν εἶναι, ἐπεὶ
*trustworthy to-anyone for the safety seemed to-be since*
κἀν τοῖς τῶν ἱερῶν τιμιωτάτοις κἀν ταῖς πανηγύρεσι
*also-in the of-the sanctuaries most-honored and-at the festivals*
λόγῳ οὐδενὶ διεφθείροντο, πίστις τε οὐδεμία πρός τε
*with-reason no they-were-destroyed trust and none from both*
τῶν φίλων καὶ τῶν ξυγγενῶν ἔτι ἐλέλειπτο. πολλοὶ γὰρ
*the friends and the kinsmen still had-been-left many for*
καὶ τῇ τῶν οἰκειοτάτων ἐπιβουλῇ ἔθνησκον.
*also by-the of-the closest plot died*

30 Ζήτησις μέντοι οὐδεμία τῶν πεπραγμένων ἐγίνετο.
*inquiry however none of-the-things done arose*
ἀλλὰ τὰ πάθη ἀπροσδόκητα πᾶσιν ἔπιπτε καὶ τοῖς
*but the sufferings unexpected on-all fell and to-those*
πεπτωκόσιν οὐδεὶς ἤμυνε.
*fallen no-one defended*
31 νόμου δέ τινος ἢ συμβολαίου δύναμίς τις ἐν τῷ βεβαίῳ
*of-law and some or of-contract force any in the firmness*
τῆς τάξεως οὐκέτι ἐλέλειπτο, ἀλλ' ἐπὶ τὸ βιαιότερον
*of-the order no-longer had-been-left but to the more-violent*
ἅπαντα τετραμμένα ξυνεταράχθη, τυραννίδι τε ἦν ἡ
*all-things turned were-confounded to-a-tyranny and was the*
πολιτεία ἐμφερὴς μάλιστα, οὐ καθεστώσῃ μέντοι γε,
*state like most not established however at-least*
ἀλλὰ καθ' ἑκάστην τε ἀμειβομένῃ καὶ ἀεὶ ἀρχομένῃ.
*but by each-day both changing and always beginning*
32 τῶν τε ἀρχόντων αἱ γνῶμαι ὥσπερ ἐκπεπληγμέναις
*of-the and magistrates the minds as-if to-stricken*
ἐῴκεσαν, ἑνὸς ἀνδρὸς φόβῳ δεδουλωμένων τὸ φρόνημα,
*resembled of-one man by-fear having-been-enslaved the spirit*
οἵ τε δικάζοντες τὰς ὑπὲρ τῶν ἀντιλεγομένων
*those and judging the concerning the-things disputed*
ποιούμενοι γνώσεις τὰς ψήφους ἐδίδοσαν, οὐχ ᾗπερ αὐτοῖς
*making decisions the votes gave not as to-them*
ἐδόκει δίκαιά τε καὶ νόμιμα εἶναι, ἀλλ' ὥσπερ τῶν
*seemed just both and lawful to-be but as of-the*
διαφερομένων ἑκάστῳ τὰ ἐκ τῶν στασιωτῶν δυσμενῆ
*disputants to-each the-things from the partisans hostile*
τε καὶ φίλα ἐτύγχανεν ὄντα. δικαστῇ γὰρ ὠλιγωρηκότι
*both and friendly happened being to-a-judge for having-disregarded*
τῆς ἐκείνων προρρήσεως θάνατος ἡ ζημία ἐπέκειτο.
*of-the their injunction death the penalty was-imposed*

Καὶ πολλοὶ μὲν δανεισταὶ τὰ γραμματεῖα τοῖς ὠφληκόσι 33
*and many indeed lenders the bonds to-those owing*
ξὺν βίᾳ πολλῇ οὐδὲν τοῦ ὀφλήματος κεκομισμένοι ἀπέδοντο,
*with force much nothing of-the debt having-received gave-back*
πολλοὶ δὲ οὔτι ἑκούσιοι ἐλευθέρους τοὺς οἰκέτας ἀφῆκαν.
*many and not willing free the servants let-go*
φασὶ δὲ καὶ γυναῖκάς τινας πολλὰ ὧν οὐκ ἐβούλοντο 34
*they-say and also women some many-things which not they-wished*
τοῖς αὐτῶν δούλοις ἀναγκασθῆναι.
*by-the their-own slaves to-have-been-compelled*
ἤδη δὲ καὶ παῖδες οὐκ ἀφανῶν ἀνδρῶν τούτοις δὴ τοῖς 35
*already and also children not of-obscure men with-these indeed the*
νεανίαις ἀναμιχθέντες τοὺς πατέρας ἠνάγκαζον ἄλλα
*youths mingled the fathers compelled other-things*
τε πολλὰ οὔτι ἐθελουσίους ποιεῖν καὶ τὰ χρήματα σφίσι
*both many not willing to-do and the money to-them*
προΐεσθαι.
*to-give-up*
πολλοὶ δὲ καὶ ἀκούσιοι παῖδες τοῖς στασιώταις ἐς κοίτην 36
*many and also unwilling boys by-the partisans to bed*
ἀνοσίαν οὐκ ἀγνοούντων ἠναγκάσθησαν τῶν πατέρων
*unholy not being-ignorant were-compelled the fathers*
ἐλθεῖν.
*to-come*
καὶ γυναιξὶ μέντοι ἀνδράσι ξυνοικούσαις ταὐτὸν τοῦτο 37
*and to-women indeed with-husbands living the-same this*
ξυνέβη παθεῖν. καὶ λέγεται γυνὴ μία κόσμον περιβεβλημένη
*happened to-suffer and it-is-said a-woman one ornament wearing*
πολὺν πλεῖν μὲν ξὺν τῷ ἀνδρὶ ἐπί τι προάστειον
*much to-sail indeed with the husband to some suburb*
τῶν ἐν τῇ ἀντιπέρας ἠπείρῳ, ἐντυχόντων δὲ σφίσιν
*of-those on the opposite mainland having-met but them*

ἐν τῷ διάπλῳ τούτῳ τῶν στασιωτῶν, καὶ τοῦ μὲν
*on the crossing this the partisans and from-the indeed*
ἀνδρὸς αὐτὴν ξὺν ἀπειλῇ ἀφαιρουμένων, ἐς δὲ ἄκατον
*husband her with threat taking-away into and boat*
τὴν οἰκείαν ἐμβιβασάντων, ἐσελθεῖν μὲν ἐς τὴν ἄκατον
*the own having-embarked-(her) to-enter indeed into the boat*
ξὺν τοῖς νεανίαις, ἐγκελευσαμένη τῷ ἀνδρὶ λάθρα ἀλλὰ
*with the youths having-urged the husband secretly but*
θαρσεῖν τε καὶ μηδὲν ἐπ᾽ αὐτῇ δεδιέναι φαῦλον·
*to-take-heart both and nothing about her to-fear bad*
38 οὐ γάρ τι ξυμβήσεσθαι ἐς τὸ σῶμα αὐτῇ ὑβρισθῆναι·
*not for anything to-happen to the body for-her to-be-outraged*
ἔτι δὲ τοῦ ἀνδρὸς ξὺν πένθει μεγάλᾳ ἐς αὐτὴν βλέποντος
*still and the husband with grief great at her looking*
ἔς τε τὴν θάλασσαν καθεῖναι τὸ σῶμα καὶ αὐτίκα μάλα
*into both the sea to-let-down the body and at-once very*
ἐξ ἀνθρώπων ἀφανισθῆναι.
*from men to-vanish*
39 Τοιαῦτα μὲν ἦν τὰ τούτοις δὴ τότε τοῖς στασιώταις
*such-things indeed were the-things by-these indeed then the partisans*
ἐν Βυζαντίῳ τετολμημένα. ἧσσον δὲ ταῦτα τοὺς
*in Byzantium dared less but these(-things) the*
παραπεπτωκότας ἠνία ἢ τὰ πρὸς Ἰουστινιανοῦ
*sufferers pained than the-things by Justinian*
ἐς τὴν πολιτείαν ἁμαρτηθέντα, ἐπεὶ τοῖς παρὰ τῶν
*against the state sinned since for-those by the*
κακούργων πεπονθόσι τὰ χαλεπώτατα μέρος ἀφαιρεῖται τὸ
*evildoers having-suffered the harshest-things part takes-away the*
πλεῖστον τῆς δι᾽ ἀταξίας ἐμβάσης ἀνίας τὸ προσδοκᾶν
*most of-the through disorder having-entered distress the to-expect*
ἀεὶ τὴν πρὸς τῶν νόμων τε καὶ τῆς ἀρχῆς τίσιν.
*always the from the laws both and the authority punishment*

ἐν γὰρ τῷ πρὸς τὰ μέλλοντα εὐέλπιδες εἶναι ῥᾷόν 40
*in for the toward the-things coming hopeful to-be more-easily*
τε καὶ ἀπονώτερον τὰ παρόντα σφίσι φέρουσιν ἄνθρωποι,
*both and with-less-toil the present-things to-them bear men*
βιαζόμενοι δὲ πρὸς τῆς τῇ πολιτείᾳ ἐφεστώσης ἀρχῆς
*being-oppressed but by the over-the state set authority*
τοῖς τε ξυμπεσοῦσιν ἔτι μᾶλλον, ὡς τὸ εἰκός,
*at-the-things and having-befallen still more as the likely*
περιαλγοῦσι καὶ ἐς τὴν ἀπόγνωσιν τῷ ἀπροσδοκήτῳ
*grieve-deeply and to the despair by-the unexpectedness*
τῆς τιμωρίας ἐς ἀεὶ τρέπονται.
*of-the vengeance for ever turn*
ἡμάρτανε δὲ οὐχ ὅτι μόνον προσποιεῖσθαι τοὺς κακουμένους 41
*he-sinned and not that only to-take-the-side-of those wronged*
ἥκιστα ἤθελεν, ἀλλ᾽ ὅτι προστάτης τῶν στασιωτῶν ἐκ
*least he-wished but that patron of-the partisans from*
τοῦ ἐμφανοῦς καθίστασθαι οὐδαμῇ ἀπηξίου·
*the open to-be-appointed in-no-way he-disdained*
χρήματά τε γὰρ μεγάλα τοῖς νεανίαις τούτοις προΐετο, 42
*money and for great to-the youths these he-lavished*
καὶ πολλοὺς μὲν ἀμφ᾽ αὑτὸν εἶχε, τινὰς δὲ αὐτῶν ἔς
*and many indeed about himself kept some and of-them to*
τε τὰς ἀρχὰς καὶ τὰ ἄλλα ἀξιώματα καλεῖν ἐδικαίου.
*both the offices and the other dignities to-call he-thought-right*

*While these things go on everywhere, the aged Justin notices nothing, and Justinian squanders the public treasury on the Huns and on buildings thrust into the sea. He takes men's property on false charges or on the pretense that they have given it to him, murderers buy impunity with their estates, and litigants who give him the lands they are disputing win their suits. Procopius describes his face as round and ruddy, most like the statue of Domitian that Domitian's wife set up after the Romans had cut the tyrant to pieces and the Senate had condemned his name. Justinian is at once foolish and wicked, a dissembler with ready tears, a false friend and an implacable enemy, quick to believe slanders and to condemn. He kills more men than all the rest of history, and despises money as readily as he seizes it.*

1 Ταῦτα μὲν οὖν ἔν τε Βυζαντίῳ ἐπράττετο καὶ πόλει
*these(-things) indeed then in both Byzantium were-done and in-city*
ἑκάστῃ. ὥσπερ γὰρ ἄλλο τι νόσημα ἐνθένδε ἀρξάμενον
*each as for other some disease thence having-begun*
τὸ κακὸν πανταχῇ ἐπέσκηψε τῆς Ῥωμαίων ἀρχῆς.
*the evil everywhere fell-upon of-the of-Romans empire*

2 βασιλεῖ δὲ τῶν πρασσομένων ἥκιστα ἔμελεν, ἐπεὶ
*to-the-emperor but of-the-things being-done least it-mattered since*
οὐδέ τις αἴσθησις τῷ ἀνθρώπῳ ἐγένετο, καίπερ αὐτόπτῃ
*not-even any perception to-the man arose although an-eyewitness*
τῶν δρωμένων ἐν τοῖς ἱπποδρομίοις ἀεὶ γινομένῳ.
*of-the-things done in the hippodromes always being*

3 ἠλίθιός τε γὰρ ὑπερφυῶς ἦν καὶ νωθεῖ ὄνῳ ἐμφερὴς
*foolish both for exceedingly he-was and to-a-sluggish ass like*
μάλιστα καὶ οἷος τῷ τὸν χαλινὸν ἕλκοντι ἕπεσθαι,
*most and such-as to-the-(one) the bridle pulling to-follow*
συχνά οἱ σειομένων τῶν ὤτων.
*often for-him shaking the ears*

Ἰουστινιανὸς ταῦτά τε ἔπρασσε καὶ ξύμπαντα τἄλλα 4
*Justinian these(-things) both did and all the-rest*
ἐκύκα. ὅσπερ ἐπειδὴ τάχιστα ἐπελάβετο τῆς τοῦ θείου
*stirred-up who when soonest he-seized of-the of-the uncle*
ἀρχῆς, χρήματα μὲν τὰ δημόσια εὐθὺς καταναλοῦν κόσμῳ
*rule money indeed the public at-once to-squander with-order*
οὐδενὶ ἐν σπουδῇ εἶχεν ἅτε αὐτῶν κύριος γεγονώς.
*no in earnestness had as of-it master having-become*
Οὔννων γὰρ τοῖς ἀεὶ προστυγχάνουσι πλεῖστα ἐπὶ τῇ 5
*of-Huns for to-those ever chancing-by very-much at the*
πολιτείᾳ προΐετο· ἐξ οὗ δὴ ἐφόδοις ἀποκεῖσθαι συχναῖς
*state's-expense he-lavished from which indeed to-invasions to-be-exposed frequent*
ξυνέβαινε Ῥωμαίων τὴν γῆν.
*it-happened of-Romans the land*
ἀπογευσάμενοι γὰρ οἱ βάρβαροι οὗτοι Ῥωμαίων πλούτου 6
*having-tasted for the barbarians these of-Romans wealth*
μεθίεσθαι οὐκέτι ἠνείχοντο τῆς ἐνταῦθα φερούσης ὁδοῦ.
*to-let-go no-longer endured the there leading road*
Πολλὰ δὲ ῥίπτειν καὶ ἐς θαλαττίους οἰκοδομίας τινὰς 7
*much and to-throw also into sea buildings some*
ἠξίου, βιαζόμενος τὸ τῶν κυμάτων ἐς ἀεὶ ῥόθιον.
*he-deemed-fit forcing the of-the waves for ever surge*
ἐκ γὰρ τῆς ἠιόνος ταῖς τῶν λίθων ἐπιβολαῖς ἐπίπροσθεν 8
*from for the shore with-the of-the stones projections forward*
ᾔει φιλονείκως ταῖς ἐκ τοῦ πόντου ἐπιρροαῖς ἔχων
*he-went contentiously toward-the from the sea inflows being*
καὶ καθάπερ ἐξουσίᾳ πλούτου πρὸς τὴν τῆς θαλάσσης
*and just-as by-license of-wealth against the of-the sea*
ἀντιφιλοτιμούμενος δύναμιν.
*competing power*

9 τάς τε τῶν Ῥωμαίων ἰδίας ἑκάστων οὐσίας ἐκ πάσης
*the and of-the Romans private of-each properties from every*
γῆς ἐς αὐτὸν ἤγειρε, τοῖς μὲν ὅ τι δὴ ἔγκλημα
*land to himself gathered on-some indeed what — indeed charge*
οὐχ ἁμαρτηθὲν ἐπικαλέσας, τῶν δὲ καὶ τὴν γνώμην ἅτε
*not committed having-charged of-others but also the will as*
αὐτὸν δεδωρημένων τερατευσάμενος.
*him having-presented having-faked*

10 πολλοὶ δὲ φόνων τε καὶ ἄλλων ἐγκλημάτων τοιούτων
*many and of-murders both and of-other charges such*
ἁλόντες, εἶτα ἐξιστάμενοι αὐτῷ τῶν πάντων χρημάτων
*convicted then yielding to-him the all property*
διέφυγον ὧν ἥμαρτον μὴ δοῦναι τὴν δίκην·
*escaped for-what they-sinned not to-give the penalty*

11 ἕτεροι δὲ χωρίων, οὐ δέον, τοῖς πέλας τινῶν, ἂν οὕτω
*others and lands not rightly with-the neighbors some — so*
τύχοι, ἀμφισβητοῦντες, ἐπεὶ καταδιαιτήσασθαι τῶν
*it-might-happen disputing since to-win-the-suit-against the*
ἀντιδίκων οὐδαμῇ εἶχον τοῦ νόμου σφίσιν ἀντιστατοῦντος,
*opponents in-no-way they-could the law them opposing*
οἱ δὲ τούτοις δὴ τοῖς ἀντιλεγομένοις αὐτὸν δωρησάμενοι
*they but with-these indeed the disputed-things him having-presented*
ἀπηλλάσσοντο, αὐτοὶ μὲν χάριτι ἀζημίῳ κερδάναντες
*got-away they indeed with-favor free-of-cost having-gained*
τὸ γνώριμοι γεγονέναι τῷ ἀνδρὶ τούτῳ, τρόπῳ δὲ
*the known to-have-become to-the man this in-manner and*
παρανομωτάτῳ καταδικάσασθαι τῶν ἀντιδίκων ἰσχύσαντες.
*most-lawless to-get-judgment-against the opponents having-been-able*

12 Οὐκ ἄπο δὲ καιροῦ ἡγοῦμαι εἶναι καὶ τὸ εἶδος τούτου
*not away-from but occasion I-think to-be also the appearance of-this*
δὴ τοῦ ἀνθρώπου σημῆναι. τὸ μὲν οὖν σῶμα οὔτε μακρὸς
*indeed the man to-indicate the indeed then body neither tall*

οὔτε κολοβὸς ἄγαν, ἀλλὰ μέτριος ἦν, οὐ μέντοι ἰσχνός, ἀλλὰ
*nor short very but moderate he-was not however thin but*
κατὰ βραχὺ εὔσαρκος, τὴν δὲ δὴ ὄψιν στρογγύλος τε καὶ
*by little fleshy the and indeed face round both and*
οὐκ ἄμορφος· ἐπυρρία γὰρ καὶ δυοῖν ἡμέραιν ἀπόσιτος ὤν.
*not ugly he-was-ruddy for even for-two days fasting being*
ὅπως δὲ ἅπαν αὐτοῦ τὸ εἶδος συλλήβδην σημήνω, 13
*so-that and all his the appearance in-sum I-may-indicate*
Δομετιανῷ τῷ Οὐεσπασιανοῦ παιδὶ ἐκ τοῦ ἐπὶ πλεῖστον
*to-Domitian the of-Vespasian son from the for most*
ἐμφερέστερος ἦν, οὗπερ Ῥωμαῖοι τῆς κακοτροπίας ἐς
*more-like he-was of-whom Romans of-the wickedness to*
τοσόνδε ἀπώναντο ὥστε οὐδὲ κρεουργήσαντες ὅλον ἐκλῦσαι
*such-a-degree had-enjoyed that not-even having-cut-to-pieces whole to-release*
τὴν ἐς αὐτὸν ὀργὴν ἔγνωσαν, ἀλλὰ δόγμα ἐγεγόνει τῆς
*the against him anger resolved but a-decree had-come-about of-the*
συγκλήτου βουλῆς μηδὲ ὄνομα τοῦ βασιλέως τούτου ἐν
*assembled council not-even name of-the emperor this in*
γράμμασιν εἶναι μηδ' εἰκόνα ἠντιναοῦν αὐτοῦ διασώζεσθαι.
*writings to-be nor image any-whatever of-him to-be-preserved*
τό τε γοῦν ὄνομα τοῦτο πανταχόσε ἐπὶ τῶν τῆς 14
*the and at-any-rate name this everywhere on the —*
Ῥώμης γραμμάτων καὶ εἴ που ἄλλη τοῦτο γεγράφθαι
*of-Rome inscriptions and if anywhere elsewhere this to-have-been-written*
ξυνέβη ἐκκεκολαμμένον ἰδεῖν μεταξὺ τῶν ἄλλων πάρεστι
*it-happened chiseled-out to-see between the others it-is-possible*
μόνον, καί τις αὐτοῦ εἰκὼν οὐδαμῆ φαίνεται οὖσα τῆς
*alone and any his image in-no-way appears being of-the*
Ῥωμαίων ἀρχῆς, ὅτι μὴ χαλκῆ μία ἐξ αἰτίας τοιᾶσδε.
*of-Romans empire except — bronze one from cause such*

15 ἦν τῷ Δομετιανῷ γυνὴ ἐλευθέριος καὶ ἄλλως κοσμία,
*there-was — to-Domitian a-wife freeborn and otherwise decorous*
καὶ οὔτε αὐτὴ κακόν τι οὐδένα εἰργάσατο πώποτε
*and neither she evil anything to-anyone did ever*
τῶν πάντων ἀνθρώπων, οὔτε τις αὐτῇ τῶν τοῦ ἀνδρὸς
*of-the all men nor any her of-the of-the husband*
πράξεων ἤρεσκε.
*deeds pleased*

16 διόπερ αὐτὴν ἄγαν ἀγαπωμένην ἡ βουλὴ τότε
*wherefore her very beloved the council then*
μεταπεμψαμένη αἰτεῖσθαι ὅ τι ἂν αὐτῇ βουλομένῃ εἴη
*having-summoned to-ask what — — to-her wishing might-be*
ἐκέλευεν.
*ordered*

17 ἡ δὲ τοῦτο μόνον ἱκέτευε, τό τε Δομετιανοῦ σῶμα
*she but this only begged the both of-Domitian body*
λαβοῦσα θάψαι καὶ μίαν αὐτῷ ἀναθεῖναι εἰκόνα χαλκῆν,
*having-taken to-bury and one to-him to-set-up image bronze*
ὅποι ἂν ἐθέλοι.
*wherever — she-might-wish*

18 καὶ ἡ μὲν βουλὴ ξυνεχώρει ταῦτα· ἡ δὲ γυνὴ τῆς
*and the indeed council granted these(-things) the and wife of-the*
ἀπανθρωπίας τῶν τὸν ἄνδρα κρεουργησάντων ἀπολεῖψαι
*inhumanity of-those the husband having-cut-up to-leave*
βουλομένη μνημεῖα τῷ ὄπισθεν χρόνῳ ἐπενόει τάδε.
*wishing memorials for-the after time devised these(-things)*

19 τὰ Δομετιανοῦ ξυλλεξαμένη κρέα, ξυνθεῖσά τε αὐτὰ
*the of-Domitian having-collected flesh having-put-together both them*
ἐς τὸ ἀκριβὲς καὶ ἐναρμοσαμένη ἐς ἄλληλα κατέρραψε
*to the exact and having-fitted to one-another sewed-up*

μὲν τὸ σῶμα ὅλον, τοῖς δὲ πλάσταις ἐνδειξαμένη ἐν
*indeed the body whole to-the and sculptors having-shown in*
εἰκόνι χαλκῇ τὸ πάθος ἀπομιμεῖσθαι τοῦτο ἐκέλευεν.
*image bronze the suffering to-imitate this ordered*
οἱ μὲν οὖν τεχνῖται τὴν εἰκόνα εὐθὺς ἐποίουν. λαβοῦσα 20
*the indeed then craftsmen the image at-once made having-taken*
δὲ ἡ γυνὴ ἔστησεν ἐπὶ τῆς ἐς τὸ Καπιτώλιον φερούσης
*and the wife set-(it)-up on the to the Capitol leading*
ἀνόδου ἐν δεξιᾷ ἐκ τῆς ἀγορᾶς ἐνταῦθα ἰόντι, εἶδός τε
*ascent on right from the forum there for-one-going form both*
τὸ Δομετιανοῦ καὶ τὸ πάθος δηλοῦσαν ἐς τόδε τοῦ χρόνου.
*the of-Domitian and the suffering showing to this of-the time*
εἰκάσειεν ἄν τις τό τε ἄλλο Ἰουστινιανοῦ σῶμα καὶ 21
*would-conjecture — anyone the both other of-Justinian body and*
τὴν ὄψιν αὐτὴν καὶ τὰ τοῦ προσώπου ἅπαντα ἤθη
*the face itself and the of-the countenance all characteristics*
ἐν ταύτῃ τῇ εἰκόνι διαφανῶς εἶναι.
*in this the image plainly to-be*
Τὸ μὲν οὖν εἶδος τοιοῦτός τις ἦν· τὸν δὲ τρόπον 22
*the indeed then appearance such some he-was the and character*
ἐς μὲν τὸ ἀκριβὲς οὐκ ἂν φράσαιμι. ἦν γὰρ οὗτος ἀνὴρ
*to indeed the exact not — I-could-tell was for this a-man*
κακοῦργός τε καὶ εὐπαράγωγος, ὃν δὴ μωροκακοήθη
*evildoing both and easily-led whom indeed a-foolish-knave*
καλοῦσιν, οὔτε αὐτὸς ἀληθιζόμενος τοῖς ἐντυγχάνουσιν,
*they-call neither himself speaking-truth to-those meeting-(him)*
ἀλλὰ νῷ δολερῷ ἅπαντα ἐς ἀεὶ καὶ λέγων καὶ πράττων,
*but with-mind treacherous all-things for ever both saying and doing*
καὶ τοῖς ἐξαπατᾶν ἐθέλουσιν ἀποκείμενος οὐδενὶ πόνῳ.
*and to-those to-deceive wishing lying-open with-no toil*

23 καί τις ἀήθης κρᾶσις ἐν αὐτῷ ἐπεφύκει ἔκ τε ἀνοίας καὶ
*and some unusual blend in him had-grown from both folly and*
κακοτροπίας ξυγκεκραμένη. καὶ τάχα τοῦτο ἦν ὅπερ ἐν
*wickedness mixed and perhaps this was what in*
τοῖς ἄνω χρόνοις τῶν τις ἐκ τοῦ περιπάτου φιλοσόφων
*the above times of-the one from the peripatos philosophers*
ἀπεφθέγξατο, ὡς καὶ τὰ ἐναντιώτατα ἐν ἀνθρώπου φύσει
*declared that even the most-opposite-things in man's nature*
ξυμβαίνει εἶναι, ὥσπερ ἐν τῶν χρωμάτων τῇ μίξει.
*happen to-be as in of-the colors the mixing*
24 γράφω μέντοι ὧν μοι ἐφικέσθαι οὐ δυνατὸν γέγονεν. ἦν
*I-write however what for-me to-reach not possible has-been was*
τοίνυν ὁ βασιλεὺς οὗτος εἴρων, δολερός, κατάπλαστος,
*therefore the emperor this a-dissembler treacherous feigned*
σκότιος ὀργήν, διπλοῦς, ἄνθρωπος δεινός, ὑποκρίνασθαι
*dark in-anger double a-man clever to-play-a-part*
γνώμην τελεώτατος, καὶ δάκρυα οὐχ ὑφ' ἡδονῆς τινος ἢ
*opinion most-accomplished and tears not from pleasure any or*
πάθους ἐκφέρων, ἀλλὰ τεχνάζων ἐπὶ καιροῦ κατὰ τὸ τῆς
*grief bringing-forth but contriving at occasion according-to the of-the*
χρείας παρόν, ψευδόμενος ἐς ἀεί, οὐκ εἰκῇ μέντοι, ἀλλὰ
*need present lying for ever not idly however but*
καὶ γράμματα καὶ ὅρκους δεινοτάτους ἐπὶ τοῖς ξυγκειμένοις
*both writings and oaths most-terrible on the agreements*
πεποιημένος, καὶ ταῦτα πρὸς τοὺς κατηκόους τοὺς αὑτοῦ.
*having-made and that toward the subjects the his-own*
25 ἀνεχώρει δὲ τῶν τε ὡμολογημένων καὶ ὀμωμοσμένων
*he-withdrew and from-the both agreed and sworn*
εὐθύς, ὥσπερ τῶν ἀνδραπόδων τὰ χείριστα, δέει τῶν
*at-once as of-the slaves the worst by-fear of-the*

ἐγκειμένων σφίσι βασάνων διώμοτα εἰς τὴν ὁμολογίαν
*pressing on-them tortures under-oath into the confession*
ἠγμένα.
*led*
φίλος ἀβέβαιος, ἐχθρὸς ἄσπονδος, φόνων τε καὶ χρημάτων 26
*a-friend unstable an-enemy implacable of-murders both and of-money*
διάπυρος ἐραστής, δύσερίς τε καὶ νεωτεροποιὸς μάλιστα,
*burning lover contentious both and revolutionary most*
ἐς μὲν τὰ κακὰ εὐπαράγωγος, ἐς δὲ τὰ ἀγαθὰ οὐδεμιᾷ
*to indeed the evil-things easily-led to and the good-things with-no*
ξυμβουλῇ ἥκων, ἐπινοῆσαι μὲν τὰ φαῦλα καὶ ἐπιτελέσαι
*counsel coming to-devise indeed the base-things and to-accomplish*
ὀξύς, τῶν δὲ δὴ ἀγαθῶν καὶ αὐτήν που τὴν ἀκοὴν
*quick of-the and indeed good-things also itself somehow the hearing*
ἁλμυρὰν εἶναι οἰόμενος.
*bitter to-be thinking*
πῶς ἄν τις τῶν Ἰουστινιανοῦ τρόπων ἐφικέσθαι τῷ 27
*how — anyone of-the of-Justinian ways to-reach by-the*
λόγῳ δυνατὸς εἴη; ταῦτά τε καὶ πολλὰ ἔτι μείζω
*account able might-be these(-things) both and many still greater*
κακὰ οὐ κατὰ ἄνθρωπον ἔχων ἐφαίνετο, ἀλλὰ πᾶσαν ἡ
*evils not according-to man having he-appeared but all the*
φύσις ἐδόκει τὴν κακοτροπίαν ἀφελομένη τοὺς ἄλλους
*nature seemed the wickedness having-taken-away-from the other*
ἀνθρώπους ἐν τῇ τοῦδε τοῦ ἀνδρὸς καταθέσθαι ψυχῇ.
*men in the of-this the man to-have-deposited soul*
ἦν δὲ πρὸς τοῖς ἄλλοις ἐς μὲν τὰς διαβολὰς εὔκολος 28
*he-was and besides the other-things to indeed the slanders easily-moved*
ἄγαν, ἐς δὲ τὰς τιμωρίας ὀξύς. οὐ γάρ τι πώποτε
*very to but the punishments quick not for anything ever*

διερευνησάμενος ἔκρινεν, ἀλλ᾽ ἀκούσας τοῦ διαβάλλοντος
*having-searched-out he-judged but having-heard the slanderer*
τὴν γνῶσιν εὐθὺς ἐξενεγκεῖν ἔγνω.
*the verdict at-once to-bring-forth resolved*

29 ἔγραφέ τε γράμματα οὐδεμιᾷ ὀκνήσει, χωρίων τε ἁλώσεις
*he-wrote and writs with-no hesitation of-places both captures*
καὶ πόλεων ἐμπρησμοὺς καὶ ὅλων ἐθνῶν ἀνδραποδισμοὺς
*and of-cities burnings and of-whole nations enslavements*
ἐξ αἰτίας οὐδεμιᾶς ἔχοντα.
*from cause none having*

30 ὥστε εἴ τις ἄνωθεν ἅπαντα τὰ Ῥωμαίοις
*so-that if anyone from-the-beginning all the-things to-Romans*
ξυνενεχθέντα σταθμώμενος ἀντισηκοῦν αὐτὰ τούτοις
*having-befallen weighing to-balance them against-these*
ἐθέλοι, δοκεῖ μοι ἂν πλείω φόνον εὑρέσθαι ἀνθρώπων
*should-wish it-seems to-me — more murder to-find of-men*
πρὸς τοῦ ἀνδρὸς τοῦδε ξυμβάντα ἢ ἐν τῷ ἄλλῳ παντὶ
*by the man this having-happened than in the other all*
αἰῶνι γεγενῆσθαι τετύχηκε.
*age to-have-come-about happened*

31 τῶν δὲ ἄλλων χρημάτων ἐς μὲν τὴν ἀναίσθητον
*of-the and others' money to indeed the insensible*
κτῆσιν ἀοκνότατος ἦν· οὐδὲ γὰρ οὐδὲ σκῆψιν ἠξίου
*acquisition most-unhesitating he-was not for not-even pretext he-deemed-fit*
τινὰ παραπέτασμα τοῦ δικαίου προβεβλημένος τῶν
*any a-screen of-the justice having-put-before of-the-things*
οὐ προσηκόντων ἐπιβατεύειν· γενομένων δὲ οἰκείων
*not belonging to-trample-upon having-become but his-own*
ἑτοιμότατος ἦν ἀλογίστῳ φιλοτιμίᾳ περιφρονεῖν τε καὶ
*most-ready he-was with-senseless ambition to-despise both and*
τοῖς βαρβάροις προΐεσθαι οὐδενὶ λόγῳ.
*to-the barbarians to-lavish with-no reason*

καὶ τὸ ξύμπαν εἰπεῖν, χρήματα οὔτε αὐτὸς εἶχεν 32
*and the whole to-say money neither he had*
οὔτε ἄλλον τινὰ ἔχειν τῶν ἁπάντων εἴα, ὥσπερ οὐ
*nor other any to-have of-the all let as not*
φιλοχρηματίας ἡσσώμενος, ἀλλὰ φθόνῳ ἐς τοὺς ταῦτα
*by-love-of-money being-overcome but by-envy toward those these(-things)*
κεκτημένους ἐχόμενος.
*having-acquired held*
ἐξοικίσας οὖν ῥᾷστα τὸν πλοῦτον ἐκ Ῥωμαίων τῆς 33
*having-driven-out then most-easily the wealth from of-Romans the*
γῆς πενίας δημιουργὸς ἅπασι γέγονεν.
*land of-poverty craftsman for-all he-became*

## IX · THEODORA'S YOUTH

*Theodora is the daughter of Acacius, bear-keeper of the Greens; when the Greens refuse her widowed mother's petition, the Blues give the family the post. She follows her sister Comito onto the stage, first as her attendant and then as a courtesan who sells her beauty, shameless in the theater and at feasts. She follows Hecebolus to Pentapolis, is driven out, and works her way back through Alexandria and the East. Justinian falls in love with her, makes her a patrician, and hands the state to the Blues. When he falls ill and the partisans kill Hypatius, the prefect Theodotus punishes them and is then hounded into hiding at Jerusalem. After the empress Euphemia's death Justinian has the law changed and marries Theodora, and after Justin's death the two reign together.*

Ἰουστινιανῷ μὲν οὖν τὰ ἐς τὸν τρόπον ὅσα 1
*for-Justinian indeed then the-things concerning the character as-far-as*
γε ἡμᾶς δύνασθαι φράσαι τῇδέ πη εἶχεν. ἔγημε δὲ
*at-least us to-be-able to-tell thus somehow stood he-married and*
γυναῖκα, ἣ ὅντινα τρόπον γενομένη τε καὶ τραφεῖσα
*a-woman who in-what manner having-been-born both and having-been-raised*

καὶ τῷδε τῷ ἀνθρώπῳ ἐς γάμον ξυναφθεῖσα πρόρριζον
*and to-this the man in marriage having-been-joined root-and-branch*
Ῥωμαίοις τὴν πολιτείαν ἐξέτριψεν, ἐγὼ δηλώσω.
*for-Romans the state rubbed-out I will-make-plain*

2 Ἀκάκιος ἦν τις ἐν Βυζαντίῳ θηριοκόμος τῶν ἐν
*Acacius there-was a-certain in Byzantium beast-keeper of-the in*
κυνηγεσίῳ θηρίων μοίρας Πρασίνων, ὅνπερ ἀρκοτρόφον
*hunting-show beasts of-party of-Greens whom bear-keeper*
καλοῦσιν.
*they-call*

3 οὗτος ὁ ἀνὴρ Ἀναστασίου τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος
*this the man Anastasius the absolute rule holding*
ἐτελεύτησε νόσῳ παίδων οἱ ἀπολελειμμένων τριῶν
*died by-disease children to-him having-been-left three*
θήλεος γένους, Κομιτοῦς τε καὶ Θεοδώρας καὶ Ἀναστασίας,
*of-female sex Comito both and Theodora and Anastasia*
ὧνπερ ἡ πρεσβυτάτη οὔπω ἑπταέτης γεγονυῖα ἐτύγχανεν.
*of-whom the eldest not-yet seven-years-old having-become happened*

4 ἡ δὲ γυνὴ ἐκπεσοῦσα ἑτέρῳ ἀνδρὶ ἐς κοίτην ἦλθεν, ὃς
*the and wife having-fallen-out to-another man to bed came who*
δὴ ξὺν αὐτῇ τῶν τε κατὰ τὴν οἰκίαν καὶ τοῦ
*indeed with her of-the(-things) both at the house and of-the*
ἔργου τούτου ἐπιμελήσεσθαι τὸ λοιπὸν ἔμελλεν.
*post this to-take-charge for-the rest was-about*

5 ὁ δὲ τῶν Πρασίνων ὀρχηστὴς Ἀστέριος ὄνομα χρήμασι
*the but of-the Greens dancing-master Asterius by-name with-money*
πρὸς ἑτέρου ἀναπεισθεὶς τούτους μὲν τῆς τιμῆς ταύτης
*by another persuaded these indeed from-the office this*
ἀπέστησε, τὸν δέ οἱ τὰ χρήματα δόντα ἐς αὐτὴν
*removed the and to-him the money having-given into it*

ἀντεκατέστησεν οὐδενὶ πόνῳ. τοῖς γὰρ ὀρχησταῖς τὰ
*put-in-instead with-no toil to-the for dancing-masters the*
τοιαῦτα ἐξῆν διοικεῖσθαι κατ᾽ ἐξουσίαν ᾗ βούλοιντο.
*such-things it-was-allowed to-administer at will as they-wished*
ἐπεὶ δὲ τὸν δῆμον ξύμπαντα ἡ γυνὴ ἐν κυνηγεσίῳ 6
*when and the people all the wife in hunting-show*
ἀγηγερμένον εἶδε, στέμματα ταῖς παισὶν ἔν τε τῇ κεφαλῇ καὶ
*gathered saw garlands on-the children on both the head and*
ἀμφοτέραις ταῖς χερσὶν ἐνθεμένη ἐς τὴν ἱκετείαν ἐκάθισεν.
*both the hands having-put into the supplication she-sat*
ἀλλ᾽ οἱ Πράσινοι μὲν προσίεσθαι τὴν ἱκετείαν οὐδαμῇ 7
*but the Greens indeed to-accept the supplication in-no-way*
ἔγνωσαν, Βένετοι δὲ αὐτὰς ἐπὶ ταύτῃ δὴ κατεστήσαντο τῆς
*resolved Blues but them over this indeed appointed the*
τιμῆς, ἐπεὶ ὁ θηριοκόμος ἐτετελευτήκει καὶ αὐτοῖς ἔναγχος.
*office since the beast-keeper had-died also for-them lately*
ἐπεὶ δὲ τὰ παιδία ταῦτα ἐς ἥβην ἦλθε, καθῆκεν αὐτὰ ἐπὶ 8
*when and the children these into youth came put them on*
τῆς ἐνταῦθα σκηνῆς αὐτίκα ἡ μήτηρ, ἐπεὶ εὐπρεπεῖς τὴν
*the there stage at-once the mother since comely the*
ὄψιν ἦσαν, οὐ μέντοι ὑπὸ χρόνον τὸν αὐτὸν ἁπάσας, ἀλλ᾽
*face they-were not however at time the same all but*
ὡς ἑκάστη ἔδοξέν οἱ ἐς τὸ ἔργον τοῦτο ὡραία εἶναι.
*as each seemed to-her for the work this ripe to-be*
ἡ μὲν οὖν πρώτη Κομιτὼ ἤδη ἐν ταῖς καθ᾽ αὑτὴν 9
*the indeed then first Comito already among the of her-own-age*
ἑταίραις λαμπρὰ ἐγεγόνει· Θεοδώρα δὲ ἡ μετ᾽ ἐκείνην
*courtesans brilliant had-become Theodora and the-one after her*
χιτωνίσκον χειριδωτὸν ἀμπεχομένη δούλῳ παιδὶ πρέποντα
*a-little-tunic sleeved wearing to-a-slave boy befitting*
τά τε ἄλλα ὑπηρετοῦσα εἵπετο καὶ τὸ βάθρον ἐπὶ
*the-things both other serving followed and the stool on*

τῶν ὤμων ἀεὶ ἔφερεν, ἐφ᾽ οὗπερ ἐκείνη ἐν τοῖς ξυλλόγοις
*the shoulders always carried on which she in the assemblies*
καθῆσθαι εἰώθει.
*to-sit was-accustomed*

10 τέως μὲν οὖν ἄωρος οὖσα ἡ Θεοδώρα ἐς κοίτην ἀνδρὶ
*for-a-while indeed then unripe being — Theodora to bed with-a-man*
ξυνιέναι οὐδαμῇ εἶχεν, οὐδὲ οἷα γυνὴ μίγνυσθαι· ἡ δὲ
*to-come in-no-way could nor as a-woman to-have-intercourse she but*
τοῖς κακοδαιμονοῦσιν ἀνδρείαν τινὰ μισητίαν ἀνεμίσγετο,
*with-the wretched manly some abomination mingled*
καὶ ταῦτα δούλοις, ὅσοι τοῖς κεκτημένοις ἑπόμενοι
*and that with-slaves as-many-as the masters following*
ἐς τὸ θέατρον πάρεργον τῆς οὔσης αὐτοῖς εὐκαιρίας
*into the theater as-a-side-work of-the being for-them leisure*
τὸν ὄλεθρον τοῦτον εἰργάζοντο, ἔν τε μαστροπείῳ πολύν
*the ruin this worked in and a-brothel much*
τινα χρόνον ἐπὶ ταύτῃ δὴ τῇ παρὰ φύσιν ἐργασίᾳ τοῦ
*some time at this indeed the against nature working of-the*
σώματος διατριβὴν εἶχεν.
*body stay she-had*

11 ἐπειδὴ δὲ τάχιστα ἔς τε τὴν ἥβην ἀφίκετο καὶ ὡραία
*when and soonest into both the youth she-came and ripe*
ἦν ἤδη, εἰς τὰς ἐπὶ σκηνῆς καθῆκεν αὑτήν, ἑταίρα τε
*was already into the-women on stage put herself courtesan and*
εὐθὺς ἐγεγόνει, οἵανπερ οἱ πάλαι ἄνθρωποι ἐκάλουν πεζήν.
*at-once had-become such-as the old men called foot-soldier*

12 οὐ γὰρ αὐλήτρια οὐδὲ ψάλτρια ἦν, οὐ μὴν οὐδὲ τὰ
*not for flute-girl nor harp-girl she-was not indeed not-even the-things*
ἐς τὴν ὀρχήστραν αὐτῇ ἤσκητο, ἀλλὰ τὴν ὥραν
*for the dancing by-her had-been-practiced but the beauty*

τοῖς ἀεὶ περιπίπτουσιν ἀπεδίδοτο μόνον ἐκ παντὸς
*to-those always falling-in-with she-sold only from every*
ἐργαζομένη τοῦ σώματος.
*working of-the body*
εἶτα τοῖς μίμοις τὰ ἐς τὸ θέατρον πάντα ὡμίλει καὶ 13
*then with-the mimes the-things for the theater all she-associated and*
τῶν ἐνταῦθα ἐπιτηδευμάτων μετεῖχεν αὐτοῖς, γελωτοποιοῖς
*of-the there pursuits partook with-them in-laughter-making*
τισι βωμολοχίαις ὑπηρετοῦσα. ἦν γὰρ ἀστεία διαφερόντως
*some buffooneries serving she-was for witty exceedingly*
καὶ σκώπτρια, ἀπόβλεπτός τε ἐκ τοῦ ἔργου εὐθὺς ἐγεγόνει.
*and a-mocker conspicuous and from the work at-once had-become*
οὐ γάρ τινος αἰδοῦς τῇ ἀνθρώπῳ μετῆν ἢ διατραπεῖσάν 14
*not for of-any shame to-the woman there-was-share or disconcerted*
τις αὐτὴν πώποτε εἶδεν, ἀλλ᾽ ἐς ἀναισχύντους ὑπουργίας
*anyone her ever saw but to shameless services*
οὐδεμιᾷ ὀκνήσει ἐχώρει, καὶ τοιαύτη τις ἦν οἵα
*with-no hesitation she-went and such some she-was such-as*
ῥαπιζομένη μὲν καὶ κατὰ κόρρης πατασσομένη χαριεντίζειν
*being-slapped indeed and on the-temples being-struck to-jest*
τε καὶ μέγιστα ἀνακαγχάζειν, ἀποδυσαμένη τε τά
*both and greatest to-guffaw having-stripped and the-things*
τε πρόσω καὶ τὰ ὀπίσω τοῖς ἐντυγχάνουσι γυμνὰ
*both in-front and the-things behind to-those meeting-her naked*
ἐπιδεῖξαι, ἃ τοῖς ἀνδράσι θέμις ἄδηλά τε καὶ ἀφανῆ εἶναι.
*to-show which to-the men right hidden both and unseen to-be*
Ἐς δὲ τοὺς ἐραστὰς ἐχλεύαζέ τε βλακεύουσα καὶ 15
*to and the lovers she-mocked both being-lazy and*
νεωτέραις ἀεὶ τῶν μίξεων ἐνδιαθρυπτομένη ἐπιτεχνήσεσι
*with-newer always of-the intercourses being-wanton devices*
παραστήσασθαι τὰς τῶν ἀκολάστων ψυχὰς ἐς ἀεὶ ἴσχυεν,
*to-win-over the of-the licentious souls for ever she-was-able*

ἐπεὶ οὐδὲ πειρᾶσθαι πρός του τῶν ἐντυγχανόντων
*since not-even to-be-approached by any of-those meeting-her*
ἠξίου, ἀλλ' ἀνάπαλιν αὐτὴ γελοιάζουσά τε καὶ
*she-deemed-fit but the-reverse she joking both and*
βωμολόχως ἰσχιάζουσα τοὺς παραπεπτωκότας ἅπαντας,
*buffoonishly swaying-her-hips those having-fallen-in-with all*
ἄλλως τε καὶ ἀγενείους ὄντας ἐπείρα.
*especially — also beardless being she-tried*

16 ἧσσων γάρ τις οὕτως ἡδονῆς ἁπάσης οὐδαμῇ γέγονεν,
*weaker for anyone so than-pleasure all in-no-way has-been*
ἐπεὶ καὶ ἐς ξυναγώγιμον δεῖπνον πολλάκις ἐλθοῦσα ξὺν
*since even to a-joint-contribution dinner many-times having-come with*
νεανίαις δέκα, ἢ τούτων πλείοσιν, ἰσχύϊ τε σώματος
*youths ten or than-these more in-strength both of-body*
ἀκμάζουσι λίαν καὶ τὸ λαγνεύειν πεποιημένοις ἔργον,
*in-their-prime very and the lechery having-made work*
ξυνεκοιτάζετο μὲν τοῖς συνδείπνοις ἅπασι τὴν νύκτα ὅλην,
*she-lay-with indeed the fellow-diners all the night whole*
ἐπειδὰν δὲ πρὸς τὸ ἔργον τοῦτο πάντες ἀπείποιεν, ἥδε
*when but to the work this all gave-up she*
παρὰ τοὺς ἐκείνων οἰκέτας ἰοῦσα τριάκοντα ὄντας, ἂν
*to the their servants going thirty being —*
οὕτω τύχοι, ξυνεδυάζετο μὲν αὐτῶν ἑκάστῳ, κόρον
*so it-might-happen coupled indeed of-them with-each satiety*
δὲ οὐδ' ὡς ταύτης δὴ τῆς μισητίας ἐλάμβανε.
*but not-even so of-this indeed the abomination she-took*

17 Καί ποτε ἐς τῶν τινος ἐπιφανῶν οἰκίαν ἐλθοῦσα μεταξὺ
*and once to of-the one notable-men house having-come in-the-midst*
τοῦ πότου θεωμένων αὐτήν, ὥς φασι, τῶν ξυμποτῶν
*of-the drinking gazing-at her as they-say the fellow-drinkers*
ἁπάντων, ἐς τὸ προῦχον ἀναβᾶσα τῆς κλίνης ἀμφὶ
*all to the projecting having-mounted of-the couch around*

τὰ πρὸς ποδῶν ἀνασύρασά τε τὰ ἱμάτια οὐδενὶ
*the-things at feet having-pulled-up and the clothes with-no*
κόσμῳ ἐνταῦθα οὐκ ἀπηξίωσε τὴν ἀκολασίαν ἐνδείκνυσθαι.
*decency there not she-disdained the licentiousness to-display*
ἡ δὲ κἀκ τριῶν τρυπημάτων ἐργαζομένη ἐνεκάλει τῇ 18
*she and even-from three orifices working reproached the*
φύσει, δυσφορουμένη ὅτι δὴ μὴ καὶ τοὺς τιτθοὺς αὐτῇ
*nature being-vexed that indeed not also the nipples for-her*
εὐρύτερον ἢ νῦν εἰσι τρυπῴη, ὅπως καὶ ἄλλην ἐνταῦθα
*more-widely than now they-are it-bored so-that also another there*
μίξιν ἐπιτεχνᾶσθαι δυνατὴ εἴη.
*intercourse to-contrive able she-might-be*
καὶ συχνὰ μὲν ἐκύει, πάντα δὲ σχεδὸν τεχνάζουσα 19
*and often indeed she-conceived all but almost contriving*
ἐξαμβλίσκειν εὐθὺς ἴσχυε.
*to-miscarry at-once she-was-able*
Πολλάκις δὲ κἀν τῷ θεάτρῳ ὑπὸ θεατῇ παντὶ τῷ δήμῳ 20
*many-times and also-in the theater under spectator all the people*
ἀπεδύσατό τε καὶ γυμνὴ διὰ μέσου ἐγένετο, ἀμφὶ τὰ
*she-stripped both and naked through the-middle came around the*
αἰδοῖα καὶ τοὺς βουβῶνας διάζωμα ἔχουσα μόνον, οὐχ
*privates and the groins a-girdle having only not*
ὅτι μέντοι ᾐσχύνετο καὶ ταῦτα τῷ δήμῳ δεικνύναι,
*that however she-was-ashamed also these(-things) to-the people to-show*
ἀλλ᾽ ὅτι ἐνταῦθα γυμνῷ παντάπασι παριέναι οὐδενὶ
*but that there naked altogether to-come-forward to-no-one*
ἔξεστιν ὅτι μὴ τῷ ἀμφὶ τοὺς βουβῶνας διάζωμα
*is-allowed except — to-the-(one) around the groins a-girdle*
ἔχοντι. οὕτω μέντοι τοῦ σχήματος ἔχουσα, ἀναπεπτωκυῖά
*having so however of-the posture having having-fallen-back*
τε ἐν τῷ ἐδάφει ὑπτία ἔκειτο.
*and on the floor on-her-back she-lay*

21 θῆτες δέ τινες, οἷς δὴ τὸ ἔργον τόδε ἐνέκειτο,
*laborers and some to-whom indeed the task this was-assigned*
κριθὰς αὐτῇ ὕπερθεν τῶν αἰδοίων ἐρρίπτουν, ἃς δὴ
*barley-grains on-her above the privates threw which indeed*
οἱ χῆνες, οἳ ἐς τοῦτο παρεσκευασμένοι ἐτύγχανον, τοῖς
*the geese which for this having-been-prepared happened with-the*
στόμασιν ἐνθένδε κατὰ μίαν ἀνελόμενοι ἤσθιον.
*beaks thence — one-by-one having-picked-up ate*

22 ἡ δὲ οὐχ ὅτι οὐκ ἐρυθριῶσα ἐξανίστατο, ἀλλὰ καὶ
*she but not that not blushing stood-up but also*
φιλοτιμουμένῃ ἐπὶ ταύτῃ δὴ τῇ πράξει ἐῴκει. ἦν
*to-one-priding-herself on this indeed the act she-resembled she-was*
γὰρ οὐκ ἀναίσχυντος μόνον, ἀλλὰ καὶ ἀναισχυντοποιὸς
*for not shameless only but also shame-maker*
πάντων μάλιστα.
*of-all most*

23 πολλάκις δὲ καὶ ἀποδυσαμένη ξὺν τοῖς μίμοις ἐν μέσῳ
*many-times and also having-stripped with the mimes in the-midst*
εἱστήκει ἐπὶ τῆς σκηνῆς λορδουμένη τε καὶ τὰ ὀπίσω
*she-stood on the stage bending-back both and the-things behind*
ἀποκεντῶσα τοῖς τε διάπειραν αὐτῆς ἔχουσι καὶ τοῖς
*thrusting-out to-those both experience of-her having and to-those*
οὔπω πεπλησιακόσι τὰ ἐκ παλαίστρας τῆς αὐτῇ
*not-yet having-approached the-things from wrestling-school the to-her*
εἰωθυίας βρενθυομένη.
*customary swaggering*

24 οὕτω δὲ ἀκολάστως ἐς τὸ σῶμα τὸ αὑτῆς ὕβριζεν,
*so and licentiously toward the body the her-own she-outraged*
ὥστε τὴν αἰδῶ οὐκ ἐν τῇ τῆς φύσεως χώρᾳ κατὰ ταὐτὰ
*that the shame not in the of-the nature place in the-same*
ταῖς ἄλλαις γυναιξίν, ἀλλ᾽ ἐν τῷ προσώπῳ ἔχειν ἐδόκει.
*as-the other women but in the face to-have she-seemed*

οἱ μὲν οὖν αὐτῇ πλησιάζοντες ἔνδηλοι εὐθὺς ἀπ᾽ αὐτοῦ 25
*those indeed then her approaching plain at-once from it*
ἦσαν, ὅτι δὴ οὐ κατὰ νόμον τῆς φύσεως τὰς μίξεις
*were that indeed not according-to law of-the nature the intercourses*
ποιοῦνται· ὅσοι δὲ αὐτῇ ἐν ἀγορᾷ τῶν ἐπιεικεστέρων
*they-make as-many-as but her in the-market of-the more-respectable*
ἐντύχοιεν, ἀποκλινόμενοι σπουδῇ ὑπεχώρουν, μή του
*met turning-aside with-haste withdrew lest any*
τῶν ἱματίων τῆς ἀνθρώπου ἁψάμενοι μεταλαχεῖν τοῦ
*of-the clothes of-the woman having-touched to-share of-the*
μιάσματος τούτου δόξειαν.
*pollution this they-might-seem*
ἦν γὰρ τοῖς ὁρῶσιν ἄλλως τε καὶ ἀρχομένης ἡμέρας 26
*she-was for to-those seeing especially — also beginning day*
βλάσφημος οἰωνός. ἐς μέντοι τὰς συνθεατρίας ἀγριώτατα
*an-ill-omened bird toward however the fellow-actresses most-savagely*
εἰώθει ἐς ἀεὶ σκορπιαίνεσθαι· βασκανίᾳ γὰρ πολλῇ
*she-was-accustomed for ever to-sting-like-a-scorpion by-envy for much*
εἶχετο.
*she-was-held*
Ἑκηβόλῳ δὲ ὕστερον Τυρίῳ ἀνδρὶ τὴν ἀρχὴν παραλαβόντι 27
*to-Hecebolus and later a-Tyrian man the government having-received*
Πενταπόλεως ἐς τὰ αἴσχιστα ὑπηρετήσουσα εἵπετο,
*of-Pentapolis to the most-shameful-things going-to-serve she-followed*
ἀλλά τι τῷ ἀνθρώπῳ προσκεκρουκυῖα ἐνθένδε ὅτι
*but something to-the man having-offended thence as*
τάχιστα ἀπηλαύνετο· διὸ δὴ αὐτῇ ἀπορεῖσθαι τῶν
*soonest was-driven-out wherefore indeed her to-be-at-a-loss for-the*
ἀναγκαίων ξυνέπεσεν, ἅπερ τὸ λοιπὸν ἐπορίζετο τὴν
*necessities it-happened which for-the rest she-provided the*
ἐς τὸ σῶμα παρανομίαν, ἣπερ εἴθιστο, ἐργαζομένη.
*with the body lawlessness as she-was-accustomed working*

28 ἐς μὲν οὖν Ἀλεξάνδρειαν τὰ πρῶτα ἦκεν. ἔπειτα δὲ
*to indeed then Alexandria the first she-came then and*
πᾶσαν τὴν ἕω περιελθοῦσα ἐς Βυζάντιον ἐπανῆκεν,
*all the east having-gone-around to Byzantium returned*
ἐργασίᾳ χρωμένη ἐν πόλει ἑκάστῃ, ἥν γε ὀνομάζοντι,
*working using in city each which at-least for-one-naming*
οἶμαι, ἀνθρώπῳ οὐκ ἄν ποτε ἵλεως ὁ θεὸς εἴη, ὥσπερ
*I-think man not — ever merciful — God would-be as-if*
οὐκ ἀνεχομένου τοῦ δαίμονος χῶρόν τινα τῆς Θεοδώρας
*not bearing the demon place any of-the of-Theodora*
ἀκολασίας ἀγνῶτα εἶναι.
*licentiousness unknowing to-be*

29 Οὕτω μὲν οὖν τετέχθαι τε τῇδε τῇ γυναικὶ καὶ
*thus indeed then to-have-been-born both to-this the woman and*
τετράφθαι ξυνέβη καὶ ἐς δημοσίους πολλὰς διαβοήτῳ
*to-have-been-raised it-happened and into public many-things notorious*
γεγενῆσθαι καὶ ἐς πάντας ἀνθρώπους.
*to-have-become and to all men*

30 ἐπεὶ δὲ ἀφίκετο ἐς Βυζάντιον αὖθις, ἠράσθη αὐτῆς
*when and she-came to Byzantium again fell-in-love-with her*
Ἰουστινιανὸς ἔρωτα ἐξαίσιον οἷον, καὶ τὰ πρῶτα
*Justinian with-a-love extraordinary such also the first*
ἐπλησίαζεν ὡς ἐρωμένῃ, καίπερ αὐτὴν ἀναγαγὼν ἐς τὸ
*he-approached-(her) as a-mistress although her having-raised to the*
τῶν πατρικίων ἀξίωμα.
*of-the patricians rank*

31 δύναμιν τοίνυν ἐξαισίαν τινὰ καὶ χρήματα ἐπιεικῶς
*power therefore extraordinary some and money reasonably*
μεγάλα περιβαλέσθαι ἡ Θεοδώρα εὐθὺς ἴσχυσε. πάντων
*great to-surround-herself-with — Theodora at-once was-able of-all*
γὰρ ἥδιστον τῷ ἀνθρώπῳ ἐφαίνετο, ὃ δὴ ξυμβαίνειν

τοῖς ἐκτόπως ἐρῶσι φιλεῖ, χάριτάς τε πάσας καὶ
*to-those extraordinarily loving is-wont favors both all and*
χρήματα πάντα τῇ ἐρωμένῃ χαρίζεσθαι.
*money all to-the beloved to-grant*
ἐγίνετό τε ἡ πολιτεία τοῦ ἔρωτος τοῦδε ὑπέκκαυμα. ξὺν 32
*became and the state of-the love this kindling with*
αὐτῇ τοίνυν πολλῷ ἔτι μᾶλλον τὸν δῆμον διέφθειρεν οὐκ
*her therefore by-much still more the people he-destroyed not*
ἐνταῦθα μόνον, ἀλλ᾽ ἀνὰ πᾶσαν τὴν Ῥωμαίων ἀρχήν.
*there only but throughout all the of-Romans empire*
ἄμφω γὰρ μοίρας τῆς Βενέτων ἐκ παλαιοῦ ὄντες ἐν 33
*both for of-party of-the Blues from of-old being in*
πολλῇ ἐξουσίᾳ τούτοις δὴ τοῖς στασιώταις τὰ ἐς
*much license to-these indeed the partisans the-things for*
τὴν πολιτείαν πράγματα ἔθεντο.
*the state affairs they-put*
χρόνῳ δὲ πολλῷ ὕστερον τὸ πλεῖστον τοῦ κακοῦ 34
*in-time and much later the most of-the evil*
ἐλελωφήκει τρόπῳ τοιῷδε.
*had-abated in-manner such*
Ἰουστινιανῷ ἐν ἡμέραις πολλαῖς νοσῆσαι ξυνέβη, ἐν δὲ 35
*to-Justinian in days many to-be-ill it-happened in and*
τῇ νόσῳ ταύτῃ ἐς τόσον κινδύνου ἀφίκετο ὥστε καὶ
*the illness this to such-a-degree of-danger he-came that also*
ἐλέχθη ὅτι δὴ ἀποθάνοι· οἱ μέντοι στασιῶται ταῦτα
*it-was-said that indeed he-died the however partisans these(-things)*
ἅπερ ἐρρήθη ἡμάρτανον, καί τινα Ὑπάτιον οὐκ ἀφανῆ
*which were-said were-sinning and a-certain Hypatius not obscure*
ἄνδρα δι᾽ ἡμέρας ἐν τῷ τῆς Σοφίας ἱερῷ διεχρήσαντο.
*man by day in the of-the Wisdom sanctuary they-killed*

36 ἐξειργασμένου δὲ τοῦ κακοῦ ἡ τοῦ ἔργου ταραχὴ ἐς
*having-been-done and the evil the of-the deed uproar to*
βασιλέα ἦλθε, τῶν τε ἀμφ᾽ αὐτὸν ἕκαστος, ἐπεὶ τῆς
*the-emperor came of-the and around him each since of-the*
Ἰουστινιανοῦ ἀπουσίας ἐλάβετο, τὴν τῶν πεπραγμένων
*of-Justinian absence he-took-hold the of-the-things done*
ἀτοπίαν ἐπὶ μέγα αἴρειν ἐν σπουδῇ ἐποιεῖτο, καταλέγων
*outrageousness to great to-raise in earnestness made recounting*
ἐξ ἀρχῆς ἅπαντα, ὅσα δὴ γενέσθαι τετύχηκε.
*from the-beginning all-things as-many-as indeed to-come-about has-happened*

37 τότε δὴ ὁ βασιλεὺς τῷ τῆς πόλεως ἐπάρχῳ ἐπέστελλε
*then indeed the emperor to-the of-the city prefect instructed*
τῶν πεπραγμένων ἁπάντων ποιεῖσθαι τὰς τίσεις. ἦν
*of-the-things done all to-make the punishments was*
δὲ οὗτος ὁ ἀνὴρ Θεόδοτος ὄνομα, ὅνπερ Κολοκύνθιον
*and this the man Theodotus by-name whom Pumpkin*
ἐπίκλησιν ἐκάλουν.
*by-surname they-called*

38 καὶ ὃς διερευνώμενος ἅπαντα πολλοὺς μὲν τῶν κακούργων
*and he searching-out all-things many indeed of-the evildoers*
ἑλεῖν τε καὶ διαχρήσασθαι νόμῳ ἴσχυσε, πολλοὶ δὲ καὶ
*to-catch both and to-execute by-law was-able many and also*
διαλαθόντες ἐσώθησαν.
*having-escaped-notice were-saved*

39 μεταξὺ γὰρ ἐπιαπολέσθαι αὐτοὺς πράγμασι Ῥωμαίων
*meanwhile for to-perish-in-addition them with-the-affairs of-Romans*
ἔδει. ὁ δὲ παράδοξον διασωθεὶς ἐξάπινα σωτηρίαν
*it-was-necessary he but paradoxical having-been-saved suddenly safety*
καὶ τὸν Θεόδοτον κτεῖναι ἅτε φαρμακέα καὶ μάγον εὐθὺς
*also — Theodotus to-kill as a-poisoner and sorcerer at-once*
ἐνεχείρει.
*attempted*

ἐπεὶ δὲ οὐκ εἶχεν ὅτῳ ποτὲ προσχήματι χρώμενος 40
*since but not he-had with-what ever pretext using*
τὸν ἄνθρωπον διαφθείρειε, τῶν οἱ ἐπιτηδείων τινὰς
*the man he-might-destroy of-the to-him close-friends some*
πικρότατα αἰκισάμενος ἠνάγκαζε λόγους ὡς ἥκιστα ὑγιεῖς
*most-bitterly having-tortured he-compelled words as least sound*
ἐπ᾽ αὐτῷ φθέγγεσθαι.
*against him to-utter*
πάντων δέ οἱ ἐκποδὼν ἱσταμένων καὶ σιωπῇ τὴν ἐς τὸν 41
*all and to-him out-of-the-way standing and in-silence the against —*
Θεόδοτον ὀδυρομένων ἐπιβουλήν, μόνος ὁ Πρόκλος τὴν τοῦ
*Theodotus lamenting plot alone — Proclus the of-the*
καλουμένου κοιαίστωρος ἔχων ἀρχὴν καθαρὸν ἀπέφαινε τοῦ
*so-called quaestor holding office clean declared of-the*
ἐγκλήματος εἶναι τὸν ἄνθρωπον καὶ θανάτου οὐδαμῇ ἄξιον.
*charge to-be the man and of-death in-no-way worthy*
διὸ δὴ ὁ Θεόδοτος ἐς τὰ Ἱεροσόλυμα βασιλέως 42
*wherefore indeed — Theodotus to — Jerusalem of-the-emperor*
κομίζεται γνώμῃ. γνοὺς δὲ ἥκειν τινὰς ἐνταῦθα,
*is-conveyed by-decision having-learned and to-have-come some there*
οἵπερ αὐτὸν διαφθεροῦσιν, ἐν τῷ ἱερῷ ἦν κρυπτόμενος
*who him will-destroy in the sanctuary he-was hiding*
τὸν ἅπαντα χρόνον, οὕτω τε διαβιοὺς ἐτελεύτησε.
*the whole time thus and having-lived he-died*
Τὰ μὲν οὖν ἀμφὶ Θεοδότῳ ταύτῃ πη ἔσχεν. οἱ δὲ 43
*the-things indeed then about Theodotus this-way somehow stood the but*
στασιῶται σωφρονέστατοι τὸ ἐντεῦθεν ἐγένοντο ἀνθρώπων
*partisans most-temperate the thenceforth became of-men*
ἁπάντων.
*all*

44 οὐ γὰρ ἔτι τὰ τοιαῦτα ἐξαμαρτάνειν ἠνείχοντο, καίπερ
*not for any-longer the such-things to-sin they-endured although*
σφίσι παρὸν ἀδεέστερον τῇ ἐς τὴν δίαιταν παρανομίᾳ
*for-them it-being-possible more-fearlessly to-the in the way-of-life lawlessness*
χρῆσθαι.
*to-use*

45 τεκμήριον δέ· ὀλίγων γάρ τινων ὕστερον τόλμαν τὴν
*a-proof and few for some later daring the*
ὁμοίαν ἐνδειξαμένων τίσις οὐδεμία ἐς αὐτοὺς γέγονεν.
*similar having-displayed punishment none against them has-been*

46 οἱ γὰρ τοῦ κολάζειν τὴν ἐξουσίαν ἀεὶ ἔχοντες παρρησίαν
*those for of-the to-punish the power always having license*
τοῦ διαλανθάνειν τοῖσδε τὰ δεινὰ εἰργασμένοις
*of-the to-escape-notice to-those the terrible-things having-done*
παρείχοντο, ταύτῃ αὐτοὺς τῇ ξυγχωρήσει ἐς τὸ τοῖς
*provided by-this them the concession to the the*
νόμοις ἐπεμβαίνειν ἐνάγοντες.
*laws to-trample-on urging*

47 Ἕως μὲν οὖν ἡ βασιλὶς περιῆν ἔτι, γυναῖκα ἐγγυητὴν
*while indeed then the empress was-alive still wife betrothed*
Ἰουστινιανὸς τὴν Θεοδώραν ποιήσασθαι οὐδεμιᾷ μηχανῇ
*Justinian — Theodora to-make with-no device*
εἶχεν. ἐν τούτῳ γὰρ μόνον ἀπ᾽ ἐναντίας αὐτῷ ἐχώρει,
*he-could in this for alone from opposite to-him she-went*
καίπερ ἀντιστατοῦσα τῶν ἄλλων οὐδέν.
*although opposing of-the other-things nothing*

48 πονηρίας μὲν γὰρ ἡ γυνὴ ἀπωτάτω οὖσα ἐτύγχανεν,
*of-wickedness indeed for the woman farthest being happened*
ἄγροικος δὲ ἦν κομιδῇ καὶ βάρβαρος γένος, ὥσπερ μοι
*boorish but she-was quite and barbarian by-race as by-me*
εἴρηται.
*has-been-said*

ἀντιλαβέσθαι τε ἀρετῆς οὐδαμῇ ἴσχυσεν, ἀλλ᾽ ἀπειροτάτη 49
*to-lay-hold-of and virtue in-no-way she-was-able but most-inexperienced*
οὖσα διατετέλεκε τῶν κατὰ τὴν πολιτείαν πραγμάτων, ἥ
*being she-continued of-the in the state affairs she*
γε οὐδὲ ξὺν τῷ ὀνόματι τῷ αὐτῆς ἰδίῳ ἅτε καταγελάστῳ
*at-least not-even with the name the her own as ridiculous*
ὄντι ἐς Παλάτιον ἦλθεν, ἀλλ᾽ Εὐφημία ἐπικληθεῖσα. χρόνῳ
*being to the-Palace came but Euphemia having-been-called in-time*
δὲ ὕστερον τῇ βασιλίδι μὲν ἀπογενέσθαι ξυνέπεσεν.
*and later for-the empress indeed to-die it-happened*
ὁ δὲ ἠλιθιάζων τε καὶ κομιδῇ ἐσχατογέρων γενόμενος, 50
*he but being-foolish both and quite in-extreme-old-age having-become*
πρὸς τῶν ἀρχομένων γέλωτα ὤφλεν, ὀλιγωρίᾳ τε πολλῇ
*from the subjects laughter incurred with-contempt and much*
ἐς αὐτὸν ἐχόμενοι ἅπαντες ἅτε τῶν πρασσομένων
*toward him held all as of-the-things being-done*
οὐ ξυνιέντος, ὑπερεώρων, Ἰουστινιανὸν δὲ ξὺν δέει
*not understanding they-disregarded Justinian but with fear*
πολλῷ ἐθεράπευον. κυκῶν γὰρ ἀεὶ καὶ ξυνταράσσων
*much they-courted stirring for always and confounding*
ἀνεσόβει ἐφεξῆς ἅπαντα.
*he-threw-into-disorder in-succession all-things*
τότε δὴ τὴν ἐγγύην πρὸς τὴν Θεοδώραν ἐνεχείρει 51
*then indeed the betrothal to — Theodora he-attempted*
ποιεῖν. ἀδύνατον δὲ ὂν ἄνδρα ἐς ἀξίωμα βουλῆς ἥκοντα
*to-make impossible but being a-man to rank of-council having-come*
ἑταίρᾳ γυναικὶ ξυνοικίζεσθαι, νόμοις ἄνωθεν τοῖς
*with-a-courtesan woman to-marry by-laws from-above the*
παλαιοτάτοις ἀπορρηθέν, λῦσαί τε τοὺς νόμους τὸν βασιλέα
*most-ancient forbidden to-loose both the laws the emperor*
νόμῳ ἑτέρῳ ἠνάγκασε καὶ τὸ ἐνθένδε ἅτε γαμετῇ
*with-law another he-compelled and the thenceforth as with-a-wedded-wife*

τῇ Θεοδώρᾳ ξυνῴκησε, καὶ τοῖς ἄλλοις ἅπασι βάσιμον
— *with-Theodora he-lived and for-the others all passable*
κατεστήσατο τὴν πρὸς τὰς ἑταίρας ἐγγύην, τυραννῶν τε
*made the with the courtesans betrothal tyrannizing and*
αὐτίκα ἐπεβάτευε τῆς τοῦ αὐτοκράτορος τιμῆς προσχήματι
*at-once he-trampled-upon of-the of-the autocrat honor with-pretext*
συμπεπλασμένῳ τῆς πράξεως ἐπικαλύπτων τὸ βίαιον.
*fabricated of-the deed covering the violence*

52 ἀνεῖπον γὰρ αὐτὸν βασιλέα ξὺν τῷ θείῳ τῶν Ῥωμαίων,
*proclaimed for him emperor with the uncle of-the Romans*
εἴ τι δόκιμον ἦν, δειμάτων περιουσίᾳ ἐπὶ ταύτην ἠγμένοι
*if any of-account was of-fears by-excess to this led*
τὴν ψῆφον.
*the vote*

53 παρέλαβον τοίνυν τὴν βασιλείαν Ἰουστινιανός τε καὶ
*took-over therefore the empire Justinian both and*
Θεοδώρα πρότερον τῆς Πασχαλίας ἑορτῆς ἡμέραις τρισίν,
*Theodora before the Easter feast by-days three*
ὅτε δὴ οὔτε ἀσπάσασθαι τῶν φίλων τινὰ οὔτε εἰρηναῖα
*when indeed neither to-greet of-the friends anyone nor peaceable-things*
προσειπεῖν ἔξεστιν.
*to-say is-allowed*

54 ἡμέραις δὲ οὐ πολλαῖς ὕστερον Ἰουστῖνος μὲν ἐτελεύτησε
*by-days and not many later Justin indeed died*
νόσῳ, τῇ ἀρχῇ ἐπιβιοὺς ἔτη ἐννέα, μόνος δὲ
*by-disease in-the reign having-lived-on years nine alone and*
Ἰουστινιανὸς ξὺν Θεοδώρᾳ τὴν βασιλείαν ἔσχεν.
*Justinian with Theodora the empire held*

## X · THEODORA ON THE THRONE

*No one in the Senate, the priesthood, the people, or the army objects to the empress, though Justinian might have had the best-born woman in the Empire. Procopius describes her as fair-faced and graceful but short, somewhat pale, and quick-eyed, and says that the two only pretended to disagree, so that the subjects, divided between them, could not unite. They divide the Christians first, then the factions: she favors the Blues while he pretends to be angry, and in lawsuits each takes a side and they share the spoils. Whenever the men Justinian has made his intimates grow rich, she turns against them and he seizes their property.*

Οὕτω γοῦν ἡ Θεοδώρα, ὥσπερ ἐρρήθη, τεχθεῖσά τε 1
*thus at-any-rate — Theodora as was-said having-been-born both*
καὶ τεθραμμένη καὶ παιδευθεῖσα ἐς βασιλείας ἀξίωμα
*and having-been-raised and having-been-educated to of-empire rank*
τρόπῳ οὐδενὶ ἐμποδισθεῖσα ἦλθεν.
*in-manner no hindered came*
οὐδὲ γὰρ τῷ γήμαντι ὕβρεώς τις οἴησις γέγονεν, εἴ 2
*not-even for to-the-(one) having-married of-outrage any notion arose if*
οἱ παρὸν ἐκ πάσης ἀπολεξαμένῳ τῆς Ῥωμαίων ἀρχῆς
*to-him it-being-possible from all having-chosen of-the of-Romans empire*
γαμετὴν γυναῖκα ποιήσασθαι τὴν πασῶν γυναικῶν μάλιστα
*wedded wife to-make the of-all women most*
εὖ τε γεγονυῖαν καὶ τροφῆς κρυφαίου μεταλαχοῦσαν, τοῦ
*well both born and of-upbringing secluded having-partaken of-the*
τε αἰδεῖσθαι οὐκ ἀμελέτητον γεγενημένην, καὶ σωφροσύνῃ
*both to-be-modest not unpracticed having-become and with-chastity*
ξυνῳκισμένην, πρὸς δὲ τῷ κάλλει ὑπερφυᾶ καὶ παρθένον
*having-dwelt besides and in-the beauty extraordinary and a-virgin*
τινὰ καὶ τὸ δὴ λεγόμενον ὀρθότιτθον οὖσαν.
*some and the indeed so-called firm-breasted being*

3 ὁ δὲ τὸ κοινὸν ἄγος ἁπάντων ἀνθρώπων αὐτοῦ
*he but the common pollution of-all men his*
ἴδιον πεποιῆσθαι οὐκ ἀπηξίου, ἐπ᾽ οὐδενὶ τῶν
*own to-have-made not disdained at none of-the-things*
προδεδηλωμένων καταδυόμενος, καὶ γυναικὶ πλησιάζειν
*shown-before being-abashed and a-woman to-approach*
ἄλλα τε περιβεβλημένῃ μεγάλα μιάσματα καὶ παιδοκτονίας
*other both having-put-on great pollutions and child-murders*
πολλὰς ἐθελουσίων ἀμβλώσεων. ἄλλο τέ μοι ἐνδεῖν ἤθους
*many of-voluntary abortions other and to-me to-be-lacking character*
πέρι μνημονεῦσαι τοῦδε τοῦ ἀνθρώπου οὐδ᾽ ὁτιοῦν οἶμαι.
*about to-mention of-this the man not anything-whatever I-think*
4 ἅπαντα γὰρ αὐτοῦ τὰ τῆς ψυχῆς πάθη οὗτος ἂν
*all for his the of-the soul passions this —*
ἀξιόχρεως ὁ γάμος σημῆναι διαρκῶς εἴη, ἑρμηνεύς τε
*adequate the marriage to-indicate sufficiently would-be interpreter both*
καὶ μάρτυς τοῦ τρόπου καὶ λογογράφος γινόμενος.
*and witness of-the character and chronicler becoming*
5 ἐπεὶ ὅστις ἀλογήσας τὴν ὑπὲρ τῶν πεπραγμένων
*since whoever having-disregarded the about the-things done*
αἰσχύνην οὐκ ἀπαξιοῖ τοῖς ἐντυγχάνουσι βδελυρὸς φαίνεσθαι,
*shame not disdains to-those meeting-(him) loathsome to-appear*
τούτῳ δὴ οὐδεμία παρανομίας ἀτραπὸς ἄβατος, ἀλλὰ
*to-this indeed no of-lawlessness path untrodden but*
τὴν ἀναίδειαν ἀεὶ τοῦ μετώπου προβεβλημένος ῥᾷστά τε
*the shamelessness always of-the forehead having-put-before most-easily both*
καὶ οὐδενὶ πόνῳ ἐς τῶν πράξεων τὰς μιαρωτάτας χωρεῖ.
*and with-no toil to of-the deeds the most-foul goes*
6 οὐ μὴν οὐδέ τις ἐκ τῆς συγκλήτου βουλῆς τὸ αἶσχος
*not indeed not-even any from the assembled council the disgrace*
τοῦτο ἀναδουμένην τὴν πολιτείαν ὁρῶν δυσφορεῖσθαί τε
*this binding-on-itself the state seeing to-be-vexed both*

καὶ τὴν πρᾶξιν ἀπειπεῖν ἔγνω, καίπερ αὐτὴν ἅπαντες ἴσα
*and the act to-forbid resolved although her all like*
θεῷ προσκυνήσοντες.
*a-god about-to-worship*
ἀλλ᾽ οὐδέ τις ἱερεὺς δεινοπαθῶν ἔνδηλος γέγονε, καὶ 7
*but not-even any priest being-indignant plain became and*
ταῦτα δέσποιναν αὐτὴν προσερεῖν μέλλοντες.
*that mistress her to-address about-to*
καὶ ὁ πρότερον αὐτῆς θεατὴς δῆμος δοῦλος εὐθὺς οὐδενὶ 8
*and the formerly her spectator people slave at-once with-no*
κόσμῳ αὐτῆς εἶναί τε καὶ ὀνομάζεσθαι ὑπτίαις ἐδικαίου
*decency her to-be both and to-be-called with-upturned thought-right*
χερσίν.
*hands*
οὐδέ τις στρατιώτης ἠγρίωτο, εἰ τοὺς ἐν τοῖς στρατοπέδοις 9
*nor any soldier was-enraged if the in the camps*
κινδύνους ὑπὲρ τῶν τῆς Θεοδώρας πραγμάτων ὑφίστασθαι
*dangers for the — of-Theodora affairs to-undergo*
μέλλοι οὐδέ τις αὐτῇ ἄλλος ἀπήντησε τῶν ἁπάντων
*he-was-about nor any her other opposed of-the all*
ἀνθρώπων, ἀλλὰ πάντες, οἶμαι, τῷ ταῦτα οὕτω
*men but all I-think by-the these(-things) thus*
δεδόσθαι κεκλιμένοι ἐνεχώρησαν ξυμπεραίνεσθαι
*to-have-been-granted inclined yielded to-be-accomplished*
τὸ μίασμα τοῦτο, ὥσπερ τῆς τύχης ἐπίδειξιν τῆς
*the pollution this as-if the fortune display of-the*
δυνάμεως πεποιημένης, ᾗ δὴ ἅπαντα πρυτανευούσῃ
*power having-made to-which indeed all-things presiding-over*
τὰ ἀνθρώπεια ὡς ἥκιστα μέλει οὔτε ὅπως ἂν τὰ
*the human-things as least is-a-care neither how — the-things*

πραττόμενα εἰκότα εἴη οὔτε ὅπως ἂν ταῦτα κατὰ
*being-done reasonable might-be nor how — these(-things) according-to*
λόγον τοῖς ἀνθρώποις γεγενῆσθαι δοκῇ.
*reason to-the men to-have-happened may-seem*

10 ἐπαίρει γοῦν τινα ἐξαπιναίως ἀλογίστῳ τινὶ ἐξουσίᾳ ἐς
*raises at-any-rate someone suddenly with-irrational some power to*
ὕψος μέγα, ᾧπερ ἐναντιώματα μὲν πολλὰ ξυμπεπλέχθαι
*height great for-whom obstacles indeed many to-have-been-interwoven*
δοκεῖ, ἀντιστατεῖ δὲ παρά τι ἔργον τῶν πάντων οὐδέν,
*seems opposes but against — deed of-the all nothing*
ἀλλὰ ἄγεται μηχανῇ πάσῃ ὅπη ποτὲ αὐτῇ διατέτακται,
*but he-is-led by-device every wherever ever by-her it-has-been-ordained*
ἁπάντων ἑτοίμως ἐξισταμένων τε καὶ ὑποχωρούντων
*all readily standing-aside both and giving-way*
προϊούσῃ τῇ τύχῃ. ἀλλὰ ταῦτα μὲν ὅπη τῷ θεῷ
*advancing to-the fortune but these(-things) indeed wherever — to-God*
φίλον, ταύτῃ ἐχέτω τε καὶ λεγέσθω.
*dear this-way let-them-be both and let-them-be-said*

11 Ἡ δὲ Θεοδώρα εὐπρόσωπος μὲν ἦν καὶ εὔχαρις ἄλλως,
*— but Theodora fair-faced indeed was and graceful otherwise*
κολοβὸς δὲ καὶ ὡρακιῶσα οὐ παντάπασι μέν, ἀλλ᾽ ὅσον
*short but and pallid not altogether indeed but as-much-as*
ὑπόχλωρος εἶναι, γοργόν τε καὶ συνεστραμμένον ἀεὶ
*sallow to-be sharply both and intently always*
βλέπουσα.
*looking*

12 τῶν δὲ δὴ αὐτῇ βεβιωμένων ἐν τῇ θυμέλῃ τὰ μὲν
*of-the but indeed by-her lived-things in the theater the indeed*
πλεῖστα λέγοντι οὐκ ἂν ὁ πᾶς αἰὼν ἐπαρκέσαι, ὀλίγα
*most for-one-telling not — the whole age would-suffice few*
δὲ ἄττα ἐν τοῖς ἔμπροσθεν λόγοις ἀπολεξάμενος τοῦ τῆς
*but some in the earlier books having-chosen of-the of-the*

γυναικὸς τρόπου τοῖς ἐπιγενησομένοις ὅλην ἂν πεποιῆσθαι
*woman character to-those about-to-be-born whole — to-have-made*
τὴν δήλωσιν ἱκανὸς εἴην.
*the revelation able I-might-be*
νῦν δὲ αὐτῆς καὶ τἀνδρὸς τὰ πεπραγμένα ἐν ὀλίγῳ 13
*now but her and of-the-husband the-things done in brief*
δηλωτέον ἡμῖν, ἐπεὶ οὐδέ τι ἀλλήλοιν χωρὶς ἐς τὴν
*must-be-shown by-us since not-even anything from-each-other apart in the*
δίαιταν ἐπραξάτην.
*way-of-life they-two-did*
χρόνον μὲν γὰρ πολὺν ἔδοξαν ἅπασι ταῖς τε γνώμαις ἀεὶ 14
*time indeed for long they-seemed to-all in-the both opinions always*
καὶ τοῖς ἐπιτηδεύμασι καταντικρὺ ἀλλήλοιν ἰέναι, ὕστερον
*and in-the pursuits opposite to-each-other to-go later*
μέντοι ἐξεπίτηδες αὐτοῖν ξυμπεπλάσθαι ἡ δόκησις αὕτη
*however deliberately by-them to-have-been-contrived the appearance this*
ἐγνώσθη, τοῦ μὴ ξυμφρονήσαντας τοὺς κατηκόους σφίσιν
*was-known — lest having-agreed the subjects against-them*
ἐπαναστῆναι, ἀλλὰ διεστάναι τὰς γνώμας ἐπ᾽ αὐτοὺς ἅπασι.
*to-rise-up but to-be-divided the opinions about them for-all*
Πρῶτα μὲν οὖν τοὺς Χριστιανοὺς διαναστήσαντε καὶ τὴν 15
*first indeed then the Christians having-stirred-up and the*
ἐναντίαν ἔν γε τοῖς ἀντιλεγομένοις σκηπτομένω ἀλλήλοιν
*opposite in at-least the-things disputed pretending to-each-other*
ἰέναι διεσπάσαντο οὕτως ἅπαντας, ὥσπερ μοι λελέξεται
*to-go they-tore-apart thus all as by-me will-be-told*
οὐ πολλῷ ὕστερον. ἔπειτα δὲ τοὺς στασιώτας διείλοντο.
*not much later then and the partisans divided*
καὶ ἡ μὲν δυνάμει τῇ πάσῃ μεταποιεῖσθαι τῶν 16
*and she indeed with-power the all to-favor the*
Βενέτων ἐπλάσσετο καὶ τὴν ἐξουσίαν αὐτοῖς ἐπὶ τοὺς
*Blues pretended and the license to-them against the*

ἀντιστασιώτας ἀναπετάσασα ἐνεδίδου κόσμῳ οὐδενὶ
*opposing-partisans having-spread-open allowed with-order no*
ἐξαμαρτάνειν τε καὶ βιάζεσθαι τὰ ἀνήκεστα.
*to-sin both and to-commit-violence the incurable-things*

17 ὁ δὲ ὥσπερ ἀγανακτοῦντι μὲν καὶ ἀποσκύζοντι λάθρα
*he but as-if being-indignant indeed and grumbling secretly*
ἐῴκει, εὐθέως δὲ τῇ γυναικὶ ἀντιστατεῖν οὐχ οἵῳ τε
*resembled at-once but to-the wife to-oppose not able —*
ὄντι, πολλάκις δὲ καὶ μεταμπισχόμενοι τὴν τοῦ δύνασθαι
*being many-times and also exchanging the of-the to-be-able*
δόξαν σφίσιν αὐτοῖς τὴν ἐναντίαν ἤεσαν.
*appearance them selves the opposite went*

18 ὁ μὲν γὰρ τοὺς Βενέτους οἷα ἐξαμαρτάνοντας κολάζειν
*he indeed for the Blues as sinning to-punish*
ἠξίου, ἡ δὲ τῷ λόγῳ χαλεπαίνουσα ἐδυσφορεῖτο ὅτι
*deemed-fit she but in-the word being-angry was-vexed that*
δὴ οὐχ ἑκοῦσα τἀνδρὸς ἡσσηθείη.
*indeed not willing by-the-husband she-was-defeated*

19 Τῶν μέντοι Βενέτων οἱ στασιῶται, ὥσπερ μοι εἴρηται,
*of-the however Blues the partisans as by-me has-been-said*
σωφρονέστατοι ἔδοξαν εἶναι. τοὺς γὰρ πέλας βιάζεσθαι
*most-temperate seemed to-be the for neighbors to-force*
ὅσα ἐξῆν οὐδαμῇ ἐδικαίουν, ἔν τε ταῖς περὶ
*as-far-as it-was-allowed in-no-way they-thought-right in and the concerning*
τὰς δίκας φιλονεικίαις ἐδόκει μὲν ἑκάτερος ἑνὶ τῶν
*the lawsuits contentions seemed indeed each one of-the*
διαφόρων ἀμύνειν, νικᾶν δὲ αὐτοῖν τὸν λόγῳ τῷ
*litigants to-defend to-win but of-them the-(one) with-cause the*
ἀδίκῳ ξυνιστάμενον ἐπάναγκες ἦν· οὕτω δὲ τὰ πλεῖστα
*unjust siding necessary was thus and the most*
χρημάτων αὐτοὺς τῶν ἀντιλεγομένων ληΐζεσθαι.
*of-money they of-the disputants to-plunder*

πολλοὺς μὲν οὖν ὅδε ὁ αὐτοκράτωρ ἐν τοῖς αὐτῷ 20
*many indeed then this the autocrat among the to-him*
καταλέγων ἐπιτηδείοις ἐς τὴν ἐξουσίαν ἐνεβίβαζε τοῦ
*enlisting intimates into the license embarked of-the*
βιάζεσθαί τε καὶ εἰς τὴν πολιτείαν ἐξαμαρτάνειν
*to-commit-violence both and against the state to-sin*
ἃ βούλοιντο, ἐπειδὰν δὲ πλούτου τι μέγα χρῆμα
*what they-wished when but of-wealth some great amount*
περιβεβλημένοι φανεῖεν, εὐθύς τι προσκεκρουκότες τῇ
*having-put-on they-appeared at-once something having-offended the*
γυναικὶ διάφοροι ἦσαν.
*wife at-odds they-were*
ὧν δὴ κατ᾽ ἀρχὰς μεταποιεῖσθαι πάσῃ προθυμίᾳ 21
*of-whom indeed at the-beginning to-take-the-side-of with-all eagerness*
οὐδαμῇ ἀπηξίου, ὕστερον δὲ τὴν ἐς τοὺς ἀνθρώπους
*in-no-way he-disdained later but the toward the men*
μεθεὶς εὔνοιαν τὰ ἐς τὴν σπουδὴν τάραχος ἐκ
*having-let-go goodwill the-things concerning the zeal confusion from*
τοῦ αἰφνιδίου ἐγίνετο.
*the sudden arose*
καὶ ἡ μὲν αὐτίκα εἰργάζετο αὐτοὺς ἀνήκεστα ἔργα, ὁ δὲ 22
*and she indeed at-once worked-on them incurable deeds he but*
δῆθεν οὐκ ἐπαισθανόμενος τῶν πραττομένων σύμπασαν
*supposedly not perceiving of-the-things being-done all*
αὐτῶν τὴν οὐσίαν κτήσει ἀναισχύντῳ ἠσπάζετο.
*their the property with-acquisition shameless embraced*
τούτοις τε ἀεὶ τοῖς μηχανήμασιν ἐν σφίσι μὲν αὐτοῖς 23
*by-these and always the devices among them indeed selves*
ξυμφρονοῦντες, ἐς δὲ τὸ ἐμφανὲς στασιάζειν ποιούμενοι,
*being-agreed to but the open to-quarrel making*

διαστήσασθαί τε τοὺς ὑπηκόους καὶ τὴν τυραννίδα
*to-divide both the subjects and the tyranny*
βεβαιότατα κρατύνεσθαι ἔσχον.
*most-firmly to-strengthen they-were-able*

## XI · INNOVATION AND PERSECUTION

*Justinian changes every office, law, and army roll so that everything may bear his name. He pays the Hun chiefs, whose men raid to sell him peace, and pays Chosroes for a peace he breaks himself. He confiscates the treasures of the heretics' sanctuaries, and the Montanists burn themselves in their churches. The Samaritans of the cities take the Christian name to escape the law, but the farmers rise under Julian and a hundred thousand are said to perish. He persecutes the Hellenes, punishes pederasty on the word of a slave or a boy, castrating and parading the accused, and flogs the astrologers for no crime but their learning. Men flee their homes, to the barbarians or to distant Romans, as though their country had been taken by enemies.*

1 Ἐπειδὴ οὖν Ἰουστινιανὸς τὴν βασιλείαν παρέλαβε,
*when then Justinian the empire took-over*
συγχεῖν ἅπαντα εὐθὺς ἴσχυσεν. ἃ γὰρ ἔμπροσθεν νόμῳ
*to-confound all-things at-once he-was-able what for before by-law*
ἀπορρηθέντα ἐτύγχανεν, ἐς τὴν πολιτείαν εἰσῆγε, τά
*forbidden happened into the state he-brought-in the-things*
τε ὄντα καὶ ξυνειθισμένα καθελὼν ξύμπαντα, ὥσπερ
*both existing and customary having-destroyed all as-if*
ἐπὶ τούτῳ κεκομισμένος τὸ τῆς βασιλείας σχῆμα, ἐφ' ᾧ
*for this having-received the of-the empire form on which*
ἅπαντα μεταλλάσσοι ἐφ' ἕτερον σχῆμα.
*all-things he-might-change into another form*
2 ἀρχάς τε γὰρ τὰς μὲν οὔσας ἀνῄρει, τὰς δὲ οὐκ
*offices and for the-ones indeed existing he-abolished the-ones but not*
οὔσας ἐφίστη τοῖς πράγμασι· τούς τε νόμους καὶ τῶν
*existing he-set-over the affairs the both laws and of-the*

στρατιωτῶν τοὺς καταλόγους ταὐτὸ τοῦτο ἐποίει, οὐ τῷ
*soldiers the rolls the-same this he-did not to-the*
δικαίῳ εἴκων οὐδὲ τῷ ξυμφόρῳ ἐς τοῦτο ἠγμένος, ἀλλ'
*just yielding nor by-the advantageous to this led but*
ὅπως δὴ ἅπαντα νεώτερά τε καὶ αὐτοῦ ἐπώνυμα εἴη.
*so-that indeed all-things newer both and his named-after might-be*
ἢν δέ τι καὶ μεταβαλεῖν ἐν τῷ παραυτίκα ἥκιστα
*if but anything also to-change in the moment least*
ἴσχυσεν, ἀλλὰ τούτῳ γε τὴν ἐπωνυμίαν τὴν αὐτοῦ ἔθετο.
*he-was-able but on-this at-least the name the his he-put*
Χρημάτων δὲ ἁρπαγῆς ἢ φόνου ἀνθρώπων κόρος αὐτὸν 3
*of-money but plundering or murder of-men satiety him*
οὐδεὶς ἔλαβε πώποτε, ἀλλ' οἰκίας μὲν παμπληθεῖς
*none took ever but houses indeed very-many*
ληϊσάμενος εὐδαιμόνων ἀνδρῶν ἑτέρας ἐζήτει, προέμενος
*having-plundered of-prosperous men others he-sought having-lavished*
εὐθὺς τῶν βαρβάρων τισίν, ἢ ἀνοήτοις οἰκοδομίαις
*at-once of-the barbarians on-some or on-senseless buildings*
λείας τῆς προτέρας τὰ χρήματα.
*of-the-plunder the former the money*
καὶ μυρίους δὲ ἴσως λόγῳ οὐδενὶ ἀνελὼν ἐς πλειόνων 4
*and ten-thousand too perhaps with-reason no having-killed into of-more*
ἄλλων ἐπιβουλὴν αὐτίκα μάλα καθίστατο.
*others a-plot at-once very he-set*
εἰρήνης τοίνυν Ῥωμαίοις οὔσης ἐς πάντας ἀνθρώπους 5
*of-peace therefore for-Romans being toward all men*
οὐκ ἔχων ὅστις γένηται τῶν φόνων ἐπιθυμίᾳ πάντας
*not having what he-should-do of-the murders by-desire all*
βαρβάρους πρὸς ἀλλήλους ξυνέκρουε, τῶν δὲ Οὔννων
*barbarians against one-another he-set-at-odds of-the and Huns*
τοὺς ἡγουμένους ἐξ αἰτίας οὐδεμιᾶς μετακαλῶν χρήματα
*the leaders from cause no summoning money*

μεγάλα σφίσιν ἀτόπῳ φιλοτιμίᾳ προΐετο, φιλίας ἐνέχυρα
*great to-them with-absurd liberality he-lavished of-friendship pledges*
δῆθεν τῷ λόγῳ ταῦτα ποιούμενος· ὅπερ αὐτὸν ἐρρήθη
*supposedly in-the word these(-things) making which him was-said*
καὶ ὑπὸ τὸν χρόνον τῆς Ἰουστίνου βασιλείας πεποιηκέναι.
*also under the time of-the of-Justin reign to-have-done*

6 οἱ δὲ καὶ χρήματα κεκομισμένοι τῶν ξυναρχόντων τινὰς
*they and also money having-received of-the fellow-rulers some*
ξὺν τοῖς ἑπομένοις τοῖς αὐτῶν ἔπεμπον, καταθέειν ἐξ
*with the followers the their-own sent to-overrun from*
ἐπιδρομῆς γῆν τὴν βασιλέως κελεύοντες, ὅπως καὶ αὐτοὶ
*inroad the-land the of-emperor ordering so-that also they*
τὴν εἰρήνην ἀπεμπολεῖν τῷ ταύτην ὠνεῖσθαι λόγῳ
*the peace to-sell to-the-(one) it to-buy with-reason*
οὐδενὶ βουλομένῳ δυνατοὶ εἶεν.
*no wishing able might-be*

7 καὶ οἱ μὲν αὐτίκα ἠνδραπόδιζόν τε τὴν Ῥωμαίων
*and they indeed at-once enslaved both the of-Romans*
ἀρχὴν καὶ οὐδέν τι ἧσσον ἔμμισθοι πρὸς τοῦ βασιλέως
*empire and nothing any less paid-hirelings by the emperor*
ἐγίνοντο· ἕτεροι δὲ μετ᾽ ἐκείνους εὐθὺς ἐς τὸ ληΐζεσθαι
*became others and after those at-once to the to-plunder*
τοὺς ταλαιπώρους Ῥωμαίους καθίσταντο, καὶ μετὰ τὴν
*the wretched Romans set-themselves and after the*
λείαν ἆθλα τῆς ἐφόδου τὴν βασιλέως φιλοτιμίαν ἐδέχοντο.
*booty prizes of-the inroad the of-emperor liberality received*

8 οὕτω τε ἅπαντες ξυλλήβδην εἰπεῖν οὐδένα ἀνιέντες καιρὸν
*thus and all in-sum to-say no letting-go occasion*
ἐκ περιτροπῆς ἦγόν τε καὶ ἔφερον ἁπαξάπαντα.
*by turns carried both and bore-off all-things-together*

ἀρχόντων γάρ εἰσι τοῖς βαρβάροις τούτοις ξυμμορίαι 9
*of-rulers for there-are among-the barbarians these bands*
πολλαὶ καὶ περιήρχετο πόλεμος τὴν μὲν αἰτίαν ἐκ
*many and went-around war the indeed cause from*
φιλοτιμίας ἀλογίστου λαβών, τὸ δὲ πέρας εὑρέσθαι οὐδαμῆ
*liberality senseless having-taken the and end to-find in-no-way*
ἔχων, ἀλλ' ἐφ' ἑαυτὸν ἀνακυκλούμενος τὸν πάντα αἰῶνα.
*being-able but upon itself revolving the whole age*
διὸ δὴ χῶρος μέν τις ἢ ὄρος ἢ σπήλαιον ἢ ἄλλο 10
*wherefore indeed place indeed any or mountain or cave or other*
τι τῆς Ῥωμαίων γῆς ὑπὸ τὸν χρόνον τοῦτον ἀδῄωτον
*anything of-the of-Romans land under the time this unravaged*
οὐδαμῆ ἔμεινε, χώραις δὲ πολλαῖς πλέον ἢ πεντάκις
*in-no-way remained for-lands and many more than five-times*
ἁλῶναι συνέβη.
*to-be-captured it-happened*
καὶ ταῦτα μέντοι καὶ ὅσα πρὸς Μήδων τε καὶ 11
*and these(-things) however and as-much-as from Medes both and*
Σαρακηνῶν καὶ Σκλαβηνῶν καὶ Ἀντῶν καὶ τῶν ἄλλων
*Saracens and Sclaveni and Antae and the other*
βαρβάρων ξυνηνέχθη γενέσθαι ἐν τοῖς ἔμπροσθέν μοι
*barbarians happened to-come-about in the earlier by-me*
δεδιήγηται λόγοις· ἀλλ' ὅπερ τοῦδε ἀρχόμενος τοῦ λόγου
*have-been-narrated books but what this beginning the account*
ὑπεῖπον, τὴν αἰτίαν τῶν ξυμπεπτωκότων ἐνταῦθά μοι
*I-hinted the cause of-the-things having-befallen here for-me*
ἦν ἀναγκαῖον εἰπεῖν.
*it-was necessary to-tell*
Καὶ Χοσρόῃ μὲν κεντηναρίων πλῆθος ὑπὲρ τῆς εἰρήνης 12
*and to-Chosroes indeed of-centenaria a-multitude for the peace*
προέμενος, αὐτογνωμονήσας δὲ οὐδενὶ λόγῳ αἰτιώτατος
*having-lavished having-acted-on-his-own but with-no reason most-responsible*

τοῦ λελύσθαι τὰς σπονδὰς γέγονεν, Ἀλαμούνδαρόν τε
*of-the to-have-been-broken the treaties became Alamundarus both*
καὶ Οὔννους τοὺς Πέρσαις ἐνσπόνδους σπουδάζων τε
*and Huns those with-the-Persians allied striving both*
καὶ διατεινόμενος ἑταιρίζεσθαι, ὅπερ μοι ἐν λόγοις τοῖς
*and exerting-himself to-make-allies which by-me in books those*
ὑπὲρ αὐτῶν οὐκ ἀπαρακαλύπτως εἰρῆσθαι δοκεῖ.
*about them not without-veil to-have-been-told seems*

13 ἐν ᾧ δὲ τὰ ἐκ τῶν στάσεών τε καὶ πολέμων κακὰ
*in which but the-things from the factions both and wars evils*
Ῥωμαίοις ἀνήγειρε καὶ ἐρρίπιζεν, ἓν τοῦτο βουλευσάμενος,
*for-Romans he-roused and fanned one this having-planned*
αἵματος ἀνθρωπείου τὴν γῆν πολλαῖς μηχαναῖς ἔμπλεων
*with-blood human the earth by-many devices full*
γίνεσθαι καὶ χρήματα ληΐζεσθαι πλείω, φόνον καὶ ἄλλον
*to-become and money to-plunder more murder also other*
τῶν ὑπηκόων ἐπενόει πολὺν τρόπῳ τοιῷδε.
*of-the subjects devised much in-manner such*

14 Χριστιανῶν δόξαι ἀπόβλητοι πολλαί εἰσιν ἐν πάσῃ
*of-Christians opinions rejected many are in all*
τῇ Ῥωμαίων ἀρχῇ, ἅσπερ αἱρέσεις καλεῖν νενομίκασι,
*the of-Romans empire which heresies to-call are-accustomed*
Μοντανῶν τε καὶ Σαββατιανῶν καὶ ὅσαις ἄλλαις
*of-Montanists both and of-Sabbatians and in-as-many-as other*
πλανᾶσθαι αἱ τῶν ἀνθρώπων εἰώθασι γνῶμαι.
*to-wander the of-the men are-accustomed minds*

15 τούτους ἅπαντας δόξαν τὴν παλαιὰν ἐκέλευε μετατίθεσθαι,
*these all opinion the old ordered to-change*
ἄλλα τε ἀπειλήσας ἀπειθοῦσι πολλὰ καὶ τὰς οὐσίας ἐς
*other-things both having-threatened to-the-disobedient many and the properties to*
τοὺς παῖδας ἢ ξυγγενεῖς μηκέτι παραπέμπειν οἷόν τε εἶναι.
*the children or kinsmen no-longer to-transmit able — to-be*

τούτων δὲ τὰ ἱερὰ τῶν αἱρετικῶν καλουμένων, καὶ 16
*of-these and the sanctuaries of-the heretics called and*
διαφερόντως οἷσπερ ἡ τοῦ Ἀρείου ἤσκητο δόξα,
*especially those-in-which the — of-Arius was-practiced doctrine*
πλοῦτόν τινα εἶχεν ἀκοῆς κρείττω.
*wealth some had beyond-report greater*
οὔτε γὰρ ἡ σύγκλητος βουλὴ ξύμπασα οὔτε τις ἄλλη 17
*neither for the assembled council all nor any other*
μείζονα μοῖρα τῆς Ῥωμαίων ἀρχῆς τά γε εἰς τὴν
*greatest part of-the of-Romans empire the-things at-least in the*
οὐσίαν εἰκάζεσθαι τούτοις δὴ τοῖς ἱεροῖς ἔσχε.
*property to-be-compared to-these indeed the sanctuaries could*
κειμήλιά τε γὰρ αὐτοῖς χρυσᾶ τε καὶ ἀργυρᾶ καὶ 18
*treasures and for to-them golden both and silver and*
ξυγκείμενα ἐκ λίθων ἐντίμων ἀμύθητά τε καὶ ἀναρίθμητα
*composed of stones precious untold both and innumerable*
ἦν, οἰκίαι τε καὶ κῶμαι παμπληθεῖς, καὶ χώρα πολλὴ
*were houses both and villages very-many and land much*
πανταχόθι τῆς γῆς, καὶ ὅση ἄλλη πλούτου ἰδέα ἐστί
*everywhere of-the earth and whatever other of-wealth form is*
τε καὶ ὀνομάζεται ἐν πᾶσιν ἀνθρώποις ἅτε οὐδενὸς
*both and is-named among all men as no-one*
αὐτὰ τῶν πώποτε βεβασιλευκότων ὀχλήσαντος.
*them of-those ever having-reigned having-troubled*
πολλοί τε ἄνθρωποι, καὶ ταῦτα δόξης ὄντες ὀρθῆς, τῇ 19
*many and men and that of-belief being right by-the*
τῶν σφετέρων ἐπιτηδευμάτων προφάσει ἐνθένδε ἀεὶ τοῦ
*of-the their-own occupations pretext thence always of-the*
βίου τὰς ἀφορμὰς εἶχον.
*life the means had*

20 τούτων μὲν οὖν τῶν ἱερῶν πρῶτον τὰς οὐσίας
*of-these indeed then the sanctuaries first the properties*
δημοσιώσας Ἰουστινιανὸς βασιλεὺς ἀφείλετο ἐξαπιναίως
*having-confiscated Justinian emperor took-away suddenly*
τὰ χρήματα πάντα. ἐξ οὗ τοῖς πολλοῖς ἀποκεκλεῖσθαι
*the money all from which for-the many to-be-shut-off*
τὸ λοιπὸν τοῦ βίου συνέβη.
*the rest of-the livelihood it-happened*

21 Πολλοὶ δὲ εὐθὺς πανταχόσε περιόντες δόξης τῆς πατρίου
*many and at-once everywhere going-around from-belief the ancestral*
τοὺς παραπίπτοντας ἠνάγκαζον μεταβάλλεσθαι.
*those falling-in-their-way compelled to-change*

22 ἅπερ ἐπεὶ ἀνθρώποις ἀγροίκοις οὐχ ὅσια ἔδοξεν εἶναι,
*which since to-men rustic not holy seemed to-be*
τοῖς ταῦτα ἐπαγγέλλουσιν ἀντιστατεῖν ἅπαντες ἔγνωσαν.
*those these(-things) proclaiming to-oppose all resolved*

23 πολλοὶ μὲν οὖν πρὸς τῶν στρατιωτῶν διεφθείροντο,
*many indeed then by the soldiers were-destroyed*
πολλοὶ δὲ καὶ σφᾶς αὐτοὺς διεχρήσαντο εὐσεβεῖν μάλιστα
*many and also them selves killed to-be-pious most*
ὑπὸ ἀβελτερίας οἰόμενοι, καὶ αὐτῶν ὁ μὲν πλεῖστος
*by stupidity thinking and of-them the indeed greatest*
ὅμιλος γῆς τῆς πατρῴας ἐξιστάμενοι ἔφευγον, Μοντανοὶ
*crowd from-land the ancestral departing fled Montanists*
δέ, οἳ ἐν Φρυγίᾳ κατῴκηντο, σφᾶς αὐτοὺς ἐν ἱεροῖς
*and who in Phrygia were-settled them selves in sanctuaries*
τοῖς σφετέροις καθείρξαντες τούτους τε τοὺς νεὼς αὐτίκα
*the their-own having-shut-up these and the temples at-once*
ἐμπρήσαντες ξυνδιεφθάρησαν οὐδενὶ λόγῳ, πᾶσά τε ἀπ᾽
*having-set-on-fire perished-with-(them) with-no reason all and from*
αὐτοῦ ἡ Ῥωμαίων ἀρχὴ φόνου τε ἦν καὶ φυγῆς ἔμπλεως.
*it the of-Romans empire of-murder both was and of-flight full*

Νόμου δὲ τοῦ τοιούτου καὶ ἀμφὶ τοῖς Σαμαρείταις 24
*law and the such also concerning the Samaritans*
αὐτίκα τεθέντος ταραχὴ ἄκριτος τὴν Παλαιστίνην
*at-once having-been-laid-down turmoil confused — Palestine*
κατέλαβεν.
*seized*
ὅσοι μὲν οὖν ἔν τε Καισαρείᾳ τῇ ἐμῇ κἀν ταῖς ἄλλαις 25
*as-many-as indeed then in both Caesarea the my and-in the other*
πόλεσιν ᾤκουν, παρὰ φαῦλον ἡγησάμενοι κακοπάθειάν
*cities dwelt as trivial having-considered distress*
τινα ὑπὲρ ἀνοήτου φέρεσθαι δόγματος, ὄνομα Χριστιανῶν
*some for a-senseless to-bear doctrine name of-Christians*
τοῦ σφίσι παρόντος ἀνταλλαξάμενοι τῷ προσχήματι
*for-the to-them present having-exchanged by-the pretext*
τούτῳ τὸν ἐκ τοῦ νόμου ἀποσείσασθαι κίνδυνον ἴσχυσαν.
*this the from the law to-shake-off danger they-were-able*
καὶ αὐτῶν ὅσοις μέν τι λογισμοῦ καὶ ἐπιεικείας 26
*and of-them as-many-as indeed some of-reason and of-decency*
μετῆν, πιστοὶ εἶναι τὰ ἐς δόξαν τήνδε οὐδαμῇ
*there-was-share-in faithful to-be the-things concerning belief this in-no-way*
ἀπηξίουν, οἱ μέντοι πλεῖστοι ὥσπερ ἀγανακτοῦντες, ὅτι
*disdained the however most as-if being-indignant that*
δὴ οὐχ ἑκούσιοι, ἀλλὰ τῷ νόμῳ ἠναγκασμένοι δόγμα
*indeed not willing but by-the law compelled doctrine*
τὸ πάτριον μετεβάλοντο, αὐτίκα δὴ μάλα ἐπί τε
*the ancestral they-changed at-once indeed very to both*
Μανιχαίους καὶ τοὺς καλουμένους Πολυθέους ἀπέκλιναν.
*Manichaeans and those called Polytheists inclined*

27 οἱ δὲ γεωργοὶ ξύμπαντες ἀθρόοι γεγενημένοι ὅπλα
*the and farmers all in-a-body having-become arms*
ἀνταίρειν βασιλεῖ ἔγνωσαν, βασιλέα σφίσι τῶν τινα
*to-raise-against the-emperor resolved emperor for-themselves of-the one*
ληστῶν προβεβλημένοι, Ἰουλιανὸν ὄνομα, Σαβάρου υἱόν.
*of-bandits having-put-forward Julian by-name of-Sabarus son*
28 καὶ χρόνον μέν τινα τοῖς στρατιώταις ἐς χεῖρας ἐλθόντες
*and time indeed some with-the soldiers to hands having-come*
ἀντεῖχον, ἔπειτα δὲ ἡττηθέντες τῇ μάχῃ διεφθάρησαν
*held-out then and having-been-defeated in-the battle were-destroyed*
ξὺν τῷ ἡγεμόνι.
*with the leader*
29 καὶ λέγονται μυριάδες ἀνθρώπων δέκα ἐν τῷ πόνῳ
*and are-said tens-of-thousands of-men ten in the struggle*
τούτῳ ἀπολωλέναι, καὶ χώρα ἡ πάσης γῆς ἀγαθὴ
*this to-have-perished and a-land the of-all earth good*
μάλιστα ἔρημος γεωργῶν ἀπ᾽ αὐτοῦ γέγονε.
*most bare of-farmers from it became*
30 τοῖς τε τῶν χωρίων κυρίοις Χριστιανοῖς οὖσι τὸ πρᾶγμα
*to-the and of-the lands owners Christians being the matter*
τοῦτο ἐς μέγα κακὸν ἐτελεύτησεν. ἀναγκαῖον γὰρ γέγονε
*this to great evil ended necessary for became*
σφίσιν οὐδὲν ἐνθένδε μετακομιζομένοις φόρον τὸν ἐπέτειον
*for-them nothing thence receiving tax the annual*
ἀδρόν τινα ὄντα ἐς τὸν ἅπαντα αἰῶνα βασιλεῖ φέρειν,
*heavy some being into the whole age to-the-emperor to-pay*
ἐπεὶ οὐδεμιᾷ φειδοῖ ἡ τοῦ ἔργου τούτου ἐντροπὴ γέγονεν.
*since with-no sparing the of-the matter this attention has-been*
31 Ἐντεῦθεν ἐπὶ τοὺς Ἕλληνας καλουμένους τὴν δίωξιν ἦγεν
*thence against the Hellenes called the persecution he-led*
αἰκιζόμενός τε τὰ σώματα καὶ τὰ χρήματα ληϊζόμενος.
*torturing both the bodies and the money plundering*

ἀλλὰ καὶ αὐτῶν ὅσοι τοῦ Χριστιανῶν ὀνόματος δῆθεν 32
*but also of-them as-many-as of-the of-Christians name supposedly*
μεταλαχεῖν ἔγνωσαν τῷ λόγῳ τὰ παρόντα σφίσιν
*to-partake resolved in-the word the present-things for-themselves*
ἐκκρούοντες, οὗτοι δὴ οὐ πολλῷ ὕστερον ἐπὶ ταῖς
*driving-off these indeed not much later at the*
σπονδαῖς καὶ θυσίαις καὶ ἄλλοις οὐχ ὁσίοις ἔργοις ἑκ
*libations and sacrifices and other not holy deeds from*
τοῦ ἐπὶ πλεῖστον ἡλίσκοντο.
*the for most were-caught*
τὰ γὰρ ἀμφὶ τοῖς Χριστιανοῖς εἰργασμένα ἐν τοῖς 33
*the-things for about the Christians done in the*
ὄπισθέν μοι λόγοις λελέξεται.
*later by-me books will-be-told*
Μετὰ δὲ καὶ τὸ παιδεραστεῖν νόμῳ ἀπεῖργεν, οὐ τὰ 34
*afterward and also the to-practice-pederasty by-law be-forbade not the-things*
μετὰ τὸν νόμον διερευνώμενος, ἀλλὰ τοὺς πάλαι ποτὲ
*after the law searching-out but those of-old once*
ταύτῃ δὴ τῇ νόσῳ ἁλόντας.
*by-this indeed the disease caught*
ἐγίνετό τε ἡ ἐς αὐτοὺς ἐπιστροφὴ οὐδενὶ κόσμῳ, ἐπεὶ 35
*became and the toward them attention with-no order since*
καὶ κατηγόρου χωρὶς ἐπράσσετο ἡ ἐς αὐτοὺς τίσις,
*even of-an-accuser without was-exacted the toward them punishment*
ἑνός τε ἀνδρὸς ἢ παιδὸς λόγος, καὶ τούτου δούλου,
*of-one and man or boy word and this-one slave*
ἂν οὕτω τύχοι, καὶ ἀκουσίου μαρτυρεῖν ἐπὶ τὸν
*— so it-might-happen and unwilling to-testify against the*
κεκτημένον ἀναγκασθέντος, ἔδοξεν εἶναι ἀκριβὴς ἔλεγχος.
*master compelled seemed to-be precise proof*

36 τούς τε οὕτως ἁλισκομένους τὰ αἰδοῖα περιῃρημένους
*those and thus being-caught the privates having-been-cut-off*
ἐπόμπευον. οὐκ ἐς πάντας μέντοι κατ' ἀρχὰς τὸ
*they-paraded not to all however at the-beginning the*
κακὸν ἤγετο, ἀλλ' ὅσοι ἢ Πράσινοι εἶναι ἢ μεγάλα
*evil was-carried but as-many-as either Greens to-be or great*
περιβεβλῆσθαι χρήματα ἔδοξαν ἢ ἄλλο τι τοῖς
*to-have-put-on money seemed or other anything to-the*
τυραννοῦσι προσκεκρουκότες ἐτύγχανον.
*tyrants having-offended happened*

37 Καὶ μὴν καὶ τοῖς μετεωρολόγοις χαλεπῶς εἶχον. διὸ
*and indeed also with-the astrologers harshly they-dealt wherefore*
δὴ αὐτοὺς ἡ ἐπὶ τοῖς κλέπταις τεταγμένη ἀρχὴ ᾐκίζετό
*indeed them the over the thieves appointed authority tortured*
τε ἀπ' οὐδεμιᾶς ἄλλης αἰτίας καὶ ξαίνουσα κατὰ τοῦ νώτου
*both from no other cause and flaying down the back*
πολλὰς ἐπὶ καμήλων φερομένους ἐπόμπευεν ἀνὰ πᾶσαν
*many(-blows) on camels being-carried paraded through all*
τὴν πόλιν γέροντάς τε καὶ ἄλλως ἐπιεικεῖς ὄντας, ἄλλο
*the city old-men both and otherwise decent being other*
αὐτοῖς ἐπικαλεῖν οὐδὲν ἔχουσα, πλήν γε δὴ ὅτι σοφοὶ
*against-them to-charge nothing having except at-least indeed that wise*
τὰ περὶ τοὺς ἀστέρας ἐν τοιούτῳ χώρῳ ἐβούλοντο εἶναι.
*the-things about the stars in such place they-wished to-be*

38 ἔφευγον τοίνυν ἀνθρώπων διηνεκὲς πολὺς ὅμιλος οὐκ ἐς
*fled therefore of-men continually great crowd not to*
βαρβάρους μόνον, ἀλλὰ καὶ ἐς τοὺς μακρὰν ᾠκισμένους
*barbarians only but also to the far dwelling*
Ῥωμαίους, ἦν τε ἰδεῖν ἐν χώρᾳ τε ἀεὶ καὶ πόλει
*Romans it-was and to-see in land both always and city*
ἑκάστῃ τοὺς πλείστους ξένους.
*secrets to-be-with*

13 παρὰ δὲ τὴν βασιλίδα οὐδὲ τῶν ἀρχόντων τινὶ ὅτι μὴ
*to but the empress not-even of-the magistrates to-any except —*
χρόνῳ τε καὶ πόνῳ πολλῷ εἰσιτητὰ ἦν, ἀλλὰ προσήδρευον
*with-time both and with-toil much accessible was but they-attended*
μὲν ἐς ἀεὶ ἅπαντες ἀνδραποδώδη τινὰ προσεδρείαν ἐν
*indeed for ever all servile some attendance in*
δωματίῳ στενῷ τε καὶ πνιγηρῷ τὸν ἅπαντα χρόνον. κίνδυνος
*room narrow both and stifling the whole time danger*
γὰρ ἀπολελεῖφθαι τῶν ἀρχόντων τινὶ ἀνύποιστος ἦν.
*for to-have-been-left-out of-the magistrates for-any unbearable was*

14 ἵσταντο δὲ διηνεκὲς ἐπ᾽ ἄκρων δακτύλων, αὐτὸς
*they-stood and continually on tips of-toes self*
καθυπέρτερον ἕκαστος τῶν πέλας διατεινόμενος τὸ
*higher each of-those near stretching the*
πρόσωπον ἔχειν, ὅπως αὐτὸν ἔνδοθεν ἐξιόντες εὐνοῦχοι
*face to-have so-that him from-within coming-out eunuchs*
ὁρῷεν.
*might-see*

15 ἐκαλοῦντο δὲ αὐτῶν τινες μόλις τε καὶ ἡμέραις πολλαῖς
*were-called and of-them some scarcely both and days many*
ὕστερον, ἐσιόντες δὲ παρ᾽ αὐτὴν ξὺν δέει πολλῷ ὅτι
*later going-in and to her with fear much as*

τάχιστα ἀπηλλάσσοντο, προσκυνήσαντες μόνον καὶ ταρσοῦ
*soonest they-departed having-prostrated only and instep*
ἑκατέρου ποδὸς ἄκρῳ χείλει ἁψάμενοι.
*of-each foot with-tip lip having-touched*
φθέγγεσθαι γὰρ ἢ αἰτεῖσθαί τι μὴ ἐκείνης ἐγκελευομένης 16
*to-speak for or to-ask anything not she ordering*
οὐδεμία παρρησία ἐγίνετο. ἐς δουλοπρέπειαν γὰρ ἡ
*no freedom there-was into servility for the*
πολιτεία ἦλθε, δουλοδιδάσκαλον αὐτὴν ἔχουσα.
*state came slave-teacher it having*
οὕτω τε Ῥωμαίοις τὰ πράγματα διεφθείρετο τοῦ μὲν 17
*thus and for-Romans the affairs were-ruined of-the indeed*
τυράννου τῷ ἄγαν εὐήθει δοκοῦντι εἶναι, Θεοδώρας δὲ
*tyrant by-the too simple seeming to-be of-Theodora but*
τῷ χαλεπῷ καὶ λίαν δυσκόλῳ.
*by-the harsh and very difficult*
ἐν μὲν γὰρ τῷ εὐήθει τὸ ἀβέβαιον ἦν, ἐν δὲ τῷ δυσκόλῳ 18
*in indeed for the simple the unstable was in but the difficult*
τὸ ἄπρακτον.
*the unworkable*
Ἐν τοῖς μὲν οὖν τῆς τε γνώμης αὐτοῖς καὶ τῆς διαίτης τὸ 19
*in the indeed then of-the both mind to-them and of-the way-of-life the*
διαλλάσσον ἐφαίνετο, κοινὰ δὲ ἦν αὐτοῖς ἥ τε φιλοχρηματία
*difference appeared common but were to-them the both love-of-money*
καὶ ἡ τῶν φόνων ἐπιθυμία καὶ τὸ μηδενὶ ἀληθίζεσθαι.
*and the of-the murders desire and the to-no-one to-speak-truth*
ἄμφω γὰρ ἐπιτηδείως ἐς τὰ μάλιστα ψεύδεσθαι εἶχον, 20
*both for aptly to the most to-lie were-disposed*
καὶ ἢν μέν τις τῶν Θεοδώρᾳ προσκεκρουκότων
*and if indeed any of-those to-Theodora having-offended*
ἁμαρτάνειν λέγοιτό τι βραχύ τε καὶ λόγου οὐδαμῇ
*to-err should-be-said anything slight both and of-account in-no-way*

ἄξιον, αἰτίας εὐθὺς ἀναπλάσσουσα τῷ ἀνθρώπῳ οὐδὲν
*worthy charges at-once fabricating to-the man nothing*
προσηκούσας, ἐς μέγα τι κακοῦ τὸ πρᾶγμα ᾖρεν.
*belonging to great some of-evil the matter she-raised*
21 ἐγκλημάτων τε ἠκούετο πλῆθος καὶ καταλύσεως πέρι τῶν
*of-charges both was-heard a-multitude and dissolution about of-the*
καθεστώτων δικαστήριον ἦν, καὶ δικασταὶ ξυνελέγοντο
*established-order a-court there-was and judges were-assembled*
πρὸς αὐτῆς ἀγειρόμενοι, οἳ δὴ ἔμελλον διαμαχέσασθαι
*by her being-gathered who indeed were-about to-contend*
πρὸς ἀλλήλους, ὅστις ἂν αὐτῶν μᾶλλον τῶν ἄλλων
*with each-other which-ever — of-them rather than-the others*
ἀρέσκειν τῇ ἐς τὴν γνῶσιν ἀπανθρωπίᾳ τῇ βασιλίδι τὸ
*to-satisfy in-the for the verdict inhumanity the empress the*
βούλημα ἱκανὸς γένοιτο.
*wish able might-be*
22 οὕτω τε τοῦ παραπεπτωκότος τὴν μὲν οὐσίαν αὐτίκα
*thus and of-the having-fallen the indeed property at-once*
ἐς τὸ δημόσιον ἀνάγραπτον ἐποίει, πικρότατα δὲ αὐτὸν
*to the treasury registered she-made most-bitterly but him*
αἰκισαμένη, καίπερ ἴσως εὐπατρίδην τὸ ἀνέκαθεν ὄντα,
*having-maltreated although perhaps nobly-born the from-of-old being*
ἢ φυγῇ ζημιοῦν ἢ θανάτῳ οὐδαμῇ ἀπηξίου.
*either with-exile to-punish or with-death in-no-way she-disdained*
23 ἦν δέ γε τῶν αὐτῇ ἐσπουδασμένων τινὶ ἐπὶ φόνοις ἀδίκοις
*if but at-least of-those by-her favored anyone on murders unjust*
ἢ ἑτέρῳ τῳ τῶν μεγίστων ἀδικημάτων ἁλῶναι ξυμβαίνῃ,
*or other some of-the greatest wrongs to-be-convicted should-happen*
διασύρουσα καὶ χλευάζουσα τὴν τῶν κατηγόρων ὁρμὴν
*disparaging and mocking the of-the accusers eagerness*
σιωπᾶν τὰ προσπεσόντα οὔτι ἐθελουσίους ἠνάγκαζεν.
*to-keep-silent the-things having-befallen not-at-all willing she-compelled*

Ἀλλὰ καὶ τῶν πραγμάτων τὰ σπουδαιότατα εἰς 24
*but also of-the affairs the most-serious to*
γελωτοποιίαν μεταβάλλειν, ὅταν αὐτῇ δοκῇ, ὥσπερ ἐν
*buffoonery to-change whenever to-her it-seems as on*
σκηνῇ καὶ θεάτρῳ ἔργον πεποίηται.
*stage and theater work she-has-made*
καί ποτε τις τῶν πατρικίων γέρων τε καὶ χρόνον πολὺν 25
*and once a-certain of-the patricians old both and time much*
ἐν ἀρχῇ γεγονώς, οὗπερ ἐγὼ τὸ ὄνομα ἐξεπιστάμενος
*in office having-been whose-very I the name knowing-well*
ὡς ἥκιστα ἐπιμνήσομαι, ὡς μὴ ἀπέραντον τὴν ἐς
*as least will-mention so-that not endless the toward*
αὐτὸν ὕβριν ποιήσωμαι, τῶν αὐτῇ ὑπηρετούντων τινὰ
*him outrage I-may-make of-those her serving someone*
ὀφείλοντά οἱ χρήματα μεγάλα εἰσπράξασθαι οὐχ οἷός τε
*owing to-him money great to-exact not able —*
ὢν ἐσῆλθε παρ᾽ αὐτήν, τόν τε συμβαλόντα αἰτιασόμενος
*being went-in to her the both having-contracted going-to-accuse*
καὶ δεηθησόμενος αὐτῷ βοηθῆσαι τὰ δίκαια.
*and going-to-ask him to-help the just-things*
ὅπερ ἡ Θεοδώρα προμαθοῦσα τοῖς εὐνούχοις 26
*which-very-thing — Theodora having-learned-beforehand to-the eunuchs*
ἐπέστελλεν, ἐπειδὰν ὁ πατρίκιος πρὸς αὐτὴν ἵκοιτο,
*enjoined when the patrician to her should-come*
κυκλώσασθαι μὲν αὐτὸν ἅπαντας, ἐπακούειν δὲ αὐτῇ
*to-encircle indeed him all to-respond and to-her*
φθεγγομένῃ, ὑπειποῦσα ὅ τι αὐτοὺς ἀντιφθέγγεσθαι δεῖ.
*speaking having-told-beforehand what — them to-answer must*
ἐπεὶ δὲ ὁ πατρίκιος ἐς τὴν γυναικωνῖτιν ἦλθε, 27
*when and the patrician into the women's-quarters came*
προσεκύνησε μὲν ὥσπερ αὐτὴν προσκυνεῖν εἴθιστο,
*he-prostrated indeed as her to-prostrate-before was-customary*

δεδακρυμένῳ δὲ ἐοικὼς “ὦ δέσποινα”, ἔφη, “χαλεπὸν
*to-one-in-tears and resembling O mistress said hard*
πατρικίῳ ἀνδρὶ χρημάτων δεῖσθαι.
*for-patrician man of-money to-be-in-need*

28 ἃ γὰρ τοῖς ἄλλοις συγγνώμην τε καὶ ἔλεον φέρει, ταῦτα
*what for to-the others pardon both and pity brings these(-things)*
ἐς ὕβριν τῷδε ξυμβαίνει τῷ ἀξιώματι ἀποκεκρίσθαι.
*to outrage to-this happens to-the rank to-be-assigned*

29 ἄλλῳ μὲν γὰρ ὁτῳοῦν ἀπορουμένῳ τὰ ἔσχατα
*to-other indeed for to-anyone-whatever being-at-a-loss the uttermost*
πάρεστιν αὐτὸ τοῦτο εἰπόντι τοῖς χρήσταις ὄχλου τοῦ
*it-is-possible this very having-said to-the creditors of-trouble the*
ἐνθένδε εὐθὺς ἀπηλλάχθαι, πατρίκιος δὲ ἀνὴρ οὐκ ἔχων
*thence at-once to-be-freed patrician but man not having*
ὅθεν ἂν ἐκτῖσαι τοῖς χρήσταις τὰ ὀφλήματα ἱκανὸς
*whence — to-pay to-the creditors the debts able*
εἴη μάλιστα μὲν τοῦτο ἂν εἰπεῖν αἰσχυνθείη, εἰπὼν
*he-might-be most indeed this — to-say would-be-ashamed having-said*
δὲ οὐκ ἄν ποτε πείσαι ὡς οὐχ οἷόν τε ὂν τῷδε
*and not — ever would-persuade that not possible — being for-this*
πενίαν τῷ τάγματι ξυνοικίζεσθαι.
*poverty to-the order to-dwell-with*

30 ἢν δέ γε καὶ πείσῃ, τὰ πάντων αὐτῷ αἴσχιστά
*if but at-least also he-persuade the-things of-all to-him most-shameful*
τε καὶ ἀνιαρότατα πεπονθέναι ξυμβήσεται.
*both and most-painful to-have-suffered will-happen*

31 οὐκοῦν, ὦ δέσποινα, εἰσί μοι χρῆσται, οἱ μὲν
*therefore O mistress there-are to-me creditors the-ones indeed*
δανείσαντες τὰ σφέτερα αὐτῶν, οἱ δὲ παρ’ ἐμοῦ
*having-lent the their-own own the-others but from me*
δεδανεισμένοι.
*having-borrowed*

καὶ τοὺς μὲν δανείσαντας ἐνδελεχέστατα ἐγκειμένους οὐχ 32
*and the indeed having-lent most-continually pressing not*
οἷός τέ εἰμι αἰδοῖ τοῦ ἀξιώματος ἀποκρούσασθαι, οἱ
*able — I-am from-respect of-the rank to-repulse those*
δέ γε ὀφείλοντες, οὐ γὰρ πατρίκιοι τυγχάνουσιν ὄντες,
*and at-least owing not for patricians happen being*
εἰς σκήψεις τινὰς ἀπανθρώπους χωροῦσιν.
*to excuses some inhuman they-go*
ἀντιβολῶ τοίνυν καὶ ἱκετεύω καὶ δέομαι βοηθῆσαί τέ μοι 33
*I-entreat therefore and I-supplicate and I-beg to-help both me*
τὰ δίκαια καὶ τῶν παρόντων ἀπαλλάξαι κακῶν."
*the just-things and from-the present to-deliver evils*
ὁ μὲν ταῦτα εἶπεν. ἡ δὲ γυνὴ ἀπεκρίνατο ἐμμελῶς, 34
*the-one indeed these(-things) said the but woman answered in-tune*
"πατρίκιε ὁ δεῖνα", καὶ ὁ τῶν εὐνούχων χορὸς ὑπολαβὼν
*patrician the so-and-so and the of-the eunuchs chorus taking-up*
ἀντεφθέγξατο, "μεγάλην κήλην ἔχεις".
*responded a-great hernia you-have*
αὖθις δὲ τοῦ ἀνθρώπου ἱκετεύσαντός τε καὶ ῥῆσίν τινα 35
*again and the man having-supplicated both and speech some*
ἐμφερῆ τοῖς ἔμπροσθεν εἰρημένοις εἰπόντος κατὰ ταὐτὰ
*like to-the-things before said having-spoken in-the same-way*
πάλιν ἥ τε γυνὴ ἀπεκρίνατο καὶ ὁ χορὸς ἀντεφθέγξατο,
*again the both woman answered and the chorus responded*
ἕως ἂν ἀπειπὼν ὁ ταλαίπωρος προσεκύνησέ τε ἥπερ
*until — having-given-up the wretched prostrated both as-indeed*
εἰώθει καὶ ἀπιὼν οἴκαδε ᾤχετο.
*was-customary and departing homeward went-off*
ἐν προαστείοις δὲ τοῖς ἐπιθαλαττίοις τὸ πλεῖστον τοῦ 36
*in suburbs and the seaside the most of-the*
ἔτους καὶ οὐχ ἥκιστα ἐν τῷ ἐπικαλουμένῳ Ἡρίῳ διατριβὴν
*year and not least in the called Herion residence*

εἶχε, καὶ ἀπ᾽ αὐτοῦ τῶν ἑπομένων ὁ πολὺς ὅμιλος
*she-had and from it of-those following the great crowd*
κακοπαθείᾳ πολλῇ εἴχετο.
*with-hardship much was-held*

37 τῶν τε ἀναγκαίων γὰρ ἐσπάνιζον καὶ θαλαττίοις ὠμίλουν
*of-the both necessities for they-lacked and with-seaborne consorted*
κινδύνοις, ἄλλως τε καὶ χειμῶνος, ἂν οὕτω τύχῃ,
*dangers especially — also storm if so might-happen*
ἐπιπεσόντος, ἢ τοῦ κήτους ἐνταῦθά ποι ἐπισκήψαντος.
*having-fallen-on or the sea-monster there somewhere having-swooped*

38 ἀλλ᾽ αὐτοὶ τὰ πάντων ἀνθρώπων κακὰ οὐδὲν πρᾶγμα
*but they-themselves the of-all men evils no matter*
ᾤοντο εἶναι, ὅσον ἤν γε μόνον αὐτοῖς τρυφᾶν
*thought to-be as-long-as if at-least only to-them to-live-luxuriously*
ἐξείη.
*should-be-permitted*

39 ὁποῖος δὲ ὁ Θεοδώρας πρὸς τοὺς προσκεκρουκότας
*of-what-kind and the of-Theodora toward those having-offended*
ἐφαίνετο τρόπος, αὐτίκα δηλώσω, ὀλίγων δηλονότι
*appeared character at-once I-will-show a-few evidently*
ἐπιμνησθείς, ὡς μὴ ἀτελεύτητα πονεῖν δόξαιμι.
*having-mentioned so-that not endlessly to-toil I-might-seem*

*Fearing the beauty and spirit of the Gothic queen Amalasuntha, Theodora sends Peter to Italy, and he persuades Theodahad to kill her, gaining the office of Master. She ships the secretary Priscus away in midwinter and has him made a priest, while Justinian seizes his money. Her steward Areobindus, whom she is said to love, is tortured and never seen again. Her victims vanish to the ends of the Empire, and her spies report everything said in the market and the houses. She has the young Green Basianus dragged from sanctuary, castrated, and put to death without trial, and his property confiscated. She charges Diogenes with pederasty, but even under torture his intimate Theodore will not lie, and the city celebrates his acquittal.*

Ἡνίκα Ἀμαλασοῦνθα τῆς ἐν Γότθοις ἀπαλλαξείουσα 1
*when Amalasuntha of-the among Goths desiring-to-be-rid-of*
διατριβῆς μεταμπίσχεσθαί τε τὸν βίον ἔγνω, καὶ τὴν
*residence to-change both the life resolved and the*
ἐπὶ τὸ Βυζάντιον διενοεῖτο πορεύεσθαι, ὥσπερ μοι ἐν
*to — Byzantium intended to-journey as by-me in*
τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, λογισαμένη ἡ Θεοδώρα
*the earlier books was-said having-reckoned — Theodora*
ὡς εὐπατρίδης τε ἡ γυνὴ καὶ βασιλὶς εἴη, καὶ ἰδεῖν
*that nobly-born both the woman and a-queen was and to-see*
μὲν εὐπρεπὴς ἄγαν, ἐπινοεῖν δὲ ὅ τι ἂν βούλοιτο
*indeed comely very to-devise and what — — she-might-wish*
γοργὸς μάλιστα, ὕποπτον δὲ αὐτῆς ποιησαμένη τό τε
*energetic most suspect and of-her having-made the both*
μεγαλοπρεπὲς καὶ διαφερόντως ἀρρενωπόν, ἅμα δὲ
*magnificence and exceptionally masculine at-the-same-time and*
καὶ τὸ τοῦ ἀνδρὸς ἐλαφρὸν δείσασα, οὐκ ἐπὶ μικροῖς
*also the of-the husband fickleness having-feared not on small-things*

τὴν ζηλοτυπίαν ἐξήνεγκεν, ἀλλ᾽ ἐνεδρεύειν τὴν γυναῖκα
*the jealousy displayed but to-lie-in-wait-for the woman*
μέχρις ἐς θάνατον ἐν βουλῇ ἔσχεν.
*as-far as death in counsel she-had*

2 αὐτίκα τοίνυν ἀναπείθει τὸν ἄνδρα, Πέτρον μόνον αὐτὸν
*at-once therefore persuades the husband Peter alone him*
ἅτε πρεσβεύσοντα ἐς Ἰταλίαν πέμψαι.
*as going-to-be-envoy to Italy to-send*

3 ᾧ δὴ στελλομένῳ βασιλεὺς μὲν ἐπέστελλεν ἅπερ
*to-whom indeed being-sent emperor indeed enjoined which*
μοι ἐν τοῖς ἐγκαίροις δεδιήγηται λόγοις, ἵνα δή μοι
*by-me in the appropriate have-been-narrated books where indeed for-me*
τῶν πεπραγμένων ἐκπύστους ποιεῖσθαι τὰς ἀληθείας
*of-the-things done known to-make the truths*
δέει τῆς βασιλίδος ἀδύνατα ἦν.
*from-fear of-the empress impossible was*

4 αὐτὴ δὲ τοῦτο ἐπήγγελλε μόνον, ὅτι τάχιστα τὴν γυναῖκα
*she-herself but this enjoined only as soonest the woman*
ἐξ ἀνθρώπων ἀφανιεῖν, ἐπ᾽ ἐλπίδος ὀχεῖσθαι μεγάλων
*from men he-should-remove on hope to-ride of-great*
ἀγαθῶν, ἢν τὰ ἐπηγγελμένα ποιοίη, καταστησαμένη
*goods if the-things enjoined he-should-do having-set*
τὸν ἄνθρωπον.
*the man*

5 καὶ ὃς ἐν Ἰταλίᾳ γενόμενος (οὐ γὰρ οἶδεν ἀνθρώπου
*and he in Italy having-come not for knows of-man*
φύσις ὀκνηρῶς ἐς ἄδικον φόνον ἰέναι, ἀρχῆς τινος ἴσως
*nature hesitantly to unjust murder to-go of-office some perhaps*
ἢ χρημάτων ἐν ἐλπίδι κειμένων μεγάλων) οὐκ οἶδα
*or of-money in hope lying great not I-know*
ἥντινα Θευδάτῳ παραίνεσιν ποιησάμενος διαχρήσασθαι
*what to-Theodahad exhortation having-made to-make-away-with*

τὴν Ἀμαλασοῦνθαν ἀνέπεισε. καὶ ἀπ᾽ αὐτοῦ ἔς τε τὸ τοῦ
— *Amalasuntha persuaded and from it to both the of-the*
μαγίστρου ἀξίωμα ἦλθε καὶ ἐπὶ πλεῖστον δυνάμεώς τε
*master dignity came and to most of-power both*
καὶ μάλιστα πάντων ἔχθους.
*and most of-all of-hatred*
Τὰ μὲν οὖν κατὰ τὴν Ἀμαλασοῦνθαν ἐς τοῦτο 6
*the-things indeed then concerning — Amalasuntha to this*
ἐτελεύτα.
*ended*
ἦν δέ τις Ἰουστινιανῷ ἐπιστολογράφος, Πρίσκος 7
*there-was and a-certain for-Justinian secretary Priscus*
ὀνόματι, ἄγαν πονηρὸς μὲν καὶ Παφλαγὼν καὶ πρέπων
*by-name very wicked indeed and Paphlagonian and fitting*
τῷ προστάτῃ τὸν τρόπον ἀρέσκειν, λίαν δὲ πρὸς αὐτὸν
*to-the patron the character to-please very and toward him*
εὐνοϊκῶς ἔχων καὶ πρὸς αὐτοῦ τυγχάνειν τῶν ὁμοίων
*favorably disposed and from him to-obtain the like-things*
οἰόμενος· διὸ δὴ καὶ χρημάτων μεγάλων κύριος οὐκ
*thinking wherefore indeed also of-money great master not*
ἐν δίκῃ τάχιστα γέγονε.
*in justice very-quickly became*
τοῦτον δὴ ἅτε ὀφρυάζοντά τε καί οἱ ἀντιτείνειν 8
*this-one indeed as being-haughty both and to-her to-resist*
πειρώμενον ἡ Θεοδώρα ἐς τὸν ἄνδρα διέβαλε.
*trying — Theodora to the husband slandered*
καὶ τὰ μὲν πρῶτα οὐδὲν ἤνυσεν, οὐ πολλῷ δὲ 9
*and the indeed first-things nothing she-accomplished not much but*
ὕστερον αὐτὴ μὲν τὸν ἄνθρωπον χειμῶνος μέσου εἰς
*later she-herself indeed the man of-winter mid into*

ναῦν ἐμβιβάσασα ὅπῃ ἐβούλετο ἔπεμψε καὶ ἀποθρίξασα
*ship having-embarked where she-wished sent and having-shorn*
ἱερέα οὔτι ἑκούσιον ἠνάγκασεν εἶναι.
*priest not-at-all willing compelled to-be*
10 αὐτὸς δὲ δόκησιν παρεχόμενος ὅτι δὴ τῶν
*he-himself and appearance presenting that indeed of-the-things*
ποιουμένων οὐδὲν εἰδείη Πρίσκον μὲν οὐ διηρευνᾶτο
*being-done nothing he-knew Priscus indeed not searched-out*
ὅπῃ γῆς εἴη οὐδὲ ἐν μνήμῃ τὸ λοιπὸν εἶχεν,
*where of-earth he-might-be nor in memory for-the rest had*
ἀλλὰ σιωπῇ ὥσπερ ληθάργῳ ἁλοὺς καθῆστο, τὰ μέντοι
*but in-silence as-if by-lethargy seized sat the however*
χρήματα ὀλίγων οἱ ἀπολελειμμένων ἐληΐσατο πάντα.
*money few to-him having-been-left he-plundered all*
11 ὑποψίας δὲ συμπεσούσης αὐτῇ ἐρωτολήπτῳ εἶναι εἰς
*suspicion and having-arisen against-her lovestruck to-be for*
τῶν οἰκετῶν ἕνα, Ἀρεόβινδον ὄνομα, βάρβαρον μὲν
*of-the servants one Areobindus by-name barbarian indeed*
γένος, εὐπρεπῆ δὲ καὶ νεανίαν, ὅνπερ ταμίαν αὐτὴ
*by-race comely but and a-youth whom-very steward she-herself*
καταστησαμένη ἐτύγχανεν, ἀπολύσασθαι βουλομένη τὸ
*having-appointed happened to-clear-herself-of wishing the*
ἔγκλημα, καίπερ, ὥς φασι, τοῦ ἀνθρώπου δαιμονίως
*charge although as they-say the man demonically*
ἐρῶσα, ἐν μὲν τῷ παρόντι πικρότατα αὐτὸν ἀπ᾽ οὐδεμιᾶς
*loving in indeed the present most-bitterly him from no*
αἰτίας αἰκίζεσθαι ἔγνω, τὸ δὲ λοιπὸν οὐδέν τι ἀμφ᾽
*cause to-maltreat she-resolved for-the but rest nothing — about*
αὐτῷ ἔγνωμεν, οὐδέ τις αὐτὸν ἄχρι νῦν εἶδεν.
*him we-knew nor anyone him until now saw*

ἦν γάρ τι τῶν πρασσομένων ἀποκρύπτεσθαι αὐτῇ 12
*if for anything of-the-things being-done to-be-concealed to-her*
βουλομένῃ εἴη, τοῦτο δὴ ἄρρητόν τε καὶ ἀμνημόνευτον
*wishing should-be this indeed unspoken both and unmentioned*
ἅπασιν ἔμεινε, καὶ οὔτε τῷ ἐπισταμένῳ ἀγγεῖλαι τῶν
*by-all remained and neither to-the knowing to-report of-the*
τινι ἀναγκαίων ἔτι ἐξῆν οὔτε τῷ μανθάνειν
*to-some-one close-kin still was-permitted nor to-the to-learn*
βουλομένῳ πυνθάνεσθαι, κἂν πάνυ τις περίεργος ἦν.
*wishing to-inquire even-if very anyone curious was*
τοιοῦτο γὰρ δέος ἐξ οὗ γεγόνασιν ἄνθρωποι ἐκ 13
*such for fear from which have-been men from*
τυράννων οὐδενὸς γέγονεν, ἐπεὶ οὐδὲ λαθεῖν τινα τῶν
*tyrants of-none has-been since not-even to-escape-notice anyone of-those*
προσκεκρουκότων οἷόν τε ἦν.
*having-offended possible — was*
πλῆθος γὰρ κατασκόπων αὐτῇ τὰ λεγόμενα καὶ 14
*a-multitude for of-spies to-her the-things said and*
πρασσόμενα ἔν τε τῇ ἀγορᾷ καὶ ταῖς οἰκίαις ἐσήγγελλον.
*done in both the market and the houses reported*
ἡνίκα τοίνυν τοῦ παραπεπτωκότος τὴν κόλασιν ἐκφέρεσθαι 15
*when therefore of-the having-fallen-foul the punishment to-be-made-public*
οὐδαμῇ ἤθελεν, ἐποίει τάδε.
*in-no-way she-wished she-did these(-things)*
τὸν ἄνθρωπον μετακαλεσαμένη, ἤν τις τῶν λογίμων 16
*the man having-summoned if some-one of-the notables*
ἐτύγχανεν ὤν, μόνη τε αὐτὴ τῶν ὑπουργούντων τινὶ
*he-happened being alone and she-herself of-those serving to-someone*
παραδοῦσα μόνῳ ἐπήγγελλεν εἰς τὰς ἐσχατιὰς αὐτὸν
*having-handed-over alone enjoined to the extremities him*
μετακομίσαι τῆς Ῥωμαίων ἀρχῆς.
*to-convey of-the of-Romans empire*

17 καὶ ὃς ἀωρὶ τῶν νυκτῶν κατακεκαλυμμένον
*and he at-an-untimely-hour of-the nights veiled*
αὐτὸν καὶ δεθέντα εἰς τὴν ναῦν ἐμβιβάσας καὶ σὺν
*him and bound into the ship having-embarked and with*
αὐτῷ γεγονώς, οὗ οἱ πρὸς τῆς γυναικὸς ἐπετέτακτο,
*him having-come where to-him by the woman it-had-been-ordered*
ἐνταῦθα παρεδίδου λαθραιότερον τῷ ἐς ταύτην τὴν
*there he-handed-over more-secretly to-the for this the*
ὑπουργίαν ἱκανῶς ἔχοντι, φυλάσσειν τε ὡς ἀσφαλέστατα
*service fitly being to-guard both as most-securely*
ἐπιστείλας τὸν ἄνθρωπον καὶ ἀπειπὼν μηδενὶ φράζειν,
*having-enjoined the man and having-forbidden to-no-one to-tell*
ἕως ἂν ἢ τὸν ταλαίπωρον ἡ βασιλὶς οἰκτίζηται ἢ
*until — either the wretched the empress should-pity or*
χρόνον πολὺν τῇ ἐνταῦθα κακοπαθείᾳ δυσθανατήσας τε
*time long in-the there hardship having-died-hard both*
καὶ καταμαρανθεὶς τελευτήσειεν, ἀπηλλάσσετο.
*and having-wasted-away he-should-die he-departed*

18 Καὶ Βασιανὸν δέ τινα Πράσινον, οὐκ ἀφανῆ νέον
*and Basianus too a-certain Green not obscure young*
ὄντα, αὐτῇ διαλοιδορησάμενον δι᾽ ὀργῆς ἔσχε. διὸ δὴ
*being her having-reviled in anger she-had wherefore indeed*
ὁ Βασιανὸς (οὐ γὰρ ἀνήκοος ταύτης δὴ τῆς ὀργῆς
*— Basianus not for unaware of-this indeed the anger*
ἐγεγόνει) ἐς τοῦ ἀρχαγγέλου τὸν νεὼν φεύγει.
*had-been to of-the archangel the church flees*

19 ἡ δέ οἱ ἐπέστησεν αὐτίκα τὴν τῷ δήμῳ ἐφεστῶσαν
*she and on-him set at-once the over-the people set*
ἀρχήν, οὐδὲν μὲν τῆς λοιδορίας ἐπικαλεῖν ἐπαγγείλασα,
*office nothing indeed of-the reviling to-charge having-enjoined*
ὅτι δὲ παιδεραστοίη ἐπενεγκοῦσα.
*that but he-practiced-pederasty having-alleged*

καὶ ἡ μὲν ἀρχὴ ἐκ τοῦ ἱεροῦ τὸν ἄνθρωπον ἀναστήσασα 20
*and the indeed office from the sanctuary the man having-raised*
ἠκίζετο ἀνυποίστῳ τινὶ κολάσει, ὁ δὲ δῆμος ἅπας ἐπεὶ
*maltreated with-unbearable some punishment the but people all when*
ἐν τοιαύταις συμφοραῖς εἶδε σῶμα ἐλευθέριόν τε καὶ
*in such calamities they-saw a-body freeborn both and*
ἀνειμένῃ ἄνωθεν διαίτῃ ἐντραφέν, ἀπήλγησάν τε τὸ
*in-unrestrained from-above way-of-life raised felt-pain both the*
πάθος εὐθὺς καὶ ξὺν οἰμωγῇ ἀνέκραγον οὐράνιον ὅσον
*suffering at-once and with wailing cried-out to-heaven as-much-as*
ἐξαιτούμενοι τὸν νεανίαν.
*begging-off the youth*
ἡ δὲ αὐτὸν ἔτι μᾶλλον κολάσασα καὶ τὸ αἰδοῖον 21
*she but him still more having-punished and the privates*
ἀποτεμομένη διέφθειρεν ἀνεξελέγκτως, καὶ τὴν οὐσίαν ἐς
*having-cut-off destroyed without-trial and the property to*
τὸ δημόσιον ἀνεγράψατο.
*the treasury registered*
οὕτως ἡνίκα ὀργῴη τὸ γύναιον τοῦτο, οὔτε ἱερὸν 22
*thus when should-be-angry the woman this neither sanctuary*
ὀχυρὸν ἐγεγόνει οὔτε νόμου του ἀπαγόρευσις οὔτε πόλεως
*secure had-been nor of-law any prohibition nor of-city*
ἀντιβόλησις ἐξελέσθαι τὸν παραπεπτωκότα ἱκανὴ ἐφαίνετο
*entreaty to-rescue the having-fallen-foul sufficient appeared*
οὖσα, οὔτε ἄλλο αὐτῇ ἀπήντα τῶν πάντων οὐδέν.
*being nor other to-her stood-in-the-way of-the all anything*
καὶ Διογένην δέ τινα οἷα Πράσινον ὄντα δι' ὀργῆς ἔχουσα, 23
*and Diogenes too a-certain as Green being in anger having*
ἄνδρα ἀστεῖον καὶ ποθεινὸν ἅπασί τε καὶ αὐτῷ τῷ βασιλεῖ,
*a-man urbane and beloved by-all both and by-himself the emperor*
οὐδέν τι ἧσσον γάμων ἀνδρείων συκοφαντεῖν ἐν σπουδῇ εἶχε.
*nothing — less of-marriages male to-falsely-accuse in earnestness had*

24 δύο γοῦν ἀναπείσασα τῶν αὐτοῦ οἰκετῶν κατηγόρους
*two at-any-rate having-persuaded of-the his servants accusers*
τε καὶ μάρτυρας τῷ κεκτημένῳ ἐπέστησε.
*both and witnesses against-the owner she-set-up*
25 τοῦ δὲ οὐ κρύβδην ἐξεταζομένου καὶ λαθραιότατα, ᾗπερ
*he but not secretly being-examined and most-covertly as-indeed*
εἰώθει, ἀλλ᾽ ἐν δημοσίῳ, δικαστῶν ᾑρημένων πολλῶν
*was-customary but in public judges having-been-chosen many*
τε καὶ οὐκ ἀδόξων, διὰ τὴν Διογένους δόξαν, ἐπεὶ
*both and not undistinguished because-of the of-Diogenes repute when*
οὐκ ἐδόκουν ἀκριβολογουμένοις τοῖς δικασταῖς οἱ τῶν
*not seemed being-exact to-the judges the of-the*
οἰκετῶν λόγοι ἀξιόχρεῳ ἐς τὴν κρίσιν εἶναι, ἄλλως τε
*servants words credible for the judgment to-be especially —*
καὶ παιδαρίων ὄντων, Θεόδωρον τῶν Διογένει ἀναγκαίων
*also little-boys being Theodore of-the to-Diogenes close*
τινὰ ἐν τοῖς εἰωθόσιν οἰκιδίοις καθεῖρξεν.
*some-one in the customary chambers she-shut-up*
26 ἐνταῦθα πολλαῖς μὲν θωπείαις, πολλοῖς δὲ τὸν ἄνθρωπον
*there many indeed with-flatteries many but the man*
αἰκισμοῖς περιῆλθεν. ἐπεί τέ οἱ οὐδὲν προὐχώρει, νευρὰν
*with-tortures she-went-around when and for-her nothing succeeded a-string*
βοείαν ἐς τοῦ ἀνθρώπου τὴν κεφαλὴν ἀμφὶ τὰ ὦτα
*of-ox-hide round of-the man the head about the ears*
περιελίξαντας τὴν νευρὰν στρέφειν τε καὶ σφίγγειν ἐκέλευε.
*having-wound-(it) the string to-twist both and to-tighten she-ordered*
27 καὶ τοὺς μέν οἱ ὀφθαλμοὺς Θεόδωρος ἐκπεπηδηκέναι τὴν
*and the indeed his eyes Theodore to-have-leaped-out the*
οἰκείαν λιπόντας χώραν ὑπώπτευεν, οὐδὲν μέντοι τῶν
*own having-left place suspected nothing however of-the-things*
οὐ γεγονότων ἀναπλάσσειν ἔγνω.
*not having-happened to-fabricate he-resolved*

διὸ δὴ οἱ μὲν δικασταὶ ἅτε ἀμαρτυρήτου δίκης 28
*wherefore indeed the indeed judges as unwitnessed case*
Διογένους ἀπέγνωσαν, ἡ δὲ πόλις ἑορτὴν ἀπ᾽ αὐτοῦ
*Diogenes acquitted the but city a-festival from it*
πανδημεὶ ἦγεν.
*all-the-people held*

## XVII · THEODORA'S TYRANNY AND HER SON

*Theodora impales Callinicus, the governor of Second Cilicia, on the tomb of two Blues he had executed. She shuts five hundred prostitutes in a convent called Repentance, and some throw themselves from its walls. She forces two widowed sisters of consular family to marry common men. When John, her son by a lover, comes to Byzantium, she has him vanish. Under her, wives accuse their husbands, adulteresses go free, and husbands are flogged and pay double dowries. She makes and unmakes marriages at will, as when she marries Saturninus to Chrysomallo's daughter and has him flogged for complaining. She pursues John the Cappadocian with false witnesses for years, and when of two Cyzicene youths one lays the murder on John and the other will not, she cuts off the right hands of both.*

Ἀλλὰ τοῦτο μὲν τῇδε ἐχώρησεν. ἐρρήθη δὲ ἀρχομένῳ 1
*but this indeed thus went it-was-said and beginning*
μοι τοῦδε τοῦ λόγου καὶ ὅσα Βελισάριόν τε καὶ
*by-me this the account also how-much Belisarius both and*
Φώτιον καὶ Βούζην αὐτῇ ἐργασθείη.
*Photius and Bouzes by-her was-done*
στασιῶται δὲ Βένετοι δύο Κίλικες γένος Καλλινίκῳ τῷ 2
*partisans and Blues two Cilicians by-race on-Callinicus the*
Κιλικίας Δευτέρας ἄρχοντι σὺν θορύβῳ πολλῷ ἐπιστάντες
*of-Cilicia Second governor with uproar much having-set-upon*
χειρῶν ἀδίκων ἐπ᾽ αὐτὸν ἦρξαν, τόν τε αὐτοῦ ἱπποκόμον
*of-hands unjust on him began the both his groom*

ἄγχιστά που ἑστῶτα καὶ ἀμύνειν τῷ κεκτημένῳ
*very-near somewhere standing and to-defend the master*
πειρώμενον ἔκτειναν, τοῦ τε ἄρχοντος καὶ τοῦ δήμου
*trying they-killed the both governor and the people*
θεωμένου παντός.
*watching all*

3 καὶ ὁ μὲν τοὺς στασιώτας ἄλλων τε πολλῶν καὶ
*and the-one indeed the partisans of-others both many and*
τοῦδε ἁλόντας τοῦ φόνου ἐν δίκῃ ἀνεῖλεν, ἡ δὲ μαθοῦσα
*of-this convicted of-the murder in justice executed she but having-learned*
καὶ ὅτι τοὺς Βενέτους προσποιεῖται ἐνδεικνυμένη, ἔτι
*also that the Blues she-favors showing still*
αὐτὸν τὴν ἀρχὴν ἔχοντα ἐν τῷ τῶν φονέων τάφῳ
*him the office holding on the of-the murderers tomb*
ἀνεσκολόπισεν οὐδενὶ λόγῳ.
*impaled with-no reason*

4 βασιλεὺς δὲ κλάειν τε καὶ ὀδύρεσθαι τὸν ἀπολωλότα
*emperor and to-weep both and to-lament the having-perished*
σκηπτόμενος καθῆστο γρυλλίζων, πολλά τε τοῖς ἐς τὴν
*pretending sat grunting many-things and to-those in the*
πρᾶξιν ὑπουργηκόσιν ἀνατεινάμενος οὐδὲν ἔδρασε, τὰ μέντοι
*deed having-served having-threatened nothing did the however*
χρήματα τοῦ τετελευτηκότος λῃΐζεσθαι ὡς ἥκιστα ἀπηξίωσεν.
*money of-the having-died to-plunder as least he-disdained*

5 Ἀλλὰ καὶ ὑπὲρ ἁμαρτάδων τῶν ἐς τὸ σῶμα κολάσεις
*but also for sins of-the against the body punishments*
τῇ Θεοδώρᾳ ἐπινοεῖν ἐπιμελὲς ἦν. πόρνας ἀμέλει πλέον
*— for-Theodora to-devise a-care was prostitutes of-course more*
ἢ πεντακοσίας ἀγείρασα ἐν ἀγορᾷ μέσῃ ἐς τριώβολον,
*than five-hundred having-gathered in market mid for three-obols*
ὅσον ἀποζῆν μισθαρνούσας, ἔς τε τὴν ἀντιπέρας
*as-much-as to-live-on hiring-out-themselves to and the opposite*

ἤπειρον στείλασα ἐν τῷ καλουμένῳ Μετανοίᾳ μοναστηρίῳ
*mainland having-sent in the called Repentance monastery*
καθεῖρξε τὸν βίον μεταμφιέσασθαι ἀναγκάζουσα.
*she-shut-up the life to-change compelling*
ὧν δή τινες ἐρρίπτουν αὑτὰς ἀφ' ὑψηλοῦ νύκτωρ, 6
*of-whom indeed some threw themselves from high-place by-night*
ταύτῃ τε τῆς ἀκουσίου μεταβολῆς ἀπηλλάσσοντο.
*thus and of-the unwilling change were-freed*
Δύο δὲ κόραι ἐν Βυζαντίῳ ἀδελφαὶ ἦτην, οὐκ ἐκ πατρός 7
*two and girls in Byzantium sisters were not from father*
τε καὶ τριγονίας ὑπάτων μόνον, ἀλλ' ἀνέκαθεν αἵματος
*both and great-grandfather of-consuls only but from-of-old of-blood*
τοῦ πρώτου ἔν γε τῇ συγκλήτῳ βουλῇ γεγονυῖαι.
*the first in at-least the assembled council having-been-born*
ταύταις ἤδη ἐς γάμον ἐλθούσαις ἀπολωλότων τῶν ἀνδρῶν 8
*to-these already to marriage having-come having-perished the husbands*
χήραις γεγονέναι ξυνέπεσεν. αὐτίκα δὲ ἄνδρας ἡ Θεοδώρα
*widows to-have-become it-befell at-once and husbands — Theodora*
δύο ἀγελαίους τε καὶ βδελυροὺς ἀπολέξασα συνοικίζειν
*two common both and loathsome having-chosen to-marry-to*
αὐταῖς ἐν σπουδῇ εἶχεν, ἐπικαλοῦσα μὴ σωφρόνως βιοῦν.
*them in earnestness had charging not chastely to-live*
ὅπερ ἵνα μὴ γένηται δείσασαι, ἐς τὸ τῆς Σοφίας 9
*which-very-thing so-that not it-might-happen fearing to the of-the Wisdom*
ἱερὸν φεύγουσιν, ἔς τε τὸν θεῖον λουτρῶνα ἐλθοῦσαι τῆς
*sanctuary they-flee into and the divine baptistery having-come of-the*
ἐνταῦθα κολυμβήθρας ἀπρὶξ εἴχοντο.
*there font tightly they-held*
ἀλλὰ τοσαύτην αὐταῖς ἀνάγκην τε καὶ κακοπάθειαν 10
*but so-great on-them constraint both and hardship*
προσετρίψατο ἡ βασίλισσα ὥστε αὐταῖς ἀπαλλαξειούσαις
*inflicted the empress that for-them desiring-to-be-rid*

τῶν ἐνθένδε κακῶν τὸν γάμον αὐτῶν ἀνταλλάξασθαι ἐν
*of-the thence evils the marriage their to-take-in-exchange in*
σπουδῇ γέγονεν. οὕτως αὐτῇ ἄχραντος οὐδεὶς ἢ ἄσυλος
*earnestness became thus by-her undefiled no or inviolable*
μεμένηκε χῶρος.
*has-remained place*

11 αὗται μὲν οὖν ἀνδράσι πτωχοῖς τε καὶ ἀπερριμμένοις
*these indeed then to-men beggarly both and cast-off*
πολλῷ ἀπὸ τῆς σφετέρας ἀξίας ἀκούσιαι ξυνῳκίσθησαν,
*by-much from the their-own rank unwilling were-married*
καίπερ εὐπατριδῶν σφίσι παρόντων μνηστήρων.
*although nobly-born to-them present suitors*

12 ἡ δὲ μήτηρ αὐταῖς χήρα καὶ αὐτὴ γεγονυῖα οὔτε
*the and mother to-them widow also herself having-become neither*
ἀνοιμῶξαι οὔτε ἀποκλαῦσαι τολμῶσα τὸ πάθος παρῆν
*to-wail nor to-bewail daring the suffering was-present*
τῇ ἐγγύῃ.
*at-the betrothal*

13 ὕστερον δὲ ἀφοσιουμένη ἡ Θεοδώρα τὸ μίασμα, δημοσίαις
*later and expiating — Theodora the pollution with-public*
αὐτὰς παρηγορῆσαι ξυμφοραῖς ἔγνω.
*them to-console calamities resolved*

14 ἄρχοντα γὰρ ἑκάτερον κατεστήσατο. καὶ ταῖς μὲν κόραις
*magistrate for each she-appointed and to-the indeed girls*
παραψυχὴ οὐδ' ὡς γέγονε, πάθη δὲ ἀνήκεστα καὶ
*consolation not-even so became sufferings but incurable and*
ἀνύποιστα τοῖς ὑπηκόοις σχεδόν τι ἅπασι πρὸς τῶν
*unbearable for-the subjects almost — all from the*
ἀνδρῶν τούτων ξυνηνέχθη παθεῖν, ἅπερ μοι ἐν τοῖς
*men these befell to-suffer which by-me in the*
ὄπισθεν λόγοις λελέξεται.
*later books will-be-told*

Θεοδώρᾳ γὰρ οὔτε ἀρχῆς οὔτε πολιτείας ἀξίωσις οὔτε τι 15
*for-Theodora for neither of-office nor of-state dignity nor any*
ἄλλο ἐπιμελὲς ἦν, εἰ τὸ βούλημα περανεῖται μόνον.
*other a-care was if the wish will-be-accomplished only*
Ἐτύγχανε δὲ ὑπό του κυήσασα τῶν ἐραστῶν, ἡνίκα ἔτι 16
*it-happened and by some-one having-conceived of-the lovers when still*
ἐπὶ σκηνῆς ἦν, τοῦ δὲ κακοῦ ὀψὲ τοῦ καιροῦ αἰσθομένη
*on stage she-was of-the but evil late of-the time having-perceived*
πάντα μὲν ἐς τὸ ἀμβλύσκειν, ὥσπερ εἰώθει, ἐποίει,
*all-things indeed toward the to-miscarry as was-customary she-did*
ἄωρον δὲ ἀποκτιννύναι τὸ βρέφος οὐδεμιᾷ μηχανῇ εἶχεν,
*untimely but to-kill the babe by-no device could*
ἐπεὶ οὐ πολλῷ ἀπελέλειπτο τοῦ ἀνθρωποειδὲς γεγονέναι.
*since not much it-fell-short of-the human-shaped to-have-become*
διὸ δὴ ἐπεὶ οὐδὲν προὐχώρει, τῆς πείρας ἀφεμένη 17
*wherefore indeed when nothing succeeded of-the attempt having-given-up*
τίκτειν ἠνάγκαστο. ὁρῶν δὲ αὐτὴν ὁ τοῦ τεχθέντος πατὴρ
*to-bear she-was-compelled seeing and her the of-the born father*
ἀπορουμένην τε καὶ ἀσχάλλουσαν, ὅτι μήτηρ γενομένη
*at-a-loss both and distressed that mother having-become*
τῷ σώματι ὁμοίως ἐργάζεσθαι οὐκέτι ἂν δυνατὴ εἴη,
*with-the body likewise to-work no-longer — able she-would-be*
ἐπεὶ καὶ ἀληθῶς δὴ ὑπῄσθετο ὡς διαχρήσεται τὸ
*since also truly indeed he-perceived that she-will-make-away-with the*
παιδίον, ἀνείλετό τε καὶ Ἰωάννην ἐπονομάσας, ἐπεὶ ἄρσεν
*child took-up both and John having-named since male*
ἦν, ἐς τὴν Ἀραβίαν ἐς ἥνπερ ὥρμητο ἀπιὼν ᾤχετο.
*it-was to — Arabia to which he-had-set-out departing went*

18 ἐπεὶ δὲ αὐτὸς μὲν τελευτᾶν ἔμελλεν, Ἰωάννης δὲ ἤδη
*when and he-himself indeed to-die was-about John and already*
μειράκιον ἦν, τὸν πάντα λόγον αὐτῷ ἀμφὶ τῇ μητρὶ ὁ
*a-lad was the whole account to-him about the mother the*
πατὴρ ἔφρασε.
*father told*

19 καὶ ὃς ἅπαντα ἐπὶ τῷ πατρὶ ἐξ ἀνθρώπων ἀφανισθέντι
*and he all-things for the father from men having-vanished*
τὰ νόμιμα ποιήσας, χρόνῳ τινὶ ὕστερον ἐς Βυζάντιον
*the customary-rites having-done at-time some later to Byzantium*
ἦλθε καὶ τοῖς παρὰ τὴν μητέρα τὰς εἰσόδους ἀεὶ
*came and to-those to the mother the entrances always*
ποιουμένοις τὸ πρᾶγμα ἀγγέλλει.
*making the matter reports*

20 οἱ δὲ οὐδὲν ἀπὸ τοῦ ἀνθρωπείου τρόπου αὐτὴν λογιεῖσθαι
*they and nothing from the human manner her to-reckon*
ὑποτοπήσαντες ἐπαγγέλλουσι τῇ μητρὶ ὅτι δὴ αὐτῆς
*having-supposed announce to-the mother that indeed her*
Ἰωάννης ὁ υἱὸς ἥκοι.
*John the son was-come*

21 δείσασα δὲ ἡ γυνὴ μὴ ἐς τὸν ἄνδρα ἔκπυστος ὁ λόγος
*having-feared and the woman lest to the husband known the account*
γένηται, τὸν παῖδά οἱ ἐς ὄψιν ἐκέλευεν ἥκειν.
*should-become the boy to-her into sight ordered to-come*

22 ἐπεί τε εἶδε παραγενόμενον, τῶν οἰκείων τινὶ ἐνεχείρισεν,
*when and she-saw having-arrived of-the household to-someone she-entrusted*
ᾧπερ ἀεὶ τὰ τοιαῦτα ἐπέχειν εἰώθει.
*to-whom-indeed always the such-things to-attend-to she-was-accustomed*

καὶ τρόπῳ μὲν ὅτῳ ὁ ταλαίπωρος ἐξ ἀνθρώπων 23
*and in-manner indeed which the wretched from men*
ἠφάνισται οὐκ ἔχω εἰπεῖν, οὐδεὶς δὲ αὐτὸν ἄχρι δεῦρο
*has-vanished not I-have to-tell no-one but him until here*
ἰδεῖν οὐδὲ ἀπογενομένης τῆς βασιλίδος ἔσχε.
*to-see not-even having-died the empress could*
Τότε καὶ ταῖς γυναιξὶ σχεδόν τι ἁπάσαις τὸν τρόπον 24
*then also for-the women almost — all the character*
διεφθάρθαι ξυνέβη. ἐξήμαρτον γὰρ ἐς τοὺς ἄνδρας
*to-have-been-corrupted it-befell they-sinned for against the husbands*
ἐξουσίᾳ τῇ πάσῃ, οὐ φέροντος αὐταῖς κίνδυνόν τινα ἢ
*with-license the all not bringing to-them danger any or*
βλάβην τοῦ ἔργου, ἐπεὶ καὶ ὅσαι μοιχείας ἁλοῖεν,
*harm the deed since also as-many-as of-adultery were-convicted*
αὗται κακῶν ἀπαθεῖς ἔμενον, παρὰ δὲ τὴν βασιλίδα αὐτίκα
*these of-evils unharmed remained to but the empress at-once*
ἰοῦσαι ἀντίστροφοί τε γενόμεναι καὶ δίκην οὐ γεγονότων
*going turned-accusers both having-become and suit not having-happened*
ἐγκλημάτων ἀντιλαχοῦσαι τοὺς ἄνδρας ὑπῆγον.
*of-charges having-obtained-in-turn the husbands they-brought-to-trial*
περιῆν τε αὐτοῖς ἀνεξελέγκτοις οὖσι τὴν μὲν προῖκα ἐν 25
*resulted both for-them unconvicted being the indeed dowry in*
διπλασίῳ ἀποτιννύναι, μεμαστιγωμένοις δὲ ἐκ τοῦ ἐπὶ
*double to-repay having-been-whipped and from the for*
πλεῖστον ἐς τὸ δεσμωτήριον ἀπαχθῆναι, καὶ αὖ πάλιν
*most to the prison to-be-led-away and again back*
τὰς μοιχευτρίας ἐπιδεῖν κεκομψευμένας τε καὶ πρὸς τῶν
*the adulteresses to-look-upon dressed-up both and by the*
μοιχῶν ἀδεέστερον λαγνευομένας. τῶν δὲ μοιχῶν πολλοὶ
*adulterers more-fearlessly lusted-after of-the and adulterers many*
ἀπ᾽ αὐτοῦ τοῦ ἔργου καὶ τιμῆς ἔτυχον.
*from very the deed also honor obtained*

26 διόπερ οἱ πλεῖστοι τὸ λοιπὸν πάσχοντες πρὸς τῶν
*wherefore the most for-the rest suffering from the*
γυναικῶν ἀνόσια ἔργα ἀσμενέστατα ἀμαστίγωτοι σιωπῇ
*wives unholy deeds most-gladly unwhipped in-silence*
ἔμενον, τὴν παρρησίαν αὐταῖς τῷ μὴ πεφωρᾶσθαι δοκεῖν
*remained the license to-them by-the not to-have-been-detected to-seem*
ἐνδιδόντες.
*giving*

27 Αὕτη ἅπαντα πρυτανεύειν αὐτογνωμονοῦσα τὰ ἐν τῇ
*she all-things to-preside-over by-her-own-judgment the-things in the*
πολιτείᾳ ἠξίου. τάς τε γὰρ ἀρχὰς καὶ ἱερωσύνας ἐχειροτόνει,
*state deemed-fit the both for offices and priesthoods she-appointed*
ἐκεῖνο μόνον διερευνωμένη καὶ φυλασσομένη ἐνδελεχέστατα,
*that only searching-out and guarding-against most-continually*
μὴ καλὸς ἢ ἀγαθός τις ὁ τὸ ἀξίωμα μετιὼν εἴη, καὶ οὐχ
*lest noble or good anyone the the dignity seeking might-be and not*
οἷός τέ οἱ ἐσόμενος ἐς τὰ ἐπαγγελλόμενα ὑπουργήσειν.
*able — to-her going-to-be to the-things enjoined to-serve*

28 καὶ τοὺς γάμους ἅπαντας τῇ θείᾳ ἐξουσίᾳ τινὶ διῳκεῖτο,
*and the marriages all with-the divine authority some she-managed*
τοῦ τε γαμεῖν πρότερον οὐδεμίαν ἄνθρωποι ἐγγύην
*of-the and to-marry before no men betrothal*
ἑκουσίαν πεποίηνται.
*voluntary have-made*

29 γυνὴ γὰρ ἑκάστῳ ἐξαπιναίως ἐγίνετο, οὐχ ὅτι δὴ
*a-wife for for-each suddenly came-about not because indeed*
αὐτὸν ἤρεσκεν, ὅπερ κἂν τοῖς βαρβάροις εἰώθει,
*him pleased which even-among the barbarians was-customary*
ἀλλ᾽ ὅτι βουλομένῃ τῇ Θεοδώρᾳ εἴη.
*but because wishing — to-Theodora it-was*

ὅπερ αὖ καὶ ταῖς γαμουμέναις ἀνάπαλιν ξυνέβαινε 30
*which-very-thing again also to-those being-married conversely befell*
πάσχειν. ἀνδράσι γὰρ ξυνιέναι οὐδαμῇ ἐθελούσιαι
*to-suffer to-men for to-come-together in-no-way willing*
ἠναγκάζοντο.
*they-were-compelled*
πολλάκις δὲ καὶ τὴν νύμφην ἐκ τῆς παστάδος ἀποβιβάσασα 31
*often and also the bride from the bridal-chamber having-removed*
λόγῳ οὐδενὶ ἀνυμέναιον τὸν νυμφίον ἀφῆκε, τοῦτο
*by-reason no without-wedding-song the bridegroom she-dismissed this*
μόνον ξὺν ἀκροχολίᾳ εἰποῦσα, ὅτι δὴ αὐτὴν ἀπαρέσκοι.
*only with irritability having-said that indeed her he-displeased*
ὅπερ ἄλλους τε πολλοὺς ἔδρασε καὶ Λέοντα, 32
*which-very-thing others both many she-did and Leo*
ὅσπερ ῥεφερενδάριος ἦν τὴν τιμήν, καὶ Σατορνῖνον,
*who-indeed referendarius was the office and Saturninus*
τὸν Ἑρμογένους τοῦ μαγίστρου γεγονότος. τούτῳ γὰρ
*the of-Hermogenes the master having-been to-this for*
τῷ Σατορνίνῳ ἦν τις ἀνεψιαδῆ παρθένος μνηστή,
*— Saturninus there-was a-certain cousin's-daughter virgin betrothed*
ἐλευθέριος καὶ κοσμία, ἥνπερ οἱ Κύριλλος ὁ πατὴρ
*freeborn and modest whom-indeed to-him Cyril the father*
κατηγγύησεν Ἑρμογένους τοῦ βίου ἤδη ἀπολυθέντος.
*pledged of-Hermogenes the life already having-been-released*
πεπηγυίας τε αὐτοῖς τῆς παστάδος τὸν νυμφίον καθεῖρξεν, 33
*having-been-fixed both for-them the bridal-chamber the bridegroom she-shut-up*
ἔς τε τὴν ἑτέραν παστάδα ἤχθη, ἔγημέ τε κωκύων
*into both the other bridal-chamber he-was-led married both shrieking*
καὶ οἰμώζων ὅσον τὴν Χρυσομαλλοῦς παῖδα.
*and wailing as-much the of-Chrysomallo daughter*

34 Χρυσομαλλὼ δὲ αὕτη πάλαι μὲν ὀρχηστρὶς ἐγεγόνει καὶ
*Chrysomallo and this long-ago indeed dancer had-been and*
αὖθις ἑταίρα, τότε δὲ ξὺν ἑτέρᾳ Χρυσομαλλοῖ καὶ Ἰνδαροῖ
*again courtesan then but with another Chrysomallo and Indaro*
ἐν Παλατίῳ τὴν δίαιταν εἶχεν.
*in the-Palace the life had*

35 ἀντὶ γὰρ τοῦ φαλλοῦ καὶ τῆς ἐν θεάτρῳ διατριβῆς τῇδε
*instead for of-the phallus and of-the in theater occupation thus*
διῳκοῦντο τὰ πράγματα.
*were-managed the affairs*

36 ξυγκαταδαρθὼν δὲ ὁ Σατορνῖνος τῇ νύμφῃ καὶ
*having-slept-with and — Saturninus the bride and*
διαπεπαρθενευμένην εὑρὼν ἔς τινα τῶν ἐπιτηδείων
*deflowered having-found to some-one of-the intimates*
ἐξήνεγκεν ὅτι δὴ οὐκ ἄτρητον γήμαι.
*carried-out that indeed not unbored he-married*

37 ὅπερ ἐπεὶ ἐς Θεοδώραν ἦλθε, τοὺς ὑπηρέτας ἐκέλευεν
*which-very-thing when to Theodora came the servants she-ordered*
ἅτε ἀποσεμνυνόμενόν τε καὶ ὀγκωθέντα οὐδὲν αὐτῷ
*as putting-on-airs both and puffed-up nothing to-him*
προσῆκον, μετέωρον αἴρειν, οἷα τὰ ἐς γραμματιστοῦ
*fitting aloft to-lift as the-ones to grammarian's*
φοιτῶντα παιδία, ξαίνουσά τε κατὰ τῶν νώτων πολλὰς
*going children flogging and on the back many(-blows)*
ἀπεῖπεν αὐτῷ μὴ φλυάρῳ εἶναι.
*she-forbade him not babbling to-be*

38 Οἷα μέντοι καὶ Ἰωάννην τὸν Καππαδόκην εἰργάσατο ἐν
*what-sort however also John the Cappadocian she-did in*
τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη. ἅπερ αὐτῇ διαπέπρακται τῷ
*the earlier books was-said which by-her have-been-done to-the*
ἀνθρώπῳ χαλεπαινούσῃ, οὐχ ὑπὲρ ὧν ἐς τὴν πολιτείαν
*man being-angry not for what against the state*

ἡμάρτανε (τεκμήριον δέ· τῶν γὰρ ὕστερον δεινότερα
*he-sinned proof and of-those for later more-terrible-things*
ἐς τοὺς ὑπηκόους ἐργασαμένων οὐδένα τοῦτο πεποίηται),
*to the subjects having-done no-one this she-has-done*
ἀλλ᾽ ὅτι τά τε ἄλλα τῇ γυναικὶ καταντικρὺ ἐτόλμα
*but because the-things both other to-the woman directly-against he-dared*
ἰέναι καὶ αὐτὴν ἐς τὸν βασιλέα διέβαλλεν, ὥστε αὐτῇ
*to-go and her to the emperor he-slandered so-that for-her*
καὶ τὸν ἄνδρα ἐκπεπολεμῶσθαι παρ᾽ ὀλίγον ἐλθεῖν.
*also the husband to-have-been-made-an-enemy by little to-come*
τῶν γὰρ αἰτιῶν, ὅπερ ὑπεῖπον, ἐνταῦθά μοι μάλιστα τὰς 39
*of-the for causes as I-hinted here for-me most the*
ἀληθεστάτας ἀναγκαῖον εἰπεῖν.
*truest necessary to-tell*
ἡνίκα τε αὐτὸν ἐπ᾽ Αἰγύπτου καθεῖρξε πεπονθότα ὅσα 40
*when and him in Egypt she-shut-up having-suffered how-much*
μοι ἀμφ᾽ αὐτῷ προδεδήλωται, οὐδ᾽ ὥς τινα ἔλαβε
*by-me about him has-been-shown-before not-even so any she-took*
τῆς τοῦ ἀνθρώπου κολάσεως κόρον, ἀλλὰ ψευδομάρτυρας
*of-the of-the man punishment satiety but false-witnesses*
ἐπ᾽ ἐκείνῳ διερευνωμένη οὐδέποτε ἀνίει.
*against that-man searching-out never let-go*
τέτρασι δὲ ἐνιαυτοῖς ὕστερον Πρασίνους εὑρέσθαι δύο 41
*four and years later Greens to-find two*
τῶν ἐν Κυζίκῳ στασιωτῶν ἴσχυσεν, οἵπερ τῶν τῷ
*of-the in Cyzicus partisans she-was-able who-indeed of-those against-the*
ἐπισκόπῳ ἐπαναστάντων ἐλέγοντο εἶναι.
*bishop having-risen-up were-said to-be*

42 καὶ αὐτοὺς θωπείαις τε καὶ λόγοις καὶ ἀπειλαῖς περιῆλθεν,
*and them with-flatteries both and with-words and threats she-went-around*
ὥστε ἄτερος μὲν κατορρωδήσας καὶ ταῖς ἐλπίσιν ἐπαρθεὶς
*so-that the-one indeed having-taken-fright and by-the hopes elated*
τὸ μίασμα τοῦ φόνου ἐς τὸν Ἰωάννην ἀνήνεγκεν.
*the pollution of-the murder to — John referred*
43 ὁ δὲ δὴ ἕτερος τῆς ἀληθείας ἀπ᾽ ἐναντίας ἐλθεῖν
*the but indeed other of-the truth from contrary to-go*
οὐδαμῇ ἔγνω, καίπερ οὕτως ἐκ τῆς βασάνου καταταθείς,
*in-no-way resolved although thus from the torture stretched-out*
ὥστε ὅτι δὴ καὶ τεθνήξεται αὐτίκα μάλα ἐπίδοξος ἦν.
*so-that that indeed also he-will-die at-once very probable he-was*
44 διὸ δὴ τὸν μὲν Ἰωάννην τούτῳ δὴ τῷ παραπετάσματι
*wherefore indeed — indeed John by-this indeed the screen*
διαχρήσασθαι οὐδεμιᾷ μηχανῇ ἔσχε, τοῖν δὲ νεανίαιν
*to-make-away-with by-no device could of-the and youths*
τούτοιν χεῖρας τὰς δεξιὰς ἔτεμε, τοῦ μὲν ὅτι
*these hands the right she-cut-off of-the-one indeed because*
ψευδομαρτυρεῖν οὐδαμῇ ἤθελε, τοῦ δὲ ὅπως μὴ ἐπιφανὴς
*to-bear-false-witness in-no-way he-wished of-the and so-that not manifest*
ἡ ἐπιβουλὴ ἐς τὸ πᾶν γένηται.
*the plot to the whole should-become*
45 τούτων δὲ οὕτως ἐν τῷ δημοσίῳ πρασσομένων τῆς
*these and thus in the public-square being-done of-the*
ἀγορᾶς, Ἰουστινιανὸς ἐποιεῖτο τῶν πρασσομένων
*market Justinian made-out of-the-things being-done*
μηδενὸς τὸ παράπαν ξυνεῖναι.
*nothing the at-all to-understand*

*The emperor's work is that of a demon, measured by the millions he destroyed: Libya, where more than five million Vandals, Libyans, and Moors perished; Italy, three times larger and more deserted; and Illyria and Thrace, overrun every year by Huns, Sclaveni, and Antae. The Saracens and Persians waste the East, and Chosroes, himself wicked, is handed the causes of war by Justinian. The riots of thirty-two years and the persecutions fill the Empire with blood. The Scirtus floods Edessa, the Nile and Cydnus overflow, earthquakes level Antioch, Corinth, and other cities, and the plague carries off half the survivors.*

Ὅτι δὲ οὐκ ἄνθρωπος, ἀλλὰ δαίμων τις, ὥσπερ εἴρηται, 1
*that and not a-man but demon some as has-been-said*
ἀνθρωπόμορφος ἦν, τεκμηριώσαιτο ἄν τις τῷ μεγέθει
*man-shaped he-was might-prove — anyone by-the magnitude*
σταθμώμενος ὧν εἰς τοὺς ἀνθρώπους κακῶν ἔδρασεν.
*weighing of-what on the men evils he-did*
ἐν γὰρ τῷ ὑπερβάλλοντι τῶν πεπραγμένων καὶ ἡ 2
*in for the excess of-the-things done also the*
τοῦ δεδρακότος δύναμις ἔνδηλος γίνεται.
*of-the having-done power manifest becomes*
τὸ μὲν οὖν μέτρον ἐς τὸ ἀκριβὲς φράσαι τῶν ὑπ᾽ αὐτοῦ 3
*the indeed then measure to the exact to-tell of-those by him*
ἀνῃρημένων οὐκ ἄν ποτε, μοὶ δοκεῖ, τῶν πάντων τινὶ
*destroyed not — ever to-me it-seems of-the all to-anyone*
ἢ τῷ θεῷ δυνατὰ εἴη.
*than — to-God possible might-be*
θᾶσσον γὰρ ἄν τις, οἶμαι, τὴν πᾶσαν ψάμμον 4
*sooner for — anyone I-think the all sand*
ἐξαριθμήσειεν ἢ ὅσους ὁ βασιλεὺς οὗτος ἀνῄρηκε.
*might-count-out than how-many the emperor this has-destroyed*
τὴν δὲ χώραν ἐπὶ πλεῖστον διαριθμούμενος, ἥνπερ
*the and land for most counting-over which-indeed*

ἔρημον τῶν ἐνοικούντων ξυμπέπτωκεν εἶναι, μυριάδας
*deserted of-the inhabitants has-happened to-be tens-of-thousands*
μυριάδων μυρίας φημὶ ἀπολωλέναι.
*of-tens-of-thousands ten-thousand I-say to-have-perished*

5 Λιβύη μὲν γὰρ ἐς τοσοῦτον διήκουσα μέτρον οὕτως
*Libya indeed for to so-great extending measure thus*
ἀπόλωλεν ὥστε ὁδὸν ἰόντι πολλὴν ἀνδρὶ ἐντυχεῖν
*has-perished that road for-one-going long a-man to-meet-with*
χαλεπόν τε καὶ λόγου ἄξιον εἶναι.
*hard both and of-account worthy to-be*

6 καίτοι Βανδίλων μὲν τῶν ὅπλα ἀρχὴν αἰρομένων
*and-yet of-Vandals indeed of-the arms at-the-beginning taking-up*
ἐνταῦθα μυριάδες ὀκτὼ ἐτύγχανον οὖσαι, γυναίων δὲ
*there tens-of-thousands eight happened being of-women and*
καὶ παιδαρίων καὶ θεραπόντων αὐτῶν τίς ἂν εἰκάσειε
*also of-children and of-servants their who — could-estimate*
μέτρον;
*the-measure*

7 Λιβύων δὲ τῶν ἐν ταῖς πόλεσιν ᾠκημένων τὰ πρότερα
*of-Libyans and of-the in the cities having-dwelt the formerly*
καὶ γῆν γεωργούντων ἐργασίαν τε τὴν κατὰ θάλασσαν
*and land farming work and the at sea*
ἐργαζομένων, ὅπερ μοι αὐτόπτῃ ἐπὶ πλεῖστον
*working which-very-thing to-me eyewitness for most*
γεγονέναι τετύχηκε, πῶς ἄν τις τὸ πλῆθος διαριθμεῖσθαι
*to-have-become has-happened how — anyone the multitude to-count*
ἱκανὸς εἴη τῶν πάντων ἀνθρώπων; τούτων δὲ πολλῷ
*able might-be of-the all men than-these and by-much*
ἔτι πλείους Μαυρούσιοι ἦσαν ἐνταῦθα, οἷς δὴ ἅπασι
*still more Moors were there to-whom indeed all*
ξύν τε γυναιξὶ καὶ γόνῳ διεφθάρθαι ξυνέβη.
*with both women and offspring to-have-been-destroyed it-befell*

πολλοὺς δὲ αὖ καὶ Ῥωμαίων στρατιωτῶν καὶ τῶν 8
*many and again also of-Romans soldiers and of-those*
αὐτοῖς ἐκ Βυζαντίου ἐπισπομένων ἡ γῆ ἔκρυψεν. ὥστε
*them from Byzantium having-followed the earth hid so-that*
εἴ τις μυριάδας ἀνθρώπων ἔν γε Λιβύῃ πεντακοσίας
*if anyone tens-of-thousands of-men in at-least Libya five-hundred*
ἰσχυρίζεται ἀπολωλέναι, οὐκ ἄν ποτε τῷ πράγματι,
*insists to-have-perished not — ever to-the matter*
οἶμαι, διαρκῶς εἴποι.
*I-think sufficiently he-would-speak*
αἴτιον δὲ ὅτι Βανδίλων εὐθὺς ἡσσημένων οὐχ ὅπως 9
*cause and that Vandals at-once having-been-defeated not how*
κρατύνηται τὴν τῆς χώρας ἐπικράτησιν ἐπιμελές οἱ
*he-might-strengthen the of-the land mastery a-care to-him*
ἐγίνετο, οὐδ᾽ ὅπως οἱ ἡ τῶν ἀγαθῶν φυλακὴ ἐν
*became nor how to-him the of-the goods guarding in*
τῷ ἀσφαλεῖ εὐνοίᾳ τῶν κατηκόων εἴη προὐνόησεν,
*the safety by-goodwill of-the subjects might-be he-provided*
ἀλλὰ Βελισάριον αὐτίκα μελλήσει οὐδεμιᾷ μετεπέμπετο,
*but Belisarius at-once with-delay no he-summoned*
τυραννίδα οἱ οὐδαμόθεν προσήκουσαν ἐπεγκαλέσας,
*tyranny to-him in-no-way belonging having-charged-(him)-with*
ὅπως τὸ ἐνθένδε διοικούμενος κατ᾽ ἐξουσίαν Λιβύην
*so-that the thenceforth managing at will Libya*
καταπιὼν ὅλην λῃΐζηται.
*having-swallowed whole he-might-plunder*
Τιμητὰς ἀμέλει τῆς γῆς εὐθὺς ἔπεμπε καὶ φόρους ἐπετίθει 10
*assessors of-course of-the land at-once he-sent and taxes imposed*
πικροτάτους τινὰς οὐ πρότερον ὄντας. καὶ τῶν χωρίων
*most-bitter some not before being and of-the estates*

προσεποιεῖτο, εἴ τι ἄριστον ἦν, καὶ Ἀρειανοὺς τῶν ἐν
*appropriated if any best was and Arians from-the among*
σφίσιν αὐτοῖς μυστηρίων εἶργε.
*them selves mysteries excluded*

11 καὶ ταῖς στρατιωτικαῖς συντάξεσιν ὑπερήμερος ἦν, καὶ
*and with-the military pay overdue he-was and*
ἄλλως τοῖς στρατιώταις ἐγεγόνει βαρύς. ἐξ ὧν αἱ
*otherwise to-the soldiers had-become burdensome from which the*
στάσεις φυόμεναι τετελευτήκασιν εἰς ὄλεθρον μέγαν.
*mutinies springing-up have-ended in ruin great*

12 οὐ γὰρ μένειν ἐν τοῖς καθεστῶσί ποτε ἴσχυεν, ἀλλὰ
*not for to-remain in the established-things ever he-could but*
ξυγχεῖν τε καὶ ἀναθολοῦν ἐπεφύκει πάντα.
*to-confound both and to-muddy was-by-nature all-things*

13 Ἰταλία δὲ οὐχ ἧσσον ἢ τριπλασία Λιβύης οὖσα ἔρημος
*Italy and not less than threefold of-Libya being deserted*
ἀνθρώπων πολλῷ μᾶλλον ἔτι ἢ ἐκείνη πανταχόθι
*of-men by-much more still than that everywhere*
γεγένηται. ὥστε δὴ μέτρου τῶν κἀνταῦθα ἀνῃρημένων
*has-become so-that indeed of-measure of-those also-there destroyed*
ἐγγύθεν ἡ δήλωσις ἔσται.
*from-near the showing will-be*

14 ἡ γὰρ αἰτία τῶν ἐν Ἰταλίᾳ ξυμπεπτωκότων ἤδη
*the for cause of-the-things in Italy having-happened already*
μοι ἔμπροσθεν δεδιήγηται. ἅπαντά τε γὰρ ὅσα ἐν
*by-me before has-been-narrated all-things and for as-many-as in*
Λιβύῃ, κἀνταῦθα αὐτῷ ἡμαρτήθη.
*Libya also-there by-him were-done-wrong*

15 καὶ τοὺς καλουμένους λογοθέτας προσεπιπέμψας ἀνεχαίτισέ
*and the called logothetes having-sent-in-addition he-overthrew*
τε καὶ διέφθειρεν εὐθὺς ἅπαντα.
*both and destroyed at-once all-things*

κατέτεινε δὲ ἡ Γότθων ἀρχὴ πρὸ τοῦδε τοῦ πολέμου ἐκ 16
*extended and the of-Goths empire before this the war from*
Γάλλων τῆς γῆς ἄχρι τῶν Δακίας ὁρίων, οὗ δὴ πόλις
*Gauls' the land until the of-Dacia boundaries where indeed city*
τὸ Σίρμιόν ἐστι.
*— Sirmium is*
Γαλλίας μὲν οὖν καὶ Βενετίων γῆν τὴν πολλὴν Γερμανοὶ 17
*of-Gaul indeed then and of-Venetia land the much Germans*
ἔσχον, ἐπειδὴ ἀφίκετο ἐς Ἰταλίαν ὁ Ῥωμαίων στρατός.
*held when came to Italy the of-Romans army*
Σίρμιον δὲ καὶ τὰ ἐκείνῃ χωρία Γήπαιδες κατέχουσιν, 18
*Sirmium but and the there places Gepids occupy*
ἅπαντα μέντοι συλλήβδην εἰπεῖν ἀνθρώπων παντελῶς
*all however in-sum to-say of-men utterly*
ἔρημα.
*deserted*
τοὺς μὲν γὰρ ὁ πόλεμος, τοὺς δὲ νόσος τε καὶ λιμὸς 19
*the-ones indeed for the war the-others and disease both and famine*
διεχρήσαντο, ἃ δὴ τῷ πολέμῳ ἕπεσθαι πέφυκεν.
*destroyed which indeed on-the war to-follow is-wont*
Ἰλλυριοὺς δὲ καὶ Θρᾴκην ὅλην, εἴη δ' ἂν ἐκ κόλπου 20
*Illyrians and also Thrace whole it-would-be and — from gulf*
τοῦ Ἰονίου μέχρι ἐς τὰ Βυζαντίων προάστεια, ἐν τοῖς
*of-the Ionian as-far-as to the of-Byzantines suburbs in which*
Ἑλλάς τε καὶ Χερρονησιωτῶν ἡ χώρα ἐστίν, Οὖννοί τε
*Greece both and of-Chersonesites the land is Huns both*
καὶ Σκλαβηνοὶ καὶ Ἄνται σχεδόν τι ἀνὰ πᾶν καταθέοντες
*and Sclaveni and Antae almost — through every overrunning*
ἔτος, ἐξ οὗ Ἰουστινιανὸς παρέλαβε τὴν Ῥωμαίων ἀρχήν,
*year from which Justinian took-over the of-Romans empire*
ἀνήκεστα ἔργα εἰργάσαντο τοὺς ταύτῃ ἀνθρώπους.
*incurable deeds worked-on the there men*

21 πλέον γὰρ ἐν ἑκάστῃ ἐσβολῇ οἶμαι ἢ κατὰ μυριάδας
*more for in each inroad I-think than by tens-of-thousands*
εἴκοσιν εἶναι τῶν τε ἀνῃρημένων καὶ ἠνδραποδισμένων
*twenty to-be of-the both destroyed and enslaved*
ἐνταῦθα Ῥωμαίων, ὥστε τὴν Σκυθῶν ἐρημίαν ἀμέλει
*there Romans so-that the of-Scythians desert of-course*
ταύτης πανταχόσε τῆς γῆς ξυμβαίνειν εἶναι.
*of-this everywhere of-the land to-happen to-be*

22 Τὰ μὲν οὖν ἐν Λιβύῃ τε καὶ Εὐρώπῃ κατὰ τὸν
*the-things indeed then in Libya both and Europe during the*
πόλεμον ξυνενεχθέντα τοιαῦτά ἐστι. Σαρακηνοὶ δὲ
*war having-happened such are Saracens and*
τοὺς ἑῴους Ῥωμαίους ἐκ τῆς Αἰγύπτου μέχρι τῶν
*the eastern Romans from — Egypt as-far-as the*
Περσίδος ὁρίων πάντα τοῦτον τὸν χρόνον διηνεκῶς
*of-Persia boundaries all this the time continually*
καταθέοντες οὕτω δὴ ἐνδελεχέστατα κατειργάσαντο, ὥστε
*overrunning thus indeed most-continually worked-over that*
ὀλιγανθρωπότατα ξύμπαντα ἐγεγόνει τὰ ἐκείνῃ χωρία,
*most-thinly-peopled all had-become the there places*
καὶ οὐ μήποτε ἀνθρώπῳ, οἶμαι, δυνατὰ ἔσται τὸ μέτρον
*and not ever for-a-man I-think possible will-be the measure*
τῶν οὕτως ἀπολωλότων διερευνωμένῳ εὑρέσθαι.
*of-those thus having-perished searching-out to-find*

23 Πέρσαι τε καὶ Χοσρόης τετράκις μὲν ἐμβάλλοντες ἐς
*Persians both and Chosroes four-times indeed invading into*
τὴν ἄλλην Ῥωμαίων ἀρχὴν τάς τε πόλεις καθεῖλον καὶ
*the rest of-Romans empire the both cities pulled-down and*
τοὺς ἀνθρώπους οὓς ἂν λάβοιεν ἔν τε πόλεσι ταῖς
*the men whom — they-might-take in both cities the*
ἁλισκομέναις καὶ χώρᾳ ἑκάστῃ τοὺς μὲν κτείνοντες, τοὺς
*being-captured and land each the-ones indeed killing the-others*

δὲ ξὺν αὐτοῖς ἐπαγόμενοι, ἔρημον τὴν γῆν κατεστήσαντο
*and with themselves leading-off deserted the land they-made*
τῶν ἐνοικούντων, ᾗπερ αὐτοὺς ἐπισκῆψαι ξυνέπεσεν.
*of-the inhabitants where-indeed them to-swoop it-befell*
ἐξ οὗ δὲ καὶ εἰς γῆν τὴν Κολχίδα ἐσήλασαν, αὐτοῖς 24
*from which and also into land the Colchian they-marched for-them*
τε καὶ Λαζοῖς καὶ Ῥωμαίοις διαφθείρεσθαι μέχρι δεῦρο
*both and for-Lazi and for-Romans to-be-destroyed until here*
ξυμβαίνει.
*it-happens*
Οὐ μέντοι οὐδὲ Πέρσαις ἢ Σαρακηνοῖς ἢ Οὔννοις ἢ 25
*not however not-even for-Persians or for-Saracens or for-Huns or*
τῷ Σκλαβηνῶν γένει ἢ τῶν ἄλλων βαρβάρων τισὶν
*for-the of-Sclaveni race or of-the other barbarians for-some*
ἀκραιφνέσιν ἐκ Ῥωμαίων τῆς γῆς ξυνηνέχθη ἀπαλλαγῆναι.
*unscathed from of-Romans the land it-befell to-depart*
ἔν τε γὰρ ταῖς ἐφόδοις καὶ πολλῷ ἔτι μᾶλλον ἔν 26
*in both for the attacks and by-much still more in*
τε πολιορκίαις καὶ ξυμβολαῖς ἐναντιώμασι πολλοῖς
*both sieges and engagements with-reverses many*
προσεπταικότες οὐδέν τι ἧσσον ξυνδιεφθάρησαν.
*having-stumbled nothing — less they-were-destroyed-together*
οὐ γὰρ Ῥωμαῖοι μόνον, ἀλλὰ καὶ βάρβαροι σχεδόν τι 27
*not for Romans only but also barbarians almost —*
πάντες τῆς Ἰουστινιανοῦ μιαιφονίας ἀπώναντο.
*all of-the of-Justinian bloodthirstiness reaped*
ἦν μὲν γὰρ καὶ Χοσρόης αὐτός τε πονηρὸς τὸ ἦθος 28
*there-was indeed for also Chosroes himself both wicked the character*
καί, ὥς μοι ἐν λόγοις εἴρηται τοῖς καθήκουσι, τὰς μὲν
*and as by-me in books has-been-said the appropriate the indeed*
αἰτίας αὐτῷ τοῦ πολέμου ὅδε παρείχετο πάσας.
*causes to-him of-the war this-one provided all*

29 οὐ γὰρ ἠξίου τοῖς καιροῖς ἐναρμόζειν τὰς πράξεις,
*not for he-deemed-fit to-the occasions to-fit the actions*
ἀλλ᾽ ἀπὸ καιροῦ πάντα εἰργάζετο, ἐν μὲν εἰρήνῃ καὶ
*but away-from occasion all-things he-did in indeed peace and*
σπονδαῖς ἐξαρτυόμενος ἀεὶ νῷ δολερῷ ἐπὶ τοὺς
*treaties contriving always with-mind treacherous against the*
πέλας πολέμου αἰτίας, ἐν δὲ τῷ πολέμῳ ἀναπεπτωκώς
*neighbors of-war causes in but the war having-slackened*
τε οὐδενὶ λόγῳ καὶ τὴν τῶν ἔργων παρασκευὴν ὀκνηρῶς
*both with-no reason and the of-the operations preparation sluggishly*
ἄγαν διὰ φιλοχρηματίαν ποιούμενος, ἀντί τε σπουδῆς
*very because-of love-of-money making instead-of both zeal*
τῆς περὶ ταῦτα περισκοπῶν μὲν τὰ μετέωρα,
*of-the about these(-things) looking-around indeed the-things aloft*
περιέργος δὲ ἀμφὶ τῇ τοῦ θεοῦ φύσει γινόμενος, καὶ οὔτε
*curious but about the — of-God nature becoming and neither*
τὸν πόλεμον μεθιείς, τῷ μιαιφόνος τις καὶ παλαμναῖος
*the war giving-up by-the bloodthirsty someone and murderous*
εἶναι, οὔτε περιεῖναι τῶν πολεμίων οἷός τε ὤν, τῷ μὴ
*to-be nor to-prevail-over the enemies able — being by-the not*
τὰ δέοντα ὑπὸ σμικρολογίας περιεργάζεσθαι.
*the necessary-things from pettiness to-attend-to*
30 ταύτῃ τε αὐτοῦ βασιλεύοντος ἡ γῆ ξύμπασα ἔμπλεως
*thus and him reigning the earth all full*
αἵματος ἀνθρωπείου ἔκ τε Ῥωμαίων καὶ βαρβάρων
*of-blood human from both Romans and barbarians*
σχεδόν τι πάντων διαρκῶς γέγονε.
*almost — all continually became*

Ταῦτα μέντοι κατὰ τὸν πόλεμον πανταχόθι γῆς τῆς 31
*these(-things) however during the war everywhere of-land the*
Ῥωμαίων ξυλλήβδην εἰπεῖν ὑπὸ τοῦτον τὸν χρόνον
*of-Romans in-sum to-say under this the time*
ξυνηνέχθη γενέσθαι.
*befell to-happen*
τὰ δὲ κατὰ στάσιν ἔν τε Βυζαντίῳ καὶ πόλει ἑκάστῃ 32
*the-things and in riot in both Byzantium and city each*
ξυνενεχθέντα διαριθμούμενος οὐκ ἐλάσσω ἀνθρώπων φόνον
*having-happened counting-over not less of-men murder*
ταύτῃ ξυμβῆναι ἢ κατὰ τὸν πόλεμον οἶομαι.
*thus to-have-happened than in the war I-think*
τοῦ γὰρ δικαίου καὶ τῆς ὁμοίας ἐπιστροφῆς ἐπὶ τοῖς 33
*the for justice and the equal attention to the-things*
ἁμαρτανομένοις ὡς ἥκιστα ὄντων, ἀλλὰ κατεσπουδασμένου
*being-done-wrong as least being but zealously-favored*
τῷ βασιλεῖ θατέρου τοῖν μεροῖν μάλιστα ἡσυχίαν οὐδὲ
*by-the emperor the-one of-the two-parties especially quiet not-even*
θάτεροι ἦγον, ἀλλ᾽ οἱ μὲν τῷ ἐλασσοῦσθαι, οἱ
*the-others kept but the-ones indeed by-the to-be-worsted the-others*
δὲ τῷ θαρσεῖν ἐς ἀπόγνωσίν τε καὶ ἀπόνοιαν ἀεὶ
*and by-the to-be-bold to despair both and madness always*
ἔβλεπον, καὶ πῃ μὲν ἀθρόοι ἐπ᾽ ἀλλήλους ἰόντες,
*looked and sometimes indeed in-masses against each-other going*
πῃ δὲ κατ᾽ ὀλίγους μαχόμενοι, ἢ καὶ κατ᾽ ἄνδρα
*sometimes but in few-at-a-time fighting or even by man*
ἕνα τὰς ἐνέδρας, ἂν οὕτω τύχοι, ποιούμενοι ἐς δύο
*one the ambushes — so might-happen making to two*
καὶ τριάκοντα ἐνιαυτοὺς οὐδένα ἀνιέντες καιρὸν αὐτοί
*and thirty years no letting-go occasion themselves*

τε εἰργάζοντο ἀλλήλους ἀνήκεστα ἔργα καὶ πρὸς τῆς
*both worked-on each-other incurable deeds and by the*
τῷ δήμῳ ἐφεστώσης ἀρχῆς ὡς τὰ πολλὰ διεφθείροντο.
*over-the people set office as the many were-destroyed*
34 ἡ μέντοι τίσις τῶν ἁμαρτανομένων ἐκ τοῦ ἐπὶ
*the however punishment of-the-things done-wrong from the for*
πλεῖστον ἐς τοὺς Πρασίνους ἐγίνετο. ἔτι μὴν καὶ ἡ ἐς
*most to the Greens came-about still indeed also the upon*
τοὺς Σαμαρείτας καὶ τοὺς καλουμένους αἱρετικοὺς κόλασις
*the Samaritans and the called heretics punishment*
φόνου ἐνέπλησε τὴν Ῥωμαίων ἀρχήν.
*with-murder filled the of-Romans empire*
35 ταῦτα δέ μοι ὅσον ἐν κεφαλαίῳ εἰρῆσθαι
*these(-things) and by-me as-much-as in summary to-have-been-said*
ἀπομνημονεύεται τανῦν, ἐπεί μοι ἱκανῶς ὀλίγῳ ἔμπροσθεν
*are-recalled now since by-me sufficiently a-little before*
δεδιήγηται.
*has-been-narrated*
36 Ταῦτα μὲν κατὰ τὸν ἐν σώματι γενόμενον δαίμονα
*these(-things) indeed through the in body having-come demon*
τετύχηκε γενέσθαι ἐς πάντας ἀνθρώπους, ὧνπερ τὰς
*has-happened to-happen to all men of-which-indeed the*
αἰτίας αὐτὸς ἅτε βασιλεὺς καταστὰς ἔδωκε· καὶ
*causes he-himself as emperor having-been-appointed gave and*
ὅσα μέντοι κατακεκρυμμένῃ δυνάμει καὶ φύσει δαιμονίᾳ
*how-many however by-bidden power and nature demonic*
διειργάσατο ἀνθρώπους κακά, ἐγὼ δηλώσω.
*he-worked-on men evils I will-show*
37 τούτου γὰρ Ῥωμαίων διοικουμένου τὰ πράγματα πολλὰ καὶ
*this-one for of-Romans managing the affairs many also*
ἄλλα πάθη ξυνηνέχθη γενέσθαι, ἅπερ οἱ μὲν τῇ τοῦ
*other sufferings befell to-happen which the-ones indeed by-the of-the*

πονηροῦ δαίμονος τῇδε παρουσίᾳ ἰσχυρίζοντο καὶ μηχανῇ
*wicked demon here presence insisted and device*
ξυμβῆναι, οἱ δὲ αὐτοῦ τὸ θεῖον τὰ ἔργα μισῆσαν
*to-have-happened the-others and his the divine the works having-hated*
ἀποστραφέν τε ἀπὸ τῆς Ῥωμαίων ἀρχῆς, χώραν δαίμοσι
*turned-away and from the of-Romans empire place to-demons*
τοῖς παλαμναίοις ἐνδεδωκέναι ταῦτα διαπράξασθαι τῇδε.
*the murderous to-have-given these(-things) to-accomplish thus*
Ἔδεσσαν μὲν γὰρ Σκιρτὸς ἐπικλύσας ὁ ποταμὸς 38
*Edessa indeed for Scirtus having-flooded the river*
μυρίων δημιουργὸς τοῖς ἐκείνῃ ἀνθρώποις συμφορῶν
*of-ten-thousand author to-the there men calamities*
γέγονεν, ὥς μοι ἐν τοῖς ὄπισθεν λόγοις γεγράψεται.
*became as by-me in the later books will-be-written*
Νεῖλος δὲ ἀναβὰς μὲν ἥπερ εἰώθει, χρόνοις δὲ οὐκ 39
*Nile and having-risen indeed as-indeed was-customary at-times but not*
ἀποβὰς τοῖς καθήκουσι, δεινά τινας τῶν ᾠκημένων
*having-subsided the appropriate terrible some of-the inhabitants*
εἰργάσατο ἔργα, ἅπερ μοι καὶ πρότερον δεδιήγηται.
*worked deeds which by-me also before has-been-narrated*
Κύδνος δὲ Ταρσὸν περιβαλλόμενος σχεδόν τι πᾶσαν 40
*Cydnus and Tarsus encircling almost — all*
ἡμέρας τε αὐτὴν ἐπικλύσας πολλὰς οὐ πρότερον ἀπέστη
*for-days and it having-flooded many not before withdrew*
ἕως αὐτὴν ἀνήκεστα κακὰ ἔδρασε.
*until it incurable evils it-did*
σεισμοὶ δὲ Ἀντιόχειάν τε καθεῖλον τὴν τῆς ἑῴας πρώτην 41
*earthquakes and Antioch both pulled-down the of-the east first*
καὶ Σελεύκειαν, ἥπερ αὐτῆς ἐκ γειτόνων οἰκεῖται, καὶ
*and Seleucia which-indeed of-it from neighbors is-inhabited and*
τὴν ἐν Κίλιξιν ἐπιφανεστάτην Ἀνάζαρβον.
*the among Cilicians most-famous Anazarbus*

42 αἷς τῶν ξυναπολωλότων ἀνθρώπων τὸ μέτρον τίς ἂν
*with-which of-the having-perished-together men the measure who —*
διαριθμεῖσθαι δυνατὸς εἴη; προσθείη δὲ ἄν τις τά τε
*to-count able might-be might-add and — anyone — both*
Ἴβωρα καὶ Ἀμάσειαν, ἣ πρώτη ἐν Πόντῳ ἐτύγχανεν
*Ibora and Amasea which first in Pontus happened*
οὖσα, Πολύβοτόν τε τὴν ἐν Φρυγίᾳ καὶ ἣν Πισίδαι
*being Polybotus both the in Phrygia and which Pisidians*
Φιλομηδὴν καλοῦσι, Λύχνιδόν τε τὴν ἐν Ἠπειρώταις καὶ
*Philomede call Lychnidus both the among Epirotes and*
Κόρινθον, αἳ δὴ πολυανθρωπόταται ἐκ παλαιοῦ ἦσαν.
*Corinth which indeed most-populous from old were*
43 ταύταις γὰρ ἁπαξαπάσαις ὑπὸ τοῦτον τὸν χρόνον σεισμῷ
*to-these for all under this the time by-earthquake*
τε καταπεσεῖν καὶ τοῖς ᾠκημένοις σχεδόν τι πᾶσι
*both to-fall-down and with-the inhabitants almost — all*
ξυνδιολωλέναι τετύχηκεν.
*to-have-perished-together it-has-happened*
44 ἐπιγενόμενος δὲ καὶ ὁ λοιμός, οὗ πρόσθεν ἐμνήσθην,
*having-come-upon and also the plague of-which before I-made-mention*
τὴν ἡμίσειαν μάλιστα τῶν περιγινομένων ἀνθρώπων
*the half about of-the surviving men*
ἀπήνεγκε μοῖραν.
*carried-off portion*
45 τοσούτων μὲν ἀνθρώπων ἐγένετο φθόρος, Ἰουστινιανοῦ
*of-so-many indeed men came-about destruction Justinian*
πρότερον Ῥωμαίοις διοικουμένου τὴν πολιτείαν καὶ ὕστερον
*before for-Romans managing the state and later*
τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος.
*the autocratic rule holding*

*One of the notables dreams that Justinian stands in the Bosporus and drinks up the sea and then the filth of the sewers. Anastasius left 3,200 centenaria of gold in the treasury, and 4,000 more came in under Justin; Justinian spent it all before Justin's death. He then turns to the subjects, confiscating the property of the prosperous on charges of paganism, heresy, pederasty, or rioting, or by making himself their heir. He lavishes gifts on barbarians from every nation, who come to Byzantium for them, and the dream comes true.*

Ὅπως δὲ καὶ τὰ χρήματα ἀφείλετο ἁπαξάπαντα ἐρῶν 1
*how and also the money he-took-away all to-tell*
ἔρχομαι, ὄψιν ὀνείρου ὑπειπὼν πρότερον ἥνπερ κατ'
*I-come vision of-a-dream having-mentioned first which-indeed at*
ἀρχὰς τῆς Ἰουστίνου βασιλείας τῶν τινι ἐπιφανῶν
*beginnings of-the of-Justin reign of-the to-some-one notables*
ἰδεῖν ξυνηνέχθη.
*to-see it-befell*
ἔφη γάρ οἱ δοκεῖν ἐν τῷ ὀνείρῳ ἑστάναι μέν που 2
*he-said for to-him to-seem in the dream to-stand indeed somewhere*
ἐν Βυζαντίῳ παρὰ τὴν τῆς θαλάσσης ἰόνα, ἣ δὴ
*in Byzantium beside the of-the sea shore which indeed*
Χαλκηδόνος καταντικρύ ἐστιν, ὁρᾶν δὲ τοῦτον κατὰ τὸν
*of-Chalcedon opposite is to-see and this-one in the*
ἐκείνῃ πορθμὸν ἑστῶτα μέσον.
*there strait standing mid*
καὶ πρῶτον μὲν τὸ ὕδωρ τῆς θαλάσσης αὐτὸν ἐκπιεῖν 3
*and first indeed the water of-the sea him to-drink-up*
ὅλον, ὥστε οἴεσθαι τὸ λοιπὸν αὐτὸν ἐπὶ τῆς ἠπείρου
*whole so-that to-think for-the rest him on the mainland*
ἑστάναι, οὐκέτι τοῦ πορθμοῦ ταύτῃ ἐπιόντος, ἔπειτα δὲ
*to-stand no-longer of-the strait there coming-in then and*

ὕδωρ ἄλλο ῥύπου τε πολλοῦ καὶ φορυτοῦ γέμον, βρύσαν
*water other with-filth both much and with-refuse full gushing*
ἐξ ὑπονόμων ἑκατέρωθεν ὄντων, ἐνταῦθα γενέσθαι, καὶ
*from sewers on-both-sides being there to-come-about and*
αὐτὸ μὲν τοῦτον ἐκπιεῖν ἅμα, γυμνόν τε αὖθις
*it indeed this-one to-drink-up at-the-same-time bare and again*
ἐξεργάσασθαι τοῦ πορθμοῦ χῶρον.
*to-make of-the strait place*

4 Ἡ μὲν τοῦ ὀνείρου ὄψις ἐδήλου τοιαῦτα. Ἰουστινιανὸς
*the indeed of-the dream vision showed such(-things) Justinian*
δὲ οὗτος, ἡνίκα οἱ ὁ θεῖος Ἰουστῖνος τὴν βασιλείαν
*and this when to-him the uncle Justin the empire*
παρέλαβε, χρημάτων δημοσίων ἔμπλεων τὴν πολιτείαν εὗρεν.
*took-over of-money public full the state found*

5 Ἀναστάσιος γὰρ προνοητικώτατός τε ἅμα καὶ
*Anastasius for most-provident both at-the-same-time and*
οἰκονομικώτατος πάντων αὐτοκρατόρων γενόμενος, δείσας
*most-economical of-all autocrats having-been having-feared*
ὅπερ ἐγένετο, μή οἱ ὁ τὴν βασιλείαν ἐκδεξόμενος
*which-very-thing happened lest to-him the the empire going-to-inherit*
χρημάτων ὑποσπανίζων ἴσως τοὺς κατηκόους ληΐζηται,
*of-money being-short perhaps the subjects should-plunder*
χρυσοῦ τοὺς θησαυροὺς ἅπαντας κατακόρως ἐμπλησάμενος,
*of-gold the treasuries all to-satiety having-filled*
τὸν βίον ξυνεμετρήσατο.
*the life measured-out*

6 οὕσπερ ἅπαντας Ἰουστινιανὸς ὡς τάχιστα διεσπάσατο,
*which-very all Justinian as soonest tore-apart*
πὴ μὲν θαλασσίοις οἰκοδομίαις λόγον οὐκ ἐχούσαις,
*sometimes indeed on-seaside buildings reason not having*
πὴ δὲ τῇ ἐς τοὺς βαρβάρους φιλότητι· καίτοι
*sometimes and by-the toward the barbarians friendship and-yet*

ᾠήθη ἄν τις αὐτοὺς βασιλεῖ ἐς ἄγαν ἀσώτῳ
*would-have-thought — anyone them for-an-emperor to excess prodigal*
ἐσομένῳ ἐτῶν ἑκατὸν ἐπαρκέσειν.
*being-going-to-be for-years hundred to-suffice*
ἰσχυρίζοντο γὰρ οἱ τοῖς θησαυροῖς τε καὶ ταμείοις 7
*insisted for those over-the treasuries both and storehouses*
καὶ ἄλλοις ἅπασι τοῖς βασιλικοῖς χρήμασιν ἐφεστῶτες,
*and other all the imperial money set*
Ἀναστάσιον μὲν Ῥωμαίων ἔτη πλέον ἢ ἑπτὰ καὶ εἴκοσιν
*Anastasius indeed of-Romans years more than seven and twenty*
ἄρξαντα διακόσια καὶ τρισχίλια χρυσοῦ κεντηνάρια ἐν
*having-ruled two-hundred and three-thousand of-gold centenaria in*
δημοσίῳ ἀπολιπεῖν.
*treasury to-have-left*
ἐπὶ μέντοι Ἰουστίνου ἔτη ἐννέα τὴν αὐτοκράτορα ἀρχὴν 8
*under however Justin years nine the autocratic rule*
ἔχοντος, τούτου Ἰουστινιανοῦ ξύγχυσίν τε καὶ ἀκοσμίαν
*holding this-one Justinian confusion both and disorder*
τῇ πολιτείᾳ προστριψαμένου, τετρακισχίλια κεντηνάρια
*on-the state having-inflicted four-thousand centenaria*
ἐς τὴν βασιλείαν εἰσκομισθῆναι οὐδενὶ νόμῳ, καὶ τούτων
*into the imperial-treasury to-have-been-brought-in by-no law and of-these*
ἁπάντων οὐδ' ὁτιοῦν ἀπολελεῖφθαι, ἀλλ' ἔτι περιόντος
*all not-even anything-whatever to-have-been-left but still surviving*
Ἰουστίνου πρὸς τοῦδε τοῦ ἀνθρώπου δεδαπανῆσθαι ᾗπέρ
*Justin by this the man to-have-been-spent as-indeed*
μοι ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις.
*by-me in the earlier has-been-said books*

9 ἅπερ γὰρ αὐτὸς ἐν τῷ παντὶ χρόνῳ σφετερίζεσθαί τε
*what for he-himself in the all time to-appropriate both*
οὐ δέον καὶ ἀναλοῦν ἴσχυσεν, οὐδ᾽ ἄν τινα λόγον ἢ
*not rightly and to-spend had-strength not-even — any account or*
λογισμὸν ἢ μέτρον φανῆναι μηχανή τις οὐδεμία ἐστίν.
*reckoning or measure to-appear device any none is*
10 ὥσπερ γάρ τις ποταμὸς ἀένναος ἐς ἡμέραν ἑκάστην
*like for some river ever-flowing to day each*
ἐκδηιούμενος κατεληΐζετο τοὺς ὑπηκόους, ἐπέρρει δὲ
*ravaging he-plundered the subjects flowed-out and*
ἅπαντα τοῖς βαρβάροις εὐθύς ***.
*all-things to-the barbarians at-once (lacuna)*
11 Πλοῦτον οὕτω τὸν δημόσιον εὐθὺς ἐκφορήσας ἐπὶ τοὺς
*wealth thus the public at-once having-carried-off to the*
κατηκόους τὸ βλέμμα ἦγε, πλείστους τε αὐτίκα τὰς
*subjects the gaze he-turned very-many both at-once the*
οὐσίας ἀφείλετο ἁρπάζων τε καὶ βιαζόμενος οὐδενὶ λόγῳ,
*properties took-away snatching both and forcing with-no reason*
τῶν ἐγκλημάτων τε οὐδαμῇ γεγονότων ὑπάγων τοὺς
*of-the charges both in-no-way having-happened bringing-to-trial those*
εὐδαίμονας ἔν τε Βυζαντίῳ καὶ πόλει ἑκάστῃ δοκοῦντας
*prosperous in both Byzantium and city each seeming*
εἶναι, καὶ τοῖς μὲν πολυθεΐαν, τοῖς δὲ δόξης ἐν
*to-be and on-the-ones indeed polytheism on-the-others and of-belief among*
Χριστιανοῖς οὐκ ὀρθῆς αἵρεσιν, τοῖς δὲ παιδεραστίας,
*Christians not right heresy on-the-others and pederasty*
ἑτέροις ἱερῶν γυναικῶν ἔρωτας, ἢ ἄλλας τινὰς οὐ θεμιτὰς
*on-others of-holy women loves or other some not lawful*
μίξεις, ἄλλοις στάσεως ἀφορμήν, ἢ μέρους Πρασίνου
*unions on-others of-riot occasion or of-party Green*
στοργήν, ἢ ἐς αὐτὸν ὑβρίζειν, ἢ ὄνομα ὁτιοῦν ἄλλο
*affection or against him to-commit-outrage or name any-whatever other*

ἐπενεγκών, ἢ κληρονόμος αὐτόματος τοῖς τετελευτηκόσιν
*having-alleged or heir self-appointed to-the having-died*
ἢ καὶ περιοῦσιν, ἂν οὕτω τύχοι, ἅτε ἐσποιητὸς πρὸς
*or even surviving — so might-happen as adopted by*
αὐτῶν γενόμενος.
*them having-become*
αἱ γὰρ δὴ σεμνόταται τῶν πράξεων αὐτῷ τοιαῦται 12
*the for indeed most-august of-the deeds to-him such*
ἦσαν. ὅπως δὲ καὶ τὴν γενομένην ἐπ᾽ αὐτὸν στάσιν,
*were how and also the having-happened against him riot*
ἣν Νίκα ἐκάλουν, διοικησάμενος πᾶσι κληρονόμος τοῖς
*which Nika they-called having-managed to-all heir to-those*
ἐκ βουλῆς εὐθὺς γέγονεν ἤδη μοι ἔναγχος δεδιήγηται,
*from council at-once became already by-me lately has-been-narrated*
καὶ ὅπως τῆς στάσεως πρότερον οὐκ ὀλίγων αὐτὸς ἰδίᾳ
*and how of-the riot before not few himself privately*
ἑκάστου τὴν οὐσίαν ἀφείλετο.
*of-each the property took-away*
Τοὺς δὲ βαρβάρους ἅπαντας οὐδένα ἀνιεὶς καιρὸν 13
*the and barbarians all no letting-go occasion*
χρήμασιν ἐδωρεῖτο μεγάλοις, ἑῴους τε καὶ ἑσπερίους πρός
*with-money he-presented great eastern both and western toward*
τε ἄρκτον καὶ μεσημβρίαν, ἄχρι ἐς τοὺς ἐν Βρεττανίαις
*both north and south as-far-as to those in Britain*
ᾠκημένους καὶ γῆς πανταχόθι τῆς οἰκουμένης τὰ ἔθνη,
*dwelling and of-earth everywhere of-the inhabited the nations*
ὧνπερ οὐδὲ ὅσον ἀκοὴν πρότερον εἴχομεν, ἀλλὰ
*of-which not-even as-much-as hearing before we-had but*
πρῶτον ἰδόντες εἶτα τοῦ γένους ὄνομα ἔγνωμεν.
*first having-seen then of-the race name we-learned*

14 αὐτοί τε γὰρ πυνθανόμενοι τὸ τοῦ ἀνδρὸς ἦθος ἐπ᾽
*they and for learning the of-the man character to*
αὐτὸν δὴ ἐκ πάσης γῆς ξυνέρρεον ἐς Βυζάντιον.
*him indeed from all earth flowed-together to Byzantium*
15 καὶ ὃς οὐδεμιᾷ ὀκνήσει, ἀλλ᾽ ὑπερηδόμενός τε τῷ ἔργῳ
*and he with-no hesitation but rejoicing-exceedingly both at-the work*
τούτῳ, καί τι καὶ ἔρμαιον εἶναι οἰόμενος τὸν μὲν
*this and something also windfall to-be thinking the indeed*
Ῥωμαίων ἐξαντλεῖν πλοῦτον, βαρβάροις δὲ ἀνθρώποις
*of-Romans to-drain wealth to-barbarian and men*
ἢ ῥοθίοις τισὶ θαλασσίοις προΐεσθαι, ἀεὶ καθ᾽ ἑκάστην
*or to-surges some of-the-sea to-lavish always by each-day*
αὐτῶν ἕκαστον ξὺν ἁδροῖς χρήμασιν ἀπεπέμπετο.
*of-them each with abundant money sent-away*
16 ταύτῃ τε οἱ βάρβαροι ἅπαντες κύριοι τοῦ Ῥωμαίων
*thus and the barbarians all masters of-the of-Romans*
παντάπασι γεγένηνται πλούτου, ἢ τὰ χρήματα πρὸς τοῦ
*altogether have-become wealth either the money from the*
βασιλέως κεκομισμένοι ἢ λῃζόμενοι τὴν τῶν Ῥωμαίων
*emperor having-received or plundering the of-the Romans*
ἀρχήν, ἢ τοὺς αἰχμαλώτους ἀποδιδόμενοι, ἢ τὴν ἐκεχειρίαν
*empire or the captives selling-back or the truce*
ἀπεμπολοῦντες, τήν τε τοῦ ὀνείρου ὄψιν, ἧς ἄρτι
*selling the and of-the dream vision of-which just-now*
ἐμνήσθην, ἐς τοῦτο τῷ ἰδόντι ἀποκεκρίσθαι τετύχηκε.
*I-made-mention to this for-the having-seen to-have-come-out has-happened*
17 καὶ ἄλλους μέντοι ἐπιτεχνήσασθαι τῆς τῶν κατηκόων
*and other however to-contrive of-the of-the subjects*
λεηλασίας τρόπους ἴσχυσεν, οἵπερ ἐς ὅσον δυνατὸς ἂν
*plundering ways he-had-strength which-indeed to as-much-as able —*

εἴην αὐτίκα μάλα λελέξονται, δι᾽ ὧν οὐκ ἀθρόας, ἀλλὰ
*I-might-be at-once very will-be-told through which not in-bulk but*
κατὰ βραχὺ τὰς πάντων οὐσίας ληΐζεσθαι διαρκῶς ἔσχε.
*by little the of-all properties to-plunder continually be-could*

## XX · THE PREFECT, THE PRAETOR, AND THE QUAESITOR

*The city prefect sells the right to charge three times the price for goods, and the monopolies are sold to those willing to profit from them. Justinian creates two new offices, the praetor of the demes, for thieves, and the quaesitor, for pederasty and heresy, and sets them to compete with the prefect in destruction. He puts Tribonian over the quaestorship, then Junilus, a Libyan who could not speak Greek and sold the emperor's rescripts for a stater, then the young Constantine, who grew rich by selling justice.*

Πρῶτα τῷ δήμῳ ἔπαρχον ἐν Βυζαντίῳ ἐκ τοῦ ἐπὶ 1
*first over-the people prefect in Byzantium from the for*
πλεῖστον ἐφίστη, ὃς δὴ ἔμελλε τοῖς τὰ πωλητήρια ἔχουσι
*most he-set who indeed was-about to-those the shops holding*
πόρου ἐνιαυσίου ἐνθένδε διαλαγχάνων ἐς τὴν ἐξουσίαν
*of-revenue annual thence sharing to the license*
αὐτοὺς ἐμβιβάζειν τοῦ τὰ ὤνια ὅπῃ βούλοιντο ἀποδίδοσθαι.
*them to-bring of-the the wares however they-might-wish to-sell*
καὶ περιεστήκει τοῖς τῇδε ἀνθρώποις ὠνεῖσθαι τὰ 2
*and it-had-come-around to-the there men to-buy the*
ἐπιτήδεια, τριπλασίονα μὲν καταβαλλομένοις τιμήματα,
*necessities threefold indeed paying prices*
ὅτῳ δὲ ἂν διὰ ταῦτα ἐπικαλοῖεν, οὐδαμῇ ἔχουσι.
*whom and — because-of these(-things) they-might-accuse in-no-way having*

3 μέγα τε τὸ ἀπὸ τοῦ ἔργου βλάβος ἠγείρετο. μέρος γὰρ
*great and the from the deed harm was-raised share for*
τῆς βασιλείας τοῦδε φερομένης τοῦ πόρου πλουτεῖν ἀπ᾽
*of-the imperial-treasury of-this bearing of-the revenue to-be-rich from*
αὐτοῦ ἡ τῷ πράγματι ἐφεστῶσα ἀρχὴ ἤθελε.
*it the over-the matter set office wished*

4 τὸ δὲ ἐνθένδε οἵ τε τῆς ἀρχῆς ὑπηρέται τῆς αἰσχρᾶς
*the and thenceforth the both of-the office servants of-the shameful*
ταύτης ὑπουργίας ἐπειλημμένοι καὶ οἱ τὰ πωλητήρια
*this service having-laid-hold-of and those the shops*
ἔχοντες τῆς τοῦ παρανομεῖν ἐξουσίας δραξάμενοι ἀνήκεστα
*holding of-the of-the to-break-the-law license having-grasped incurable*
ἔργα τοὺς τότε ὠνεῖσθαι δεομένους εἰργάζοντο, οὐχ ὅσον
*deeds on-those then to-buy needing worked not only*
πολλαπλάσια τὰ τιμήματα κομιζόμενοι, ἀλλὰ καὶ δολώσεις
*manifold the prices getting but also frauds*
ἐν τοῖς ὠνίοις μηχανώμενοι ἀμυθήτους τινάς.
*in the wares contriving untold some*

5 Ἔπειτα δὲ πολλὰ καταστησάμενος τὰ καλούμενα
*then and many having-established the called*
μονοπώλια τήν τε κατηκόων σωτηρίαν ἀπεμπολήσας
*monopolies the and of-subjects safety having-sold*
τοῖς τὸ ἄγος τοῦτο ἐνεργολαβεῖν ἀξιοῦσιν, αὐτὸς μὲν
*to-those the pollution this to-contract-for deeming-fit he-himself indeed*
τίμημα τοῦ ἔργου τούτου ἀντιφορτισάμενος ἀπηλλάσσετο,
*price of-the work this having-taken-in-return departed*
τοῖς δὲ αὐτῷ ξυμβεβληκόσι παρείχετο τὴν ἐργασίαν ᾗ
*to-those and with-him having-contracted he-provided the business as*
βούλοιντο διοικήσασθαι.
*they-might-wish to-manage*

ὅπερ ἀπαρακαλύπτως ἡμαρτάνετο κἀν ταῖς ἄλλαις 6
*which-very-thing openly was-done-wrong also-in the other*
ἁπάσαις ἀρχαῖς. βασιλέως γὰρ μοῖράν τινα οὐ πολλὴν
*all offices of-emperor for share some not large*
ἀεὶ τῶν φωρίων κομιζομένου αἵ τε ἀρχαὶ ἀπ᾽ αὐτοῦ
*always of-the thefts receiving the both offices from it*
καὶ οἱ πράγματι ἐφεστῶτες ἑκάστῳ ἀδεέστερον τοὺς
*and those over-matter set each more-fearlessly those*
σφίσι παραπίπτοντας ἐληΐζοντο.
*to-them falling-in-the-way plundered*
ὥσπερ δὲ οὐχ ἱκανῶν οἱ ἐς τοῦτο οὐσῶν τῶν 7
*as-if and not sufficient to-him for this being of-the*
πάλαι διατεταγμένων ἀρχῶν, ἑτέρας δύο ἐπὶ τῇ πολιτείᾳ
*long-ago ordained offices others two for the state*
ἐπετεχνήσατο, καίτοι ἅπαντα μετῄει πρότερον τὰ
*he-contrived and-yet all pursued before the*
ἐγκλήματα ἡ τῷ δήμῳ ἐφεστῶσα ἀρχή.
*charges the over-the people set office*
ἀλλ᾽ ὅπως ἀεὶ πλείους τε οἱ συκοφάνται εἶεν καὶ πολλῷ 8
*but so-that always more both the informers might-be and by-much*
ἔτι θᾶσσον τῶν οὐδὲν ἐπταικότων ἀνθρώπων τὰ σώματα
*still faster of-the nothing having-stumbled men the bodies*
αἰκίζοιτο, ταύτας δὴ τὰς ἀρχὰς ἐπινοεῖν ἔγνω.
*might-be-maltreated these indeed the offices to-devise he-resolved*
καὶ αὐταῖν τὴν ἑτέραν μὲν τοῖς κλέπταις δῆθεν τῷ 9
*and of-the-two the one indeed for-the thieves supposedly in-the*
λόγῳ ἐπέστησεν, ὄνομα ταύτῃ ἐπιθεὶς πραίτωρα δήμων·
*word he-set-over name on-this having-put praetor of-the-demes*
τῇ δὲ δὴ ἑτέρᾳ τούς τε παιδεραστοῦντας ἐς ἀεὶ
*to-the and indeed other the both pederasts for ever*
τίννυσθαι καὶ γυναιξὶν οὐ νόμιμα μιγνυμένους ἐπήγγελλε,
*to-punish and with-women not lawfully uniting he-enjoined*

καὶ εἴ τῳ τὰ ἐς τὸ θεῖον οὐκ ὀρθῶς ἤσκηται,
*and if by-any the-things toward the divine not rightly has-been-practiced*
ὄνομα ταύτῃ ἐπιθεὶς κοιαισίτωρα.
*name on-this having-put quaesitor*

10 ὁ μὲν οὖν πραίτωρ εἴ τινα ἐν τοῖς φωρίοις λόγου πολλοῦ
*the indeed then praetor if some among the stolen-goods of-account much*
ἄξια εὗρε, ταῦτα δὴ τῷ αὐτοκράτορι ἀποφέρειν
*worthy-things he-found these(-things) indeed to-the autocrat to-carry-off*
ἠξίου, φάσκων οὐδαμῇ φαίνεσθαι τοὺς τούτων κυρίους.
*deemed-fit saying in-no-way to-appear the of-these owners*

11 ταύτῃ τε χρημάτων ἀεὶ τῶν τιμιωτάτων διαλαγχάνειν
*thus and of-money always the most-valuable to-get-a-share*
ὁ βασιλεὺς εἶχεν. ὁ δὲ δὴ κοιαισίτωρ καλούμενος
*the emperor could the and indeed quaesitor called*
τοὺς παραπεπτωκότας κατεργαζόμενος, ἃ μὲν βούλοιτο,
*those having-fallen-in-(his)-way working-over what indeed he-might-wish*
βασιλεῖ ἔφερεν, αὐτὸς δὲ οὐδὲν ἧσσον ἐπλούτει τοῖς
*to-emperor brought he-himself and nothing less grew-rich on-the*
ἀλλοτρίοις οὐδενὶ νόμῳ.
*others' by-no law*

12 οἱ γὰρ δὴ τούτων τῶν ἀρχῶν ὑπηρέται οὔτε κατηγόρους
*the for indeed of-these the offices servants neither accusers*
ἐπήγοντο οὔτε μάρτυρας τῶν πεπραγμένων παρείχοντο,
*brought-forward nor witnesses of-the-things done presented*
ἀλλὰ διηνεκὲς πάντα τοῦτον τὸν χρόνον ἀκατηγόρητοί
*but continually all this the time unaccused*
τε καὶ ἀνεξέλεγκτοι ὡς λαθραιότατα ἐντυχόντες
*both and unconvicted as most-covertly having-come-upon-(them)*
ἐκτείνοντό τε καὶ ἀφῃροῦντο τὰ χρήματα.
*were-killed both and were-deprived-of the money*

Ὕστερον δὲ ὁ παλαμναῖος οὗτος ταύταις τε καὶ τῇ 13
*later and the murderous this to-these both and to-the*
τῷ δήμῳ ἐφεστώσῃ ἀρχῇ πάντων ὁμοίως ἐπιμελεῖσθαι
*over-the people set office all-of-them alike to-take-care-of*
τῶν ἐγκλημάτων ἐπέστελλεν, ἐρίζειν σφίσι πρὸς ἀλλήλους
*the charges enjoined to-vie them with each-other*
εἰπὼν ὅστις αὐτῶν πλείους τε καὶ θᾶσσον διαφθείρειν
*having-said which-ever of-them more both and faster to-destroy*
ἱκανὸς εἴη.
*able might-be*
καὶ αὐτῶν ἕνα μὲν αὐτὸν εὐθὺς ἐρέσθαι φασίν, ἢν ἐς 14
*and of-them one indeed him at-once to-have-asked they-say if to*
τοὺς τρεῖς τίς ποτε διαβάλλοιτο, τίνος ἂν αὐτῶν ἡ τοῦ
*the three anyone ever should-be-accused of-whom — of-them the of-the*
πράγματος διάγνωσις εἴη· τὸν δὲ ὑπολαβόντα φάναι,
*matter judgment might-be him and having-answered to-say*
ὅστις ἂν αὐτῶν προτερήσας τοὺς ἄλλους φθάνοι.
*whichever — of-them having-got-ahead the others should-be-first*
ἀλλὰ καὶ τὴν τοῦ κοιαίστωρος καλουμένην ἀρχὴν διέθετο 15
*but also the of-the quaestor called office he-arranged*
οὐδενὶ κόσμῳ, ἥσπερ διαφερόντως ἐπεμελοῦντο οἱ
*with-no order of-which-indeed exceptionally took-care those*
πρότερον βεβασιλευκότες, ὡς εἰπεῖν, ἅπαντες, ὅπως τε
*before having-reigned so-to speak all so-that both*
τὰ ἄλλα ἔμπειροι καὶ σοφοὶ τὰ ἐς τοὺς νόμους
*the-things other experienced and wise the-things for the laws*
μάλιστα εἶεν οἱ ταύτην διαχειρίσαντες καὶ χρημάτων
*most might-be those it having-administered and of-money*
διαφανῶς ἀδωρότατοι, ὡς οὐκ ἄνευ μεγάλου ὀλέθρου
*plainly most-incorruptible as not without great ruin*
τούτου γε τῇ πολιτείᾳ γενησομένου, εἴπερ οἱ
*this at-least to-the state being-going-to-come-about if-indeed those*

ταύτην τὴν ἀρχὴν ἔχοντες ἢ ἀπειρίᾳ τινὶ ἔχοιντο
*this the office holding either by-inexperience some should-be-held*
ἢ φιλοχρηματίᾳ ἐφεῖντο.
*or to-love-of-money should-be-given-over*

16 ὁ δὲ βασιλεὺς οὗτος πρῶτον μὲν ἐπὶ ταύτης Τριβωνιανὸν
*the and emperor this first indeed over this Tribonian*
κατεστήσατο, οὗπερ τὰ ἐπιτηδεύματα ἐν τοῖς ἔμπροσθεν
*set whose-very the pursuits in the earlier*
λόγοις διαρκῶς εἴρητο.
*books sufficiently had-been-told*

17 ἐπεὶ δὲ ὁ Τριβωνιανὸς ἐξ ἀνθρώπων ἠφάνιστο, μοῖραν
*when and — Tribonian from men had-vanished portion*
μὲν αὐτοῦ τῆς οὐσίας ἀφείλετο, καίτοι παιδός τέ οἱ
*indeed of-his of-the property he-took-away although son both to-him*
ἀπολελειμμένου καὶ πλήθους ἐκγόνων, ἐπεὶ ἐπεγένετο τῷ
*having-been-left and a-multitude of-descendants since came-upon to-the*
ἀνθρώπῳ ἡ τέλειος ἡμέρα τοῦ βίου, Ἰούνιλον δὲ Λίβυν
*man the final day of-the life Junilus and Libyan*
γένος ἐπὶ τῆς τιμῆς κατεστήσατο ταύτης, νόμου μὲν οὐδὲ
*by-race over the honor he-set this of-law indeed not-even*
ὅσον ἀκοὴν ἔχοντα, ἐπεὶ οὐδὲ τῶν ῥητόρων τις ἦν,
*as-much-as hearing having since not-even of-the orators any was*
γράμματα δὲ Λατῖνα μὲν ἐξεπιστάμενον, Ἑλληνικῶν μέντοι
*letters and Latin indeed knowing-well of-Greek however*
ἕνεκα οὐδὲ πεφοιτηκότα πρὸς γραμματιστοῦ πώποτε,
*for-the-sake-of not-even having-gone to grammarian's ever*
οὐδὲ τὴν γλῶσσαν αὐτὴν ἑλληνίζειν δυνάμενον (πολλάκις
*nor the tongue itself to-speak-Greek able often*
ἀμέλει φωνὴν Ἑλληνίδα προθυμηθεὶς ἀφεῖναι πρὸς τῶν
*of-course utterance Greek having-been-eager to-utter from the*
ὑπηρετούντων γέλωτα ὤφλεν), ἐς δὲ τὴν αἰσχροκέρδειαν
*attendants laughter he-incurred to and the greed-for-gain*

δαιμονίως ἐσπουδακότα, ὅς γε γράμματα μὲν τὰ
*demonically having-been-zealous who at-least documents indeed the*
βασιλέως ἐν δημοσίῳ ἀπεμπολῶν ὡς ἥκιστα κατεδύετο.
*of-emperor in public selling as least was-ashamed*
ἑνὸς δὲ στατῆρος χρυσοῦ ἕνεκα τὴν χεῖρα ὀρέγειν 18
*of-one and stater of-gold for-the-sake-of the hand to-stretch-out*
τοῖς ἐντυγχάνουσιν οὐδαμῇ ὤκνει.
*to-those meeting-(him) in-no-way he-hesitated*
οὐχ ἧσσόν τε ἢ ἑπτὰ ἐνιαυτῶν χρόνον τοῦτον ἡ 19
*not less and than seven of-years time this the*
πολιτεία τὸν γέλωτα ὤφλεν.
*state the laughter incurred*
ἐπεὶ δὲ καὶ Ἰούνιλος ἐς τὸ μέτρον τοῦ βίου ἀφίκετο, 20
*when and also Junilus to the measure of-the life came*
Κωνσταντῖνον ἐπὶ τοῦδε τοῦ ἀξιώματος κατεστήσατο,
*Constantine over this the dignity he-set*
νόμων μὲν ὄντα οὐκ ἀμελέτητον, νέον δὲ κομιδῇ καὶ
*of-laws indeed being not unpracticed young but very and*
οὔπω ἀγωνίας δικανικῆς ἐς πεῖραν ἐλθόντα, κλεπτίστατον
*not-yet of-contest judicial into trial having-come most-thievish*
δὲ καὶ ἀλαζονικώτατον ἀνθρώπων ἁπάντων.
*but and most-boastful of-men all*
οὗτος Ἰουστινιανῷ ποθεινότατός τε ἄγαν καὶ φίλτατος 21
*this-one to-Justinian most-beloved both very and dearest*
ἐν τοῖς μάλιστα ἐγεγόνει, ἐπεὶ καὶ δι᾽ αὐτοῦ κλέπτειν
*among the most had-become since also through him to-steal*
τε καὶ δικάζειν ἀεὶ ὁ βασιλεὺς οὗτος οὐδαμῇ ἀπηξίου.
*both and to-judge always the emperor this in-no-way disdained*
διὸ δὴ χρήματα μεγάλα χρόνου ὀλίγου Κωνσταντῖνος 22
*wherefore indeed money great in-time short Constantine*
ἔσχε καὶ ὑπερφυεῖ τινι κόμπῳ ἐχρῆτο, ἀεροβατῶν τε
*got and extraordinary some boasting used walking-the-air both*

καὶ πάντας ἀνθρώπους περιφρονῶν, κἂν μέν τινες
*and all men despising and-if indeed some*
αὐτῷ πολλὰ βούλοιντο χρήματα προέσθαι, ταῦτα δὴ
*to-him much should-wish money to-lavish these(-things) indeed*
κατατιθέντες τῶν οἱ πιστοτάτων τισὶ τὰ σφίσιν
*depositing with-those his most-faithful some the-things by-them*
ἐσπουδασμένα κατορθοῦν ἴσχυον.
*desired to-accomplish they-were-able*

23 αὐτῷ μέντοι ἐντυχεῖν ἢ ξυγγενέσθαι τῶν πάντων οὐδενὶ
*him however to-meet or to-be-with of-the all to-no-one*
γέγονε δυνατόν, ὅτι μὴ ἐς βασιλέα δρόμῳ ἰόντι ἢ
*was possible except — to emperor at-a-run going or*
ἀπαλλασσομένῳ ἐνθένδε οὐ βάδην, ἀλλὰ σπουδῇ τε καὶ
*departing thence not at-a-walk but with-haste both and*
τάχει πολλῷ τοῦ μή τινά οἱ ἀκερδῆ ἀσχολίαν τοὺς
*with-speed much of-the not any to-him unprofitable business those*
προσιόντας προστρίβεσθαι.
*approaching to-inflict*

*The praetorian prefect exacts more than thirty centenaria a year beyond the taxes, called the aerikon, as if it came from the air. Justinian lets his magistrates grow rich and then strips them, as he did John the Cappadocian; only Phocas and Bassus remain honest, and briefly. He sells governorships to the worst men, who borrow the price at interest and recover it by plundering their provinces. He makes the buyers swear to take no bribes and sells the offices openly within a year. Later he hires governors on a salary to send him the plunder. The generals of Thrace and Illyria are forbidden to attack the Huns on their way home.*

Ταῦτα μὲν οὖν τῇδε βασιλεῖ τῷδε εἶχε. πρὸς δὲ τοῦ τῶν 1
*these(-things) indeed then thus for-emperor this stood by and the of-the*
πραιτωρίων ἐπάρχου ἀνὰ πᾶν ἔτος πλέον ἢ τριάκοντα
*praetorian prefect through every year more than thirty*
κεντηνάρια πρὸς τοῖς δημοσίοις ἐπράσσετο φόροις.
*centenaria besides the public were-exacted taxes*
οἷς δὴ ὄνομα τὸ ἀερικὸν ἐπιτέθεικεν, ἐκεῖνο, οἶμαι, 2
*on-which indeed name the aerikon he-has-put that-thing I-think*
παραδηλῶν, ὅτι δὴ οὐ τεταγμένη τις οὐδὲ ξυνειθισμένη
*intimating that indeed not fixed any nor customary*
οὖσα ἡ φορὰ ἐτύγχανεν αὕτη, ἀλλὰ τύχῃ τινὶ ὥσπερ
*being the levy happened this but by-chance some as-if*
ἐξ ἀέρος ἀεὶ αὐτὴν φερομένην ἐλάμβανε, δέον
*from air always it borne he-took although-it-was-needful*
τῆς πονηρίας τῆς αὐτοῦ ταῦτα ἐπικαλεῖν ἔργα.
*of-the wickedness the his these(-things) to-call works*
ὧν δὴ τῷ ὀνόματι οἱ ἐπὶ τῆς ἀρχῆς τεταγμένοι 3
*of-which indeed by-the name those over the office set*
ἀδεέστερον ἀεὶ ταῖς ἐς τοὺς κατηκόους λῃστείαις
*more-fearlessly always the upon the subjects robberies*
ἐχρῶντο.
*used*

4 καὶ ταῦτα μὲν τῷ αὐτοκράτορι ἀποφέρειν ἠξίουν,
*and these(-things) indeed to-the autocrat to-carry-off they-deemed-fit*
αὐτοὶ δὲ πλοῦτον βασιλικὸν περιεβάλλοντο οὐδενὶ
*they-themselves but wealth royal surrounded-themselves-with with-no*
πόνῳ.
*toil*

5 ὧνπερ Ἰουστινιανὸς ἐπιστροφὴν οὐδεμίαν ἐδικαίου
*of-which-indeed Justinian attention none deemed-right*
ποιεῖσθαι, καιροφυλακῶν ὅπως, ἐπειδὰν τάχιστα πλούτου
*to-make watching-for-the-occasion so-that when soonest of-wealth*
τι μέγα περιβάλωνται χρῆμα, ἔγκλημα ὅ
*some great they-should-surround-themselves-with amount charge what*
τι δὴ αὐτοῖς ἐπενεγκὼν ἀπροφάσιστον ἀθρόον αὐτοῖς
*— indeed on-them having-brought beyond-excuse in-bulk from-them*
ἀφαιρεῖσθαι τὴν οὐσίαν ἱκανὸς εἴη. ὅπερ καὶ
*to-take-away the property able he-might-be which-very-thing also*
Ἰωάννην τὸν Καππαδόκην εἰργάσατο.
*John the Cappadocian he-did*

6 ἅπαντες οὖν ἀμέλει ὅσοι τῆς τιμῆς ὑπὸ τὸν χρόνον
*all then of-course as-many-as of-the office under the time*
τοῦτον ἐλαμβάνοντο πλούσιοι ἐξαπιναίως οὐδενὶ γεγένηνται
*this took-hold rich suddenly with-no have-become*
μέτρῳ, δυοῖν μέντοι χωρίς, Φωκᾶ τε, οὗπερ ἐν τοῖς
*measure two however apart Phocas both whom-indeed in the*
ἔμπροσθεν λόγοις ἐμνήσθην ἅτε τοῦ δικαίου ἐς τὸ
*earlier books I-mentioned as of-the justice to the*
ἀκρότατον ἐπιμελητοῦ γεγονότος· κέρδους γὰρ ὁτουοῦν
*highest guardian having-been of-gain for any-whatever*
οὗτος ὁ ἀνὴρ ἐν τῷ ἀξιώματι καθαρὸς ἔμεινε, καὶ
*this the man in the dignity clean remained and*
Βάσσου, ὃς δὴ ἐν χρόνῳ τῷ ὑστέρῳ τὴν ἀρχὴν ἔλαβεν.
*Bassus who indeed in time the later the office took*

ὧνπερ οὐδέτερος ἐνιαυτὸν διασώσασθαι τὴν τιμὴν ἔσχεν, 7
*of-whom neither a-year to-preserve the office could*
ἀλλ᾽ ἅτε ἀχρεῖοί τε καὶ τοῦ καιροῦ τὸ παράπαν ἀλλόκοτοι
*but as useless both and to-the time the at-all out-of-place*
μηνῶν που ὀλίγων τοῦ ἀξιώματος ἔξω γεγένηνται.
*in-months somewhere few of-the dignity outside have-become*
ἵνα δὲ μὴ τὸ καθ᾽ ἕκαστόν μοι διηγουμένῳ ἀτελεύτητος 8
*so-that and not the in each-point by-me narrating endless*
ὁ λόγος εἴη, ταῦτα κἀν ταῖς ἄλλαις ἐπράσσετο ταῖς
*the account might-be these(-things) also-in the other were-done the*
ἐν Βυζαντίῳ ἀρχαῖς.
*in Byzantium offices*
Πανταχόθι μέντοι τῆς Ῥωμαίων ἀρχῆς ὁ Ἰουστινιανὸς 9
*everywhere however of-the of-Romans empire — Justinian*
ἐποίει τάδε. τοὺς πονηροτάτους τῶν ἀνθρώπων
*did these(-things) the most-wicked of-the men*
ἀπολεξάμενος διεφθάρθαι ἀπεδίδοτο τὰς ἀρχὰς σφίσι
*having-picked-out to-be-corrupt sold the offices to-them*
χρημάτων μεγάλων.
*for-money great*
σώφρονι γὰρ ἀνδρὶ ἢ ξυνέσεως ὁπωστιοῦν μεταλαχόντι 10
*for-a-temperate for man or of-understanding in-any-way having-a-share*
ἔννοια οὐδεμία ἐγένετο χρήματα οἰκεῖα προΐεσθαι, ἐφ᾽ ᾧ
*thought none arose money own to-lavish on which*
δὴ τοὺς οὐδὲν ἠδικηκότας λῃΐζηται.
*indeed those nothing having-done-wrong he-might-plunder*
τοῦτό τε τὸ χρυσίον πρὸς τῶν ξυμβαλλόντων κεκομισμένος 11
*this and the gold from those contracting having-received*
ἐς τὴν ἐξουσίαν αὐτοὺς ἐνεβίβαζε τοῦ τοὺς κατηκόους
*to the license them he-brought of-the the subjects*
πάντα ἐργάζεσθαι.
*all-things to-work-on*

12 ἀφ᾽ ὧν ἔμελλον τὰς χώρας αὐτοῖς ἀνθρώποις
*from which they-were-about the lands with-the-very men*
ἀπολοῦντες ἁπάσας πλούσιοι τὸ λοιπὸν ἔσεσθαι αὐτοί.
*destroying all rich for-the rest to-be themselves*
13 οἱ δὲ τὰς τῶν πόλεων τιμὰς ἐπὶ τόκοις ἁδροῖς τισιν
*they and the of-the cities offices at interests heavy some*
ἀπὸ τῆς τραπέζης δεδανεισμένοι καὶ τῷ ἀποδεδομένῳ
*from the bank having-borrowed and to-the having-sold*
ἀπαριθμήσαντες, ἐπειδὴ ἐγίνοντο ἐν ταῖς πόλεσι, πᾶσαν
*having-counted-out when they-came in the cities every*
κακοῦ ἰδέαν ἐς τοὺς ἀρχομένους ἀεὶ ἐνδεικνύμενοι οὐκ
*of-evil form toward the governed always displaying not*
ἄλλου του ἐν ἐπιμελείᾳ καθίσταντο ἢ ὅπως τοῖς χρήσταις
*of-other anything in care were-set than how to-the creditors*
τὰ ὡμολογημένα τελέσειαν καὶ αὐτοὶ τὸ λοιπὸν ἐν
*the-things agreed they-might-pay and themselves for-the rest among*
τοῖς πλουσιωτάτοις τετάξονται, οὐκ ἔχοντος αὐτοῖς κίνδυνόν
*the richest will-be-ranked not bringing to-them danger*
τινα ἢ ὕβριν τοῦ ἔργου, φέροντος δέ τι καὶ δόξης
*any or outrage the deed bringing but something also of-glory*
μᾶλλον, ὅσῳ καὶ πλείους τῶν σφίσι παραπεπτωκότων
*more by-as-much-as also more of-those to-them having-fallen-in-their-way*
οὐδενὶ λόγῳ ἀποκτείναντες ληΐζεσθαι ἴσχυον.
*with-no reason having-killed to-plunder they-were-able*
14 τὸ γὰρ τοῦ φονέως τε καὶ λῃστοῦ ὄνομα ἐς τὸ τοῦ
*the for of-the murderer both and robber name to the of-the*
δραστηρίου αὐτοῖς ἀποκεκρίσθαι ξυνέβαινεν.
*energetic for-them to-have-come-out it-happened*

ὅσους μέντοι τῶν ἐχόντων ἀρχὰς ἤσθετο πλούτῳ 15
*as-many-as however of-those holding offices he-perceived in-wealth*
ἀκμάζοντας, τούτους δὴ σκήψεσι σαγηνεύσας εὐθὺς
*flourishing these indeed with-pretexts having-netted at-once*
ἅπαντα συλλήβδην ἀφῃρεῖτο τὰ χρήματα.
*all in-sum he-took-away the money*
Μετὰ δὲ νόμον τοὺς τὰς ἀρχὰς ἔγραψε μετιόντας 16
*afterward and a-law those the offices he-wrote seeking*
ὀμνύναι ἢ μὴν καθαροὺς ἀπὸ πάσης κλοπῆς σφᾶς
*to-swear truly indeed clean from all theft them*
αὐτοὺς ἔσεσθαι, καὶ μήτε τι δώσειν τῆς ἀρχῆς
*selves to-be-going-to-be and neither anything to-be-going-to-give of-the office*
ἕνεκα μήτε λήψεσθαι.
*for-the-sake-of nor to-be-going-to-take*
ἀράς τε πάσας ἐπέβαλεν, ὅσαι πρὸς τῶν παλαιοτάτων 17
*curses and all he-laid-on as-many-as by the most-ancient*
ὠνομασμέναι εἰσίν, ἤν τις τῶν γεγραμμένων ἐκβαίη.
*named are if anyone of-the-things written should-transgress*
ἀλλὰ τοῦ νόμου τεθέντος οὔπω ἐνιαυτὸν αὐτὸς μὲν 18
*but the law having-been-laid-down not-yet a-year he-himself indeed*
τῶν γεγραμμένων καὶ κατηραμένων ὀλιγωρήσας, καὶ
*of-the-things written and cursed having-slighted and*
τῆς ὑπὲρ τούτων αἰσχύνης ἀδεέστερον τὰ τιμήματα τῶν
*of-the for these shame more-fearlessly the prices of-the*
ἀρχῶν οὐκ ἐν παραβύστῳ, ἀλλ' ἐς τὸ δημόσιον τῆς
*offices not in secret but in the public-square of-the*
ἀγορᾶς ἔπραττεν.
*market exacted*
οἱ δὲ τὰς ἀρχὰς ὠνημένοι διώμοτοι μᾶλλον ἢ πρότερον 19
*they and the offices having-bought under-oath more than before*
πάντα ἐσύλων.
*all-things plundered*

20 Ὕστερον δὲ καὶ ἄλλο τι ἐπετεχνήσατο ἀκοῆς κρεῖσσον.
*later and also other some he-contrived than-hearing greater*
τῶν ἀρχῶν, ἅσπερ ἀξιωτάτας ἔν τε Βυζαντίῳ καὶ πόλεσι
*of-the offices which-very most-valuable in both Byzantium and cities*
ταῖς ἄλλαις ᾤετο εἶναι, οὐκέτι ἀπεμπολεῖν ἔγνω ἥπερ
*the other he-thought to-be no-longer to-sell he-resolved as-indeed*
τὰ πρότερα, μισθωτοὺς δὲ διερευνώμενος ἐχειροτόνει,
*the formerly hirelings but searching-out he-appointed*
τάξας αὐτοῖς ὅ τι δὴ μισθαρνοῦντας ἀποφέρειν αὐτῷ
*having-fixed for-them what — indeed hired to-carry-off to-him*
τὰ φώρια πάντα.
*the thefts all*

21 οἱ δὲ τὴν μίσθωσιν κεκομισμένοι ἀδεέστερον ξυμφορήσαντες
*they and the hire having-received more-fearlessly having-gathered*
ἐκ πάσης γῆς ἅπαντα ἔφερον καὶ περιήρχετο μισθοφόρος
*from all land all-things carried and went-around mercenary*
ἐξουσία τῷ τῆς ἀρχῆς ὀνόματι καταληϊζομένη τοὺς
*license by-the of-the office name plundering the*
ὑπηκόους.
*subjects*

22 οὕτως ὁ βασιλεὺς ἀκριβολογούμενος τὸν ἅπαντα χρόνον
*thus the emperor being-exacting the whole time*
ἐκείνους ἐφίστη τοῖς πράγμασιν οἳ δὴ πάντων κατὰ
*those set-over the affairs who indeed of-all according-to*
τὸν ἀληθῆ λόγον μιαρώτατοι ἦσαν, ἀεί τε τὸ κακὸν
*the true account most-foul were always and the evil*
τοῦτο ἰχνηλατῶν κατετύγχανεν.
*this tracking-down he-hit-upon*

23 ἡνίκα οὖν ἀμέλει τοὺς πρώτους πονηροὺς ἐπὶ τῆς ἀρχῆς
*when then of-course the first wicked-men over the office*
κατεστήσατο ἐς φῶς τε αὐτῶν ἡ τῆς δυνάμεως ἐξουσία
*he-set to light and their the of-the power license*

τὴν κακοτροπίαν ἐξήνεγκεν, ἐθαυμάζομέν γε ὅπως δὴ
*the depravity brought-out we-marveled at-least how indeed*
κακότητα τοσαύτην ἀνθρώπου φύσις ἐχώρησεν.
*wickedness so-great of-man nature contained*
ἐπεὶ δὲ αὐτοὺς οἱ χρόνῳ τῳ ἀρχὰς ἐκδεξάμενοι πολλῷ 24
*when and them those at-time some offices having-succeeded by-much*
τῷ περιόντι παρελᾶν ἴσχυσαν, διηποροῦντο πρὸς ἀλλήλους
*the excess to-surpass were-able were-at-a-loss with each-other*
οἱ ἄνθρωποι ὅντινα τρόπον οἱ πρόσθεν πονηρότατοι
*the men in-what manner those before most-wicked*
δόξαντες τοσούτῳ παραλόγῳ ἅτε αὐτοὶ καλοὶ καὶ
*having-seemed by-so-great paradox as themselves noble and*
ἀγαθοὶ γεγονότες ἐν τοῖς σφετέροις ἐπιτηδεύμασι, πρὸς
*good having-become in the their-own pursuits by*
τῶν ἐπιγενομένων ἡσσήθησαν, αὖθίς τε οἱ τρίτοι τοὺς
*those coming-after were-defeated again both the third the*
δευτέρους ὑπερηκόντισαν πονηρίᾳ τῇ πάσῃ, καὶ μετ᾽
*second outstripped in-wickedness the all and after*
ἐκείνους ἕτεροι τοῖς τῶν ἐγκλημάτων καινοτομήμασιν
*those others by-the of-the charges innovations*
ὄνομα χρηστὸν τοῖς φθάσασι προσετρίψαντο.
*name good on-those having-preceded bestowed*
μηκυνομένου τε τοῦ κακοῦ πᾶσιν ἐκμεμαθηκέναι τῷ 25
*being-prolonged and the evil for-all to-have-learned-thoroughly by-the*
ἔργῳ ξυνέβη ὅτι δὴ τοῖς ἀνθρώποις ἐπ᾽ ἄπειρον
*deed it-befell that indeed in-the men to infinity*
μὲν ἡ πονηρία φύεσθαι εἴωθε, μαθήσει δὲ τῶν
*indeed the wickedness to-grow is-wont by-learning and of-the-things*
προγεγενημένων ἐκτρεφομένη καὶ τῇ τῆς παρρησίας
*done-before being-nourished and by-the of-the frankness*
ἐξουσίᾳ ἐς τὸ λυμαίνεσθαι τοῖς παραπίπτουσιν ἐξαγομένη
*license toward the to-maltreat those falling-in-the-way being-led-on*

ἐς τοσόνδε ἀεὶ ἐξικνεῖσθαι δοκεῖ ἐς ὅσον δύναται ἡ
*to so-great always to-reach it-seems to as-much-as is-able the*
τῶν βλαπτομένων σταθμᾶσθαι δόξα.
*of-those being-harmed to-weigh opinion*

26 Ῥωμαίοις μὲν οὖν τά γε ἀμφὶ τοῖς ἄρχουσι ταύτῃ
*for-Romans indeed then the-things at-least about the magistrates thus*
πη εἶχε. Πολλάκις δὲ καὶ Οὔννων πολεμίων στρατῷ
*somehow stood often and also of-Huns enemy army*
ἀνδραποδίσασί τε καὶ ληϊσαμένοις τὴν Ῥωμαίων ἀρχὴν
*having-enslaved both and having-plundered the of-Romans empire*
οἱ Θρᾳκῶν τε καὶ Ἰλλυριῶν στρατηγοὶ βεβουλευμένοι
*the of-Thracians both and of-Illyrians generals having-resolved*
ἀναχωροῦσιν ἐπιθήσεσθαι ἀπεπήδησαν, ἐπεὶ βασιλέως
*as-they-withdrew to-attack sprang-off since of-emperor*
Ἰουστινιανοῦ γράμματα εἶδον, ἀπεροῦντα σφίσι τὴν ἐς
*Justinian letters they-saw forbidding them the upon*
τοὺς βαρβάρους ἐπίθεσιν, ἀναγκαίων αὐτῶν ἐς ξυμμαχίαν
*the barbarians attack needful them for alliance*
Ῥωμαίοις ὄντων ἐπὶ Γότθους ἴσως ἢ ἐπὶ ἄλλους
*to-Romans being against Goths perhaps or against other*
πολεμίων τινάς.
*of-enemies some*

27 καὶ ἀπ᾽ αὐτοῦ οἱ βάρβαροι οὗτοι ἐληΐζοντο μὲν ὡς
*and from it the barbarians these plundered indeed as*
πολέμιοι καὶ ἠνδραποδίζοντο τοὺς τῇδε Ῥωμαίους, ξὺν
*enemies and enslaved the there Romans with*
δὲ τῇ ἄλλῃ λείᾳ καὶ τοῖς αἰχμαλώτοις ἅτε φίλοι καὶ
*and the other booty and the captives as friends and*
ξύμμαχοι Ῥωμαίοις ὄντες ἐπ᾽ οἴκου ἀπεκομίζοντο.
*allies to-Romans being toward home were-carried-off*

πολλάκις δὲ καὶ γεωργῶν τῶν ἐνταῦθά τινες, παίδων τε 28
*often and also of-farmers of-the there some for-children both*
σφετέρων καὶ γυναικῶν πόθῳ ἐξηνδραποδισμένων ἠγμένοι,
*their-own and for-women longing having-been-enslaved led*
ἀθρόοι τε γεγενημένοι ἀναχωροῦσι πολλοὺς ἐτύγχανον
*in-a-body both having-become the-withdrawing many happened*
κτείναντες, καὶ αὐτῶν τοὺς ἵππους ἴσχυσαν ξὺν πάσῃ
*having-killed and their the horses were-able with all*
ἀφελέσθαι τῇ λείᾳ, πραγμάτων μέντοι ἐς πεῖραν ἦλθον
*to-take-away the booty troubles however into trial came*
ἐνθένδε δυσκόλων.
*thence hard*
ἐκ Βυζαντίου γάρ τινες ἐσταλμένοι αἰκίζεσθαί τε αὐτῶν 29
*from Byzantium for some sent to-maltreat both their*
καὶ λωβᾶσθαι τὰ σώματα καὶ χρήμασι ζημιοῦν οὐδεμιᾷ
*and to-mutilate the bodies and with-money to-fine with-no*
ὀκνήσει ἠξίουν, ἕως τοὺς ἵππους ἅπαντας δοῖεν
*hesitation deemed-fit until the horses all they-should-give*
οὕσπερ τοὺς βαρβάρους ἀφείλοντο.
*which-very-ones the barbarians they-took-from*

*After John the Cappadocian falls, Theodotus is appointed prefect, and then the Syrian money-changer Peter Barsymes, a practiced thief whom Theodora favors. He cheats the soldiers of their pay, sells offices openly, and forces rotten grain on the eastern cities at inflated prices. When the harvest fails, he compels the farmers of Bithynia, Phrygia, and Thrace to deliver grain to Byzantium at a loss, and the city still goes short. Theodora protects him, believed bewitched by his sorcery, and when he is removed she has him made head of the treasury, where he cuts the stipends and debases the gold coin.*

1 Ἡνίκα δὲ βασιλεύς τε καὶ Θεοδώρα τὸν Καππαδόκην
*when and emperor both and Theodora the Cappadocian*
Ἰωάννην ἀνεῖλον, ἀντικαθιστάναι μὲν ἐς τιμὴν τὴν αὐτοῦ
*John removed to-replace indeed into office the his*
ἤθελον, ἄνδρα δέ τινα πονηρότερον εὑρεῖν ἐπὶ κοινῆς
*they-wished man but some more-wicked to-find in common*
ἐν σπουδῇ ἐποιοῦντο, περισκοπούμενοί τε τὸ τοιοῦτο
*in earnestness they-made looking-around both the such*
τῆς τυραννίδος ὄργανον καὶ πάσας διερευνῶντες τὰς
*of-the tyranny instrument and all searching-out the*
τῶν ἀνθρώπων γνώμας, ὅπως ἔτι θᾶσσον τοὺς ὑπηκόους
*of-the men minds so-that still faster the subjects*
ἀπολεῖν δύνωνται.
*to-destroy they-might-be-able*

2 ἐν μὲν οὖν τῷ παραυτίκα Θεόδοτον ἀντ᾽ αὐτοῦ ἐπὶ τῆς
*in indeed then the immediately Theodotus instead-of him over the*
ἀρχῆς κατεστήσαντο, ἄνδρα οὐ καλοήθη μέν, οὐ σφόδρα
*office they-set a-man not good-natured indeed not very*
δὲ ἀρέσκειν αὐτοῖς ἱκανὸν γεγονότα.
*but to-please them able having-become*

ὕστερον δὲ ἅπαν διερευνώμενοι περιήρχοντο. εὗρον δὲ 3
*later and everything searching-out they-went-around they-found and*
παρὰ δόξαν ἀργυραμοιβόν τινα Πέτρον ὀνόματι, Σύρον
*contrary-to expectation money-changer a-certain Peter by-name Syrian*
γένος, ὅνπερ ἐπίκλησιν Βαρσύμην ἐκάλουν· ὃς πάλαι μὲν
*by-race whom-indeed by-surname Barsymes they-called who long-ago indeed*
ἐπὶ τῆς τοῦ χαλκοῦ τραπέζης καθήμενος κέρδη αἰσχρότατα
*at the of-the copper table sitting gains most-shameful*
ἐκ ταύτης δὴ ἐπορίζετο τῆς ἐργασίας, τὴν περὶ
*from this indeed procured of-the business the concerning*
τοὺς ὀβολοὺς κλοπὴν εὖ μάλα τεχνάζων καὶ τοὺς αὐτῷ
*the obols theft well very contriving and those with-him*
ξυμβάλλοντας ἀεὶ τῷ τῶν δακτύλων τάχει ἐκκρούων.
*dealing always by-the of-the fingers speed cheating*
δεξιὸς γὰρ ἦν κλέψαι μὲν τὰ τῶν αὐτῷ 4
*clever for he-was to-steal indeed the-things of-those him*
περιπεπτωκότων ἀνέδην, ἁλοὺς δὲ ὁμόσαι καὶ τῶν
*having-met openly having-been-caught but to-swear and of-the*
χειρῶν τὸ ἁμάρτημα τῷ τῆς γλώττης περικαλύψαι
*hands the fault with-the of-the tongue to-cover*
θράσει.
*boldness*
ἐν δὲ τοῖς τῶν ὑπάρχων στρατιώταις καταλεχθεὶς ἐς 5
*among and the of-the prefects soldiers enrolled to*
τοσοῦτον ἀτοπίας ἐλήλακεν ὥστε Θεοδώρᾳ ἀρέσκειν τε
*so-great of-outrageousness he-has-driven that to-Theodora to-please both*
ἐν τοῖς μάλιστα καὶ ἐς τῶν ἀδίκων αὐτῇ βουλημάτων
*among the most and to of-the unjust her wishes*
ῥᾷστα ὑπουργεῖν τὰ ἀμήχανα.
*most-easily to-serve the impossible-things*

6 διὸ δὴ Θεόδοτον μέν, ὅνπερ μετὰ τὸν Καππαδόκην
*wherefore indeed Theodotus indeed whom-very after the Cappadocian*
καταστησάμενοι ἔτυχον, τῆς τιμῆς αὐτίκα παρέλυσαν,
*having-appointed they-happened of-the office at-once removed*
Πέτρον δὲ ταύτῃ ἐπέστησαν, ὅσπερ αὐτοῖν διεπράξατο
*Peter and to-this they-set-over who-indeed for-the-two accomplished*
κατὰ νοῦν ἅπαντα.
*according-to mind all-things*

7 τούς τε γὰρ στρατευομένους ἀποστερῶν τὰς συντάξεις
*the both for serving-soldiers depriving-of the pay*
ἁπάσας οὔτε αἰσχυνθεὶς οὔτε δείσας πώποτε ὤφθη,
*all neither having-been-ashamed nor having-feared ever was-seen*
ἀλλὰ καὶ ὠνίους τὰς ἀρχὰς ἔτι μᾶλλον ἢ πρότερον
*but also for-sale the offices still more than before*
προὔθηκεν, ἀτιμοτέρας τε αὐτὰς καταστησάμενος ἀπεδίδοτο
*he-set-out cheaper both them having-made he-sold*
τοῖς ταύτην δὴ οὐκ ἀποκνοῦσι τὴν ἀνοσίαν ἐμπορίαν
*to-those this indeed not hesitating the unholy trade*
ἐργάζεσθαι, ἐφιεὶς διαρρήδην τοῖς τὰς ἀρχὰς ὠνησαμένοις
*to-ply permitting expressly to-those the offices having-bought*
ταῖς τῶν ἀρχομένων ψυχαῖς τε καὶ οὐσίαις ᾗ βούλοιντο
*the of-the governed souls both and properties as they-might-wish*
χρήσασθαι.
*to-use*

8 αὐτῷ τε γὰρ εὐθὺς καὶ τῷ τῆς ἀρχῆς καταβεβληκότι
*for-him both for at-once and for-the of-the office having-paid-down*
τὸ τίμημα ᾗ τοῦ συλᾶν τε καὶ ἄλλως ἁρπάζειν
*the price the of-the to-plunder both and otherwise to-seize*
ἐξουσία ξυνέκειτο. καὶ προῄει μὲν ἐκ τοῦ κεφαλαίου τῆς
*license was-agreed and proceeded indeed from the head of-the*
πολιτείας ᾗ τῶν βίων ὠνή,
*state the of-the lives sale*

ἐπράττετό τε τὸ συμβόλαιον τῆς τῶν πόλεων διαφθορᾶς 9
*was-transacted both the contract of-the of-the cities ruin*
ἔν τε τῶν δικαστηρίων τοῖς προὔχουσι καὶ τῷ δημοσίῳ
*in both of-the courts the chief-ones and the public-square*
τῆς ἀγορᾶς περιήρχετο λῃστὴς ἔννομος, ὄνομα τῇ πράξει
*of-the market went-around robber lawful name to-the practice*
τιθεὶς τὴν συλλογὴν τῶν ἐπὶ τοῖς τιμήμασι τῆς ἀρχῆς
*giving the collection of-the upon the prices of-the office*
καταβεβλημένων χρημάτων, οὐκ ἐχούσης τινὰ ἐλπίδα τῆς
*paid-down money not having any hope of-the*
τῶν ἁμαρτανομένων ἐπιστροφῆς.
*of-the-things done-wrong attention*
καὶ πάντων δὲ τῶν τῇ ἀρχῇ ὑπηρετούντων, πολλῶν τε 10
*and of-all too of-the to-the office serving many both*
καὶ δοκίμων ὄντων, τοὺς πονηροτάτους ἀεὶ ἐς αὐτὸν
*and approved being the most-wicked always to himself*
εἵλκε.
*drew*
τοῦτο δὲ οὐκ αὐτὸς ἐξήμαρτε μόνος, ἀλλὰ καὶ ὅσοι 11
*this and not he-himself did-wrong alone but also as-many-as*
ταύτην πρότερόν τε καὶ ὕστερον τὴν τιμὴν ἔσχον.
*this before both and after the office held*
Ἡμαρτάνετο δὲ τοιοῦτο κἀν τῇ τοῦ μαγίστρου καλουμένου 12
*was-done-wrong and such(-thing) also-in the of-the master called*
ἀρχῇ κἀν τοῖς Παλατίνοις, οἳ δὴ ἀμφί τε τοὺς θησαυροὺς
*office also-in the Palatini who indeed about both the treasuries*
καὶ τὰ πριβᾶτα καλούμενα τό τε πατριμώνιον ἐπιτελεῖν ἀεὶ
*and the privata called the both patrimonium to-perform always*
τὴν ὑπουργίαν εἰώθασιν, ἐν πάσαις τε συλλήβδην εἰπεῖν ταῖς
*the service are-accustomed in all both in-sum to-say the*
ἐν Βυζαντίῳ καὶ πόλεσι ταῖς ἄλλαις τεταγμέναις ἀρχαῖς.
*in Byzantium and cities the other appointed offices*

13 ἐξ οὗ γὰρ ὅδε ὁ τύραννος τὰ πράγματα διῳκήσατο,
*from which for this the tyrant the affairs managed*
ἐν ἀρχῇ ἑκάστῃ τοὺς τοῖς ὑπηρετοῦσι προσήκοντας
*in office each the to-the serving-ones belonging*
πόρους πῃ μὲν αὐτός, πῃ δὲ ὁ τὴν τιμὴν ἔχων
*revenues sometimes indeed himself sometimes but the the office holding*
προσεποιοῦντο οὐδενὶ λόγῳ, οἵ τε αὐτοῖς ἐπιτάττουσιν
*appropriated with-no reason those and to-them giving-orders*
ὑπουργοῦντες πενόμενοι τὰ ἔσχατα πάντα τοῦτον τὸν
*serving being-poor the uttermost all this the*
χρόνον δουλοπρεπέστατα ὑπουργεῖν ἠναγκάζοντο.
*time most-servilely to-serve were-compelled*

14 Σίτου δὲ πολλοῦ κομιδῇ ἐς Βυζάντιον κεκομισμένου
*of-grain and much very to Byzantium having-been-brought*
ἐσεσήπει μὲν ὁ πλεῖστος ἤδη, αὐτὸς δὲ τοῦτον πόλεσι ταῖς
*had-rotted indeed the most already he-himself but this on-cities the*
ἑῴαις ἐπέβαλλε κατὰ λόγον ἑκάστῃ, καίπερ οὐκ ἔχοντα
*eastern imposed in proportion on-each although not being*
ἐπιτηδείως ἐς βρῶσιν ἀνθρώπων, ἐπέβαλλέ τε, οὐχ ᾗπερ
*fit for eating of-men imposed both not as-indeed*
ἀποδίδοσθαι τὸν κάλλιστον σῖτον εἰώθει, ἀλλὰ καὶ πολλῷ
*to-be-sold the finest grain was-customary but even by-much*
ἀξιώτερον, ἦν τε τοῖς ὠνουμένοις ἐπάναγκες χρήματα
*more-dearly it-was and for-those buying necessary money*
μεγάλα προεμένοις ἐπὶ τιμήμασι φορτικωτάτοις, εἶτα τὸν
*great having-paid-out at prices most-burdensome then the*
σῖτον ἐς τὴν θάλασσαν ἢ ἔς τινα ὑδροχόην ἀπορριπτεῖν.
*grain into the sea or into some drain to-throw-away*

ἐπεὶ δὲ καὶ σίτου ἀκραιφνοῦς τε καὶ οὔπω σεσηπότος μέγα 15
*when and also of-grain pure both and not-yet rotted great*
τι πλῆθος ἐνταῦθα ἀπέκειτο, καὶ τοῦτο πλείστων τῶν
*some multitude there was-stored and this of-most of-the*
πόλεων ταῖς σίτου ὑποσπανιζούσαις ἀπεμπολεῖν ἔγνω.
*cities to-those of-grain being-short to-sell he-resolved*
ταύτῃ γὰρ διπλάσια τὰ χρήματα ἐποίει ἅπερ τοῖς 16
*thus for double the money he-made which for-the*
ὑποτελέσι τὸ δημόσιον ὑπὲρ τοῦδε τοῦ σίτου τὰ πρότερα
*taxpayers the treasury for this the grain the formerly*
ἐλελόγιστο.
*had-reckoned*
ἀλλ᾽ ἐπεὶ ἐς νέωτα οὐκέτι ὁμοίως ἡ τῶν καρπῶν φορὰ 17
*but when for the-next-year no-longer likewise the of-the crops yield*
ἤκμαζεν, ἐνδεεστέρως μὲν ἢ κατὰ χρείαν ἐς Βυζάντιον
*flourished more-scantily indeed than according-to need to Byzantium*
ὁ σιταγωγὸς στόλος ἀφίκετο, Πέτρος δὲ τοῖς παροῦσι
*the grain-carrying fleet came Peter and by-the present-things*
διαπορούμενος, ἐκ τῶν ἔν τε Βιθυνίᾳ καὶ Φρυγίᾳ καὶ
*being-at-a-loss from the in both Bithynia and Phrygia and*
Θρᾴκῃ χωρίων πρίασθαι μέγα τι χρῆμα σίτου ἠξίου.
*Thrace places to-buy great some amount of-grain deemed-fit*
ἦν τε ἀναγκαῖον τοῖς ταύτῃ οἰκοῦσι μέχρι μὲν ἐς τὴν 18
*it-was both necessary for-those there dwelling as-far-as indeed to the*
θάλασσαν πόνῳ πολλῷ τὰ φορτία φέρειν, ἐς Βυζάντιον δὲ
*sea with-toil much the loads to-carry to Byzantium and*
ξὺν κινδύνῳ αὐτὰ ἐσκομίζεσθαι καὶ βραχέα μὲν τιμήματα
*with danger them to-bring-in and small indeed prices*
δῆθεν τῷ λόγῳ πρὸς αὐτοῦ φέρεσθαι, τὴν ζημίαν δὲ
*supposedly in-the word from him to-receive the loss but*
αὐτοῖς ἐς τοσόνδε μεγέθους καθίστασθαι ὥστε ἀγαπᾶν
*to-them to so-great of-size to-be-set so-that to-be-content*

ἤν τις αὐτοὺς ἐῴη τόν τε σῖτον οἴκῳ δημοσίῳ
*if anyone them should-allow the both grain to-house public*
χαρίζεσθαι καὶ τίμημα ἕτερον ὑπὲρ αὐτοῦ κατατιθέναι.
*to-give-as-a-gift and price another for it to-pay-down*
19 τοῦτό ἐστι τὸ ἄχθος ὅπερ καλεῖν συνωνὴν νενομίκασιν.
*this is the burden which-very to-call synone they-have-been-accustomed*
ἐπεὶ δὲ οὐδ' ὡς σῖτος ἐν Βυζαντίῳ κατὰ τὴν χρείαν
*when and not-even so grain in Byzantium according-to the need*
ἱκανὸς ἐγεγόνει, πολλοὶ τὸ πρᾶγμα ἐς βασιλέα διέβαλλον.
*sufficient had-become many the matter to emperor denounced*
20 ἅμα δὲ καὶ οἱ στρατευόμενοι σχεδόν τι ἅπαντες
*at-the-same-time and also the serving-soldiers almost — all*
ἅτε τὰς εἰωθυίας οὐ κεκομισμένοι ξυντάξεις, θορύβῳ τε
*as the customary not having-received pay with-uproar both*
ἀνὰ τὴν πόλιν καὶ ταραχῇ πολλῇ εἴχοντο.
*through the city and confusion much were-held*
21 βασιλεὺς μὲν οὖν ἤδη τε αὐτῷ χαλεπῶς ἔχειν ἔδοξε καὶ
*emperor indeed then already both with-him harshly to-be-disposed seemed and*
παραλύειν αὐτὸν τῆς ἀρχῆς ἤθελε διά τε ταῦτα ἅπερ
*to-remove him from-the office wished because-of both these(-things) which*
ἐρρήθη καὶ ὅτι χρήματα δαιμονίως μεγάλα ἠκηκόει αὐτῷ
*were-said and because money demonically great he-had-heard by-him*
ἀποκεκρύφθαι, ἅπερ ἐκ τοῦ δημοσίου σεσυληκὼς ἔτυχε.
*to-have-been-hidden which from the treasury having-plundered he-happened*
22 καὶ ἦν δὲ οὕτως. Θεοδώρα δὲ τὸν ἄνδρα οὐκ εἴα. ἐκτόπως
*and it-was too thus Theodora but the husband not allowed extraordinarily*
γὰρ τὸν Βαρσύμην ἠγάπα, ἐμοὶ μὲν δοκεῖ, τῆς τε πονηρίας
*for — Barsymes she-loved to-me indeed it-seems of-the both wickedness*
ἕνεκα καὶ τοῦ τοῖς κατηκόοις διαφερόντως λυμαίνεσθαι.
*for-the-sake-of and of-the the subjects exceptionally to-maltreat*

αὐτή τε γὰρ ὠμοτάτη ἦν καὶ ἀπανθρωπίας ἀτεχνῶς 23
*she-herself both for most-savage was and of-inhumanity simply*
ἔμπλεως καὶ τοὺς ὑπουργοῦντας ἠξίου τὰ ἐς τὸν
*full and the serving-ones deemed-fit the-things for the*
τρόπον αὐτῇ ἐπιτηδείως ὡς μάλιστα ἔχειν.
*character to-her aptly as most to-have*
φασὶ δὲ αὐτὴν καὶ καταμαγευθεῖσαν πρὸς τοῦ Πέτρου 24
*they-say and her also bewitched by — Peter*
ἀκούσιον αὐτῷ εὐνοϊκῶς ἔχειν.
*unwilling to-him favorably to-be-disposed*
περί τε γὰρ τοὺς φαρμακέας καὶ τὰ δαιμόνια περιέργως 25
*about both for the sorcerers and the demons curiously*
ἐσπουδάκει ὁ Βαρσύμης οὗτος, καὶ τοὺς καλουμένους
*had-been-zealous — Barsymes this and the called*
Μανιχαίους ἐτεθήπει τε καὶ αὐτῶν προστατεῖν ἐκ τοῦ
*Manichaeans admired both and them to-champion from the*
ἐμφανοῦς οὐδαμῇ ἀπηξίου.
*open in-no-way disdained*
καίτοι καὶ ταῦτα ἡ βασιλὶς ἀκούσασα οὐ μεθῆκε τὴν 26
*and-yet even these(-things) the empress having-heard not let-go the*
ἐς τὸν ἄνθρωπον εὔνοιαν, ἀλλὰ μᾶλλον ἔτι διὰ
*toward the man goodwill but more still because-of*
ταῦτα περιστέλλειν τε καὶ ἀγαπᾶν ἔγνω.
*these(-things) to-protect both and to-love resolved*
μάγοις τε γὰρ καὶ φαρμακεῦσι καὶ αὐτὴ ὁμιλήσασα 27
*with-magicians both for and with-sorcerers also herself having-consorted*
ἐκ παιδὸς ἅτε τῶν ἐπιτηδευμάτων αὐτὴν ἐς τοῦτο
*from child as the pursuits her to this*
ἀγόντων διεβίω πιστεύουσά τε τῷ πράγματι τούτῳ
*leading she-lived-through trusting both in-the practice this*
καὶ αὐτῷ τὸ θαρσεῖν ἐς ἀεὶ ἔχουσα.
*and in-it the confidence for ever having*

28 λέγεται δὲ καὶ τὸν Ἰουστινιανὸν οὐ τοσοῦτον θωπεύουσα
*it-is-said and also — Justinian not so-much flattering*
χειροήθη ποιήσασθαι, ὅσον τῇ ἐκ τῶν δαιμονίων
*tame to-have-made as-much-as by-the from the demons*
ἀνάγκῃ.
*compulsion*

29 οὐ γάρ τις ἦν εὔφρων ἢ δίκαιος ὅδε ἀνὴρ ἢ ἐς τὸ
*not for any was sensible or just this man or toward the*
ἀγαθὸν βέβαιος, ὥστε κρείσσων ποτὲ τῆς τοιαύτης
*good steadfast so-that stronger ever than-the such*
ἐπιβουλῆς εἶναι, ἀλλὰ φόνων μὲν καὶ χρημάτων
*plot to-be but of-murders indeed and of-money*
ἔρωτος διαφανῶς ἥσσων, τοῖς δὲ αὐτὸν ἐξαπατῶσι καὶ
*love plainly weaker to-those and him deceiving and*
κολακεύουσιν οὐ χαλεπῶς εἴκων.
*flattering not with-difficulty yielding*

30 ἔν τε πράξεσι ταῖς μάλιστά οἱ ἐσπουδασμέναις
*in both actions the most by-him favored*
μετεβάλλετό τε οὐδενὶ λόγῳ καὶ κονιορτῷ ἐνδελεχέστατα
*he-changed both with-no reason and to-dust most-continually*
ἐμφερὴς ἐγεγόνει.
*like had-become*

31 ταῦτά τοι οὐδέ τις τῶν αὐτοῦ ξυγγενῶν ἢ ἄλλως
*these(-things) surely not-even any of-the his kinsmen or otherwise*
γνωρίμων ἐλπίδα τινά ποτε ἀσφαλῆ ἐπ᾽ αὐτῷ ἔσχεν,
*acquaintances hope any ever secure in him had*
ἀλλὰ μεταναστάσεις αὐτῷ ἐς ἀεὶ τῆς ἐς τὰ ἐπιτηδεύματα
*but shifts in-him for ever of-the in the pursuits*
ἐγίνοντο γνώμης.
*came-about mind*

οὕτω τε καὶ τοῖς φαρμακεῦσιν, ὅπερ ἐρρήθη, εὐέφοδος 32
*thus both also for-the sorcerers as was-said easy-of-approach*
ὢν καὶ τῇ Θεοδώρᾳ πόνῳ οὐδενὶ ὑποχείριος ἐγεγόνει,
*being and — to-Theodora with-toil no subject had-become*
καὶ ἀπ᾽ αὐτοῦ μάλιστα ἡ βασιλὶς ἅτε σπουδαῖον τὰ
*and from it most the empress as zealous the*
τοιαῦτα τὸν Πέτρον ὄντα ὑπερηγάπα.
*such-things — Peter being loved-exceedingly*
ἀρχῆς μὲν οὖν ἧς τὰ πρότερα εἶχε βασιλεὺς αὐτὸν 33
*from-office indeed then which the formerly he-held emperor him*
παρέλυσε μόλις, Θεοδώρας δὲ ἐγκειμένης οὐ πολλῷ
*removed scarcely Theodora but pressing not much*
ὕστερον ἄρχοντα τῶν θησαυρῶν αὐτὸν κατεστήσατο,
*later ruler of-the treasuries him he-set*
Ἰωάννην παραλύσας ταύτης δὴ τῆς τιμῆς, ὅσπερ αὐτὴν
*John having-removed from-this indeed the office who-indeed it*
παρειληφὼς μησί που ὀλίγοις πρότερον ἔτυχεν.
*having-received in-months somewhere few before happened*
ἦν δὲ οὗτος ἀνὴρ γένος μὲν Παλαιστῖνος, πρᾷος δὲ 34
*was and this man by-race indeed Palestinian mild and*
καὶ ἀγαθὸς ἄγαν, καὶ οὔτε πορίζεσθαι χρημάτων ἀδίκων
*also good very and neither to-procure of-money unjust*
πόρους εἰδώς, οὔτε τῳ λυμηνάμενος πώποτε τῶν πάντων
*ways knowing nor anyone having-maltreated ever of-the all*
ἀνθρώπων.
*men*
ἀμέλει καὶ διαφερόντως ἠγάπων αὐτὸν ὁ λεὼς ἅπας. 35
*of-course also exceptionally loved him the people all*
διά τοι τοῦτο Ἰουστινιανόν τε καὶ τὴν ὁμόζυγα οὐδαμῇ
*because-of indeed this Justinian both and the consort in-no-way*
ἤρεσκεν, οἵπερ ἐπειδὴ τῶν σφίσιν ὑπουργούντων καλόν
*he-pleased who-indeed when of-those to-them serving noble*

τε καὶ ἀγαθὸν παρὰ δόξαν τινὰ ἴδοιεν, ἰλιγγιῶντες
*both and good contrary-to expectation any they-should-see being-dizzy*
καὶ δυσφορούμενοι ἐς τὰ μάλιστα πάσῃ μηχανῇ αὐτὸν
*and being-vexed to the most by-every device him*
ὅτι τάχιστα διωθεῖσθαι ἐν σπουδῇ ἐποιοῦντο.
*as soonest to-thrust-out in earnestness made*

36 Οὕτω γοῦν καὶ τοῦτον τὸν Ἰωάννην ὁ Πέτρος
*thus at-any-rate also this — John — Peter*
ἐκδεξάμενος θησαυρῶν τε τῶν βασιλικῶν προὔστη καὶ
*having-succeeded of-treasuries both the imperial took-charge and*
ξυμφορῶν αὖθις μεγάλων αἰτιώτατος ἅπασι γέγονεν.
*of-calamities again great most-responsible for-all became*

37 ἀποτεμνόμενος γὰρ τῶν χρημάτων τὸ πλεῖστον μέρος, ἅπερ
*cutting-off for of-the money the most portion which*
ἐν παραψυχῆς λόγῳ πολλοῖς χορηγεῖσθαι ἀνὰ πᾶν ἔτος πρὸς
*in of-consolation account to-many to-be-supplied through every year by*
βασιλέως ἐκ παλαιοῦ διατέτακται, αὐτὸς μὲν τοῖς δημοσίοις
*emperor from old has-been-ordained he-himself indeed on-the public*
οὐ δέον ἐπλούτει καὶ μοῖραν ἐνθένδε βασιλεῖ ἀνέφερεν.
*not rightly grew-rich and share thence to-emperor brought-up*

38 οἱ δὲ τὰ χρήματα περιῃρημένοι ἐν πένθει μεγάλῳ
*they and the money having-been-deprived-of in mourning great*
περιεκάθηντο, ἐπεὶ καὶ τὸ χρυσοῦν νόμισμα οὐχ
*sat-about since also the gold coin not*
ἧπερ εἰώθει ἐκφέρειν ἠξίου, ἀλλ᾽ ἔλασσον αὐτὸ
*as-indeed was-customary to-issue deemed-fit but smaller it*
καταστησάμενος, πρᾶγμα οὐδεπώποτε γεγονὸς πρότερον.
*having-made a-thing never having-happened before*

Τὰ μὲν ἀμφὶ τοῖς ἄρχουσι βασιλεῖ ταύτῃ πῃ εἶχεν. 39
*the-things indeed about the magistrates for-emperor thus somehow stood*
ὅπως δὲ τοὺς τὰ χωρία κεκτημένους πανταχῇ διέφθειρεν
*how and those the lands possessing everywhere he-destroyed*
ἐρῶν ἔρχομαι.
*to-tell I-come*
ἀπέχρη μὲν οὖν ἡμῖν τῶν ἐς τὰς πόλεις ἁπάσας 40
*it-sufficed indeed then for-us of-the to the cities all*
στελλομένων ἀρχόντων ἐπιμνησθεῖσιν οὐ πολλῷ πρότερον
*sent magistrates having-made-mention not much before*
καὶ τούτων δὴ τῶν ἀνθρώπων σημῆναι τὰ πάθη.
*also of-these indeed the men to-indicate the sufferings*
πρώτους γὰρ οἱ ἄρχοντες οὗτοι τοὺς τῶν χωρίων κυρίους
*first for the magistrates these the of-the lands owners*
βιαζόμενοι ἐληΐζοντο, καὶ ὡς δὲ τἄλλα εἰρήσεται πάντα.
*forcing plundered even so and the-other-things will-be-told all*

## XXIII · THE RUIN OF THE LANDOWNERS

*Justinian never remits tax arrears in thirty-two years; informers ruin the landowners. After the barbarians waste the land, he remits one year's tax to captured cities only. He imposes the synone, forcing landowners to supply the army at fixed prices; the epibole, which charges them the tax on deserted land; and the diagraphai, special levies. After the plague empties the land, the survivors are taxed for their dead neighbors. Soldiers take their best rooms; in Byzantium they lodge seventy thousand barbarians.*

Πρῶτον μὲν εἰθισμένον ἐκ παλαιοῦ ἕκαστον τὴν Ῥωμαίων 1
*first indeed being-customary from old each the of-Romans*
ἀρχὴν ἔχοντα οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ πολλάκις τοῖς
*empire holding not once only but also often with-the*

τῶν δημοσίων ὀφλημάτων λειψάνοις τοὺς κατηκόους
*of-the public debts arrears the subjects*
δωρεῖσθαι πάντας, τοῦ μήτε τοὺς ἀπορουμένους τε καὶ ὅθεν
*to-present all so-that neither those being-at-a-loss both and whence*
ἂν ἐκτίνοιεν τὰ λείψανα ταῦτα οὐδαμῇ ἔχοντας διηνεκὲς
*— they-might-pay the arrears these in-no-way having continually*
ἀποπνίγεσθαι μήτε τοῖς φορολόγοις σκήψεις παρέχεσθαι,
*be-strangled nor to-the tax-collectors pretexts to-furnish*
συκοφαντεῖν ἐγχειροῦσι τῶν τοῦ φόρου ὑποτελῶν τοὺς
*to-falsely-accuse attempting of-the of-the tax payers those*
οὐδὲν ὀφείλοντας, οὗτος ἐς δύο καὶ τριάκοντα ἐτῶν
*nothing owing this-man to two and thirty of-years*
χρόνον οὐδὲν τοιοῦτο ἐς τοὺς κατηκόους εἰργάσατο.
*time nothing such to the subjects did*

2 καὶ ἀπ᾽ αὐτοῦ τοῖς μὲν ἀπορουμένοις ἀναγκαῖον ἦν
*and from it for-the indeed being-at-a-loss necessary it-was*
ἀποδρᾶναί τε καὶ μηδενὶ ἔτι ἐπανιέναι.
*to-run-away both and to-no-one still to-return*

3 καὶ οἱ συκοφάνται τοὺς ἐπιεικεστέρους ἀπέκναιον κατηγορίαν
*and the informers the more-respectable wore-out charge*
ἐπανασείοντες ἅτε τὸ τέλος ἐνδεεστέρως ἐκ παλαιοῦ
*brandishing as the tax more-deficiently from old*
καταβάλλοντας τῆς ἐγκειμένης τῷ χωρίῳ φορᾶς.
*paying of-the lying-on-(it) on-the estate levy*

4 οὐ γὰρ ὅσον οἱ ταλαίπωροι τὴν καινὴν τοῦ φόρου
*not for so-much the wretched the new of-the tax*
ἀπαγωγὴν ἐδεδίεσαν, ἀλλὰ καὶ χρόνων τοσούτων τὸ
*exaction feared but also of-times so-many the*
πλῆθος οὐδὲν προσῆκον βαρύνεσθαι φόροις.
*multitude nothing fitting to-be-weighed-down with-taxes*

πολλοὶ γοῦν ἀμέλει τὰ σφέτερα αὐτῶν τοῖς συκοφάνταις 5
*many at-any-rate of-course the their own to-the informers*
ἢ τῷ δημοσίῳ προέμενοι ἀπηλλάσσοντο.
*or to-the treasury having-given-up departed*
ἔπειτα δὲ Μήδων μὲν καὶ Σαρακηνῶν τῆς Ἀσίας γῆν τὴν 6
*then and Medes indeed and Saracens — of-Asia land the*
πολλήν, τῶν δὲ δὴ Οὔννων καὶ Σκλαβηνῶν καὶ Ἀντῶν
*much of-the and indeed Huns and Sclaveni and Antae*
ξύμπασαν Εὐρώπην ληϊσαμένων, καὶ τῶν πόλεων τὰς μὲν
*all Europe having-plundered and of-the cities the-ones indeed*
καθελόντων ἐς ἔδαφος, τὰς δὲ ἀργυρολογησάντων ἐς τὸ
*having-pulled-down to ground the-others and having-levied-money to the*
ἀκριβὲς μάλιστα, τοὺς δὲ ἀνθρώπους ἐξανδραποδισάντων ξὺν
*exact most the and men having-enslaved with*
χρήμασι πᾶσιν, ἔρημόν τε τῶν οἰκητόρων καταστησαμένων
*money all deserted and of-the inhabitants having-made*
χώραν ἑκάστην ταῖς καθ' ἡμέραν ἐπιδρομαῖς, φόρον μὲν
*land each with-the by day raids tax indeed*
οὐδενὶ τῶν ἁπάντων ἀφῆκε, πλήν γε δὴ ὅσον
*to-no-one of-the all he-remitted except at-least indeed as-much-as*
ἐνιαυτοῦ ταῖς ἁλούσαις τῶν πόλεων μόνον.
*of-a-year to-the captured of-the cities only*
καίτοι εἰ καθάπερ Ἀναστάσιος βασιλεὺς ἑπτάετες ταῖς 7
*and-yet if just-as Anastasius emperor for-seven-years to-the*
ἁλούσαις τὰ τέλη ἐπιχωρεῖν ἔγνω, οἶμαι ἂν οὐδ' ὡς
*captured the taxes to-concede resolved I-think — not-even so*
αὐτὸν πεποιῆσθαι τὰ δέοντα, ἐπεὶ Καβάδης μὲν ταῖς
*him to-have-done the needful-things since Cavades indeed the*
οἰκοδομίαις ὡς ἥκιστα λυμηνάμενος ἀπιὼν ᾤχετο, Χοσρόης
*buildings as least having-harmed departing went Chosroes*

δὲ ἅπαντα πυρπολήσας ἐς ἔδαφος καθεῖλε, μείζω τε
*but all-things having-burned to ground pulled-down greater and*
προσετρίψατο τοῖς περιπεπτωκόσι τὰ πάθη.
*inflicted on-those having-fallen-in-with the sufferings*

8 καὶ τούτοις μὲν τοῖς ἀνθρώποις οἷσπερ τὸ γελοιῶδες
*and to-these indeed the men to-whom-indeed the ridiculous-thing*
τοῦτο τοῦ φόρου ἀφῆκε καὶ τοῖς ἄλλοις ἅπασι, πολλάκις
*this of-the tax he-remitted and to-the others all often*
μὲν δεξαμένοις τὸν Μήδων στρατόν, διηνεκὲς δὲ Οὔννων τε
*indeed having-received the of-Medes army continually and Huns both*
καὶ Σαρακηνῶν γῆν τὴν ἑῴαν λῃϊσαμένων, οὐδὲν δὲ ἧσσον
*and Saracens land the eastern having-plundered nothing and less*
καὶ τῶν ἐπὶ τῆς Εὐρώπης βαρβάρων ταῦτα ἐργαζομένων
*also the in — Europe barbarians these(-things) doing*
ἀεὶ καὶ καθ' ἑκάστην τοὺς ἐκείνῃ Ῥωμαίους, βασιλεὺς
*always and by each-day the there Romans emperor*
οὗτος χαλεπώτερος εὐθὺς γέγονε βαρβάρων ἁπάντων.
*this harsher at-once became than-barbarians all*

9 συνωναῖς τε γὰρ καὶ ταῖς καλουμέναις ἐπιβολαῖς τε
*by-synonai both for and by-the called epibolai both*
καὶ διαγραφαῖς οἱ τῶν χωρίων κύριοι τῶν πολεμίων
*and diagraphai the of-the lands owners the enemies*
ἀνακεχωρηκότων αὐτίκα μάλα ἡλίσκοντο.
*having-withdrawn at-once very were-caught*

10 ὅ τι δὲ τὰ ὀνόματά ἐστί τε καὶ βούλεται ταῦτα, ἐγὼ
*what — and the names are both and mean these I*
δηλώσω.
*will-show*

11 Τοὺς τὰ χωρία κεκτημένους ἀναγκάζουσι τὸν Ῥωμαίων
*those the lands possessing they-compel the of-Romans*
ἐκτρέφειν στρατὸν κατὰ τὸ μέτρον τῆς κειμένης
*to-feed army according-to the measure of-the lying-on-(him)*

ἑκάστῳ φορᾶς, τιμημάτων καταβαλλομένων οὐχ ᾗπερ
*on-each levy prices being-paid-down not as-indeed*
ἐφίησιν ὁ παρὼν τῇ χρείᾳ καιρός, ἀλλ᾽ ᾗπερ ἔξεστι
*permits the present to-the need time but as-indeed is-permitted*
καὶ διώρισται, οὐ διερευνώμενοι δέ, εἴπερ αὐτοῖς τὰ
*also has-been-fixed not searching-out and if-indeed to-them the*
ἐπιτήδεια ἐν τῇ χώρᾳ ξυμβαίνει.
*necessities in the land happen*
περιέστηκέ τε τοὺς δειλαίους τούτους ἀνάγκη τὰ μὲν 12
*has-come-around and the wretched these necessity the indeed*
ἐπιτήδεια στρατιώταις τε καὶ ἵπποις ἐσκομίζεσθαι, πάντα
*necessities for-soldiers both and for-horses to-bring-in all*
ὠνουμένους αὐτὰ τιμημάτων πολλῶν ἐς ἄγαν ἀξιωτέρων καὶ
*buying them at-prices many to excess more-dear and*
ταῦτα ἐκ χώρας, ἂν οὕτω τύχοι, μακράν που οὔσης ἐς
*that from land — so might-happen far somewhere being to*
τὸ χωρίον, οὗ δὴ τὸ στρατόπεδον ξυμβαίνει εἶναι, μετρεῖν
*the place where indeed the camp happens to-be to-measure*
τε τοῖς τῶν στρατιωτῶν χορηγοῖς, οὐ καθάπερ πᾶσιν
*and to-the of-the soldiers suppliers not as for-all*
ἀνθρώποις νόμος, ἀλλ᾽ ᾗπερ ἐκείνοις ἂν βουλομένοις εἴη.
*men custom but as-indeed to-those — wishing it-might-be*
καὶ τοῦτό ἐστι τὸ πρᾶγμα ὅπερ συνωνὴ καλεῖται, ἐξ 13
*and this is the practice which-very synone is-called from*
οὗ δὴ ἅπασιν ἐκνενευρίσθαι τοῖς τῶν χωρίων κυρίοις
*which indeed for-all to-have-been-hamstrung the of-the lands owners*
ξυμβαίνει.
*it-happens*
φόρον γὰρ ἀπ᾽ αὐτοῦ τὸν ἐπέτειον οὐχ ἧσσονα ἢ 14
*tax for from it the annual not less than*
δεκαπλασίονα κατατιθέναι σφίσιν ἐπάναγκες, οἷς γε
*tenfold to-pay-down for-them necessary to-whom at-least*

οὐ μόνον, ὥσπερ εἴρηται, τῷ στρατῷ χορηγεῖν, ἀλλὰ
*not only as has-been-said the army to-supply but*
καὶ σῖτον ἐς Βυζάντιον πολλάκις διακομίζειν ταῦτα
*also grain to Byzantium often to-transport these(-things)*
πεπονθόσι ξυνέπεσεν, ἐπεὶ οὐχ ὁ Βαρσύμης καλούμενος
*having-suffered it-befell since not — Barsymes called*
μόνος τὸ τοιοῦτο ἄγος ἐξαμαρτάνειν τετόλμηκεν, ἀλλὰ καὶ
*alone the such pollution to-commit has-dared but also*
πρότερον μὲν ὁ Καππαδόκης, ὕστερον δὲ οἱ μετὰ τὸν
*before indeed the Cappadocian later and those after —*
Βαρσύμην τοῦτο δὴ τὸ τῆς ἀρχῆς παραλαβόντες ἀξίωμα.
*Barsymes this indeed the of-the office having-taken-over dignity*
15 Τὰ μὲν οὖν τῆς συνωνῆς ταύτῃ πη ἔχει· τὸ δὲ τῆς
*the-things indeed then of-the synone thus somehow stand the and of-the*
ἐπιβολῆς ὄνομα ὄλεθρός τίς ἐστιν ἀπρόοπτος ἐξαπιναίως
*epibole name ruin some is unforeseen suddenly*
τοῖς τὰ χωρία κεκτημένοις ἐπιγενόμενος πρόρριζόν τε
*on-those the lands possessing coming-upon root-and-branch and*
αὐτοῖς ἐκτρίβων τὴν τοῦ βίου ἐλπίδα.
*of-them wiping-out the of-the life hope*
16 χωρίων γὰρ τὸ τέλος τῶν ἐρήμων τε καὶ ἀπόρων
*of-lands for the tax of-the deserted both and resourceless*
γεγενημένων, ὧν δὴ τοῖς τε κυρίοις καὶ τοῖς
*having-become of-which indeed for-the both owners and for-the*
γεωργοῖς ἤδη τετύχηκεν ἢ παντάπασιν ἀπολωλέναι,
*farmers already it-has-happened either altogether to-have-perished*
ἢ γῆν πατρῴαν ἀπολιποῦσι τοῖς ἐγκειμένοις σφίσι διὰ
*or land ancestral having-left by-the pressing on-them because-of*
ταῦτα κακοῖς κρύπτεσθαι, οὐκ ἀπαξιοῦσιν ἐπιφέρειν
*these(-things) evils to-hide not they-disdain to-impose*
τοῖς οὔπω διεφθαρμένοις παντάπασι.
*on-those not-yet ruined altogether*

Τοιοῦτο μὲν καὶ τὸ τῆς ἐπιβολῆς ὄνομά ἐστιν, 17
*such indeed also the of-the epibole name is*
ἐπιπολάσαν ὡς τὸ εἰκὸς ἐπὶ τὸν χρόνον μάλιστα
*having-become-prevalent as the likely in the time most*
τοῦτον. τὰ δὲ τῶν διαγραφῶν ὡς συντομώτατα
*this the-things and of-the diagraphai as most-briefly*
φράσαντι ἀπηλλάχθαι τῇδέ πη ἔχει.
*having-told to-be-done thus somehow stand*
ζημίαις πολλαῖς ἄλλως τε καὶ ὑπὸ τοὺς χρόνους τούτους 18
*with-penalties many especially — also under the times these*
περιβάλλεσθαι τὰς πόλεις ἦν ἀνάγκη· ὧνπερ τάς τε
*to-be-laden the cities there-was necessity of-which-very the both*
ἀφορμὰς καὶ τοὺς τρόπους ἀφίημι λέγειν ἐν τῷ παρόντι,
*occasions and the ways I-forbear to-tell in the present*
ὡς μή μοι ὁ λόγος ἀπέραντος εἴη.
*so-that not for-me the account endless might-be*
ταύτας οἱ τὰ χωρία ἔχοντες ἀπέτινον, τίμημα κατατιθέντες 19
*these those the lands holding paid price paying-down*
κατὰ λόγον τῆς ἐγκειμένης ἑκάστῳ φορᾶς.
*according-to proportion of-the lying-on-(him) on-each levy*
οὐκ ἄχρι δὲ τούτων αὐτοῖς τὸ κακὸν ἔστη, ἀλλὰ καὶ τοῦ 20
*not until and these for-them the evil stopped but also the*
λοιμοῦ ξύμπασαν περιλαβόντος τήν τε ἄλλην οἰκουμένην
*plague all having-seized the both other inhabited-world*
καὶ οὐχ ἥκιστα τὴν τῶν Ῥωμαίων ἀρχὴν τῶν τε
*and not least the of-the Romans empire of-the both*
γεωργῶν ἀφανίσαντος μέρος τὸ πλεῖστον, καὶ ἀπ᾽ αὐτοῦ
*farmers having-wiped-out portion the greatest and from it*
ἐρήμων ὡς τὸ εἰκὸς τῶν χωρίων γεγενημένων, οὐδεμιᾷ
*deserted as the likely the lands having-become with-no*
φειδοῖ ἐχρήσατο ἐς τοὺς τούτων κυρίους.
*sparing he-used toward the of-these owners*

21 φόρον γὰρ τὸν ἐπέτειον οὔποτε ἀνίει πραττόμενος οὐχ
*tax for the annual never he-let-go exacting not*
ἥπερ ἑκάστῳ ἐπέβαλλε μόνον, ἀλλὰ καὶ γειτόνων τῶν
*as-indeed to-each fell only but also of-neighbors of-the*
ἀπολωλότων τὴν μοῖραν.
*having-perished the portion*

22 προσῆν δὲ αὐτοῖς καὶ τἆλλα πάντα ὧνπερ ἐμνήσθην
*there-were-besides and to-them also the-others all of-which-very I-made-mention*
ἀρτίως ἅτε τοῖς τῶν χωρίων δεδυστυχηκόσι τὴν κτῆσιν
*just-now as on-those of-the lands having-been-unfortunate-in the possession*
ἀεὶ ἐγκειμένων, ἔτι μέντοι καὶ τοῖς μὲν στρατιώταις
*always pressing still however also to-the indeed soldiers*
ἀνὰ τὰ κάλλιστά τε καὶ τιμιώτατα δωματίων τῶν
*through the finest both and most-valuable of-rooms the*
σφετέρων ᾠκημένοις ὑπηρετεῖν, αὐτοῖς δὲ πάντα τοῦτον
*their-own quartered to-serve for-themselves but all this*
τὸν χρόνον ἐν τοῖς φαυλοτάτοις τε καὶ ἀπημελημένοις
*the time in the meanest both and neglected*
τῶν οἰκιδίων δίαιταν ἔχειν.
*of-the huts residence to-have*

23 Ἅπερ ἅπαντα ὑπὸ τὴν Ἰουστινιανοῦ τε καὶ Θεοδώρας
*which all under the of-Justinian both and of-Theodora*
βασιλείαν τοῖς ἀνθρώποις ἀεὶ γίνεσθαι ξυνέβη, ἐπεὶ οὔτε
*reign to-the men always to-happen befell since neither*
πόλεμον οὔτε τι ἄλλο τῶν μεγίστων κακῶν ἐν τούτῳ
*war nor any other of-the greatest evils in this*
δὴ τῷ χρόνῳ λελωφηκέναι τετύχηκεν.
*indeed the time to-have-abated has-happened*

24 ἐπεὶ δὲ δωματίων ἐμνήσθημεν, οὐδὲ τοῦτο παριτέον
*since and rooms we-mentioned not-even this must-be-passed-over*
ἡμῖν, ὅτι δὴ οἱ κεκτημένοι τὰς ἐν Βυζαντίῳ οἰκίας
*by-us that indeed those possessing the in Byzantium houses*

βαρβάροις ἐνταῦθα καταλύειν παρεχόμενοι ἑπτακισμυρίοις
*to-barbarians there to-lodge providing seventy-thousand*
μάλιστα οὖσιν, οὐχ ὅπως τῶν σφετέρων ὀνίνασθαι οὐδαμῇ
*about being not only of-the their-own to-profit in-no-way*
εἶχον, ἀλλὰ καὶ προσετρίβοντο δυσκόλοις ἑτέροις.
*could but also were-afflicted-with difficulties other*

## XXIV · THE SOLDIERS

*The logothetes, paid a twelfth of what they extract, keep dead men on the rolls, deny promotion to the living, and fine the soldiers on every pretext. The generals' retinues fall into poverty, and the limitanei of the frontiers are long unpaid, then disbanded. Justinian sells places among the scholarii, threatens to send them to war so that they will give up their pay, and ends the five-yearly donative. Those who served in the Palace offices, once supported in old age, are stripped of their pay.*

Οὐ μὴν οὐδὲ τὰ ἐς τοὺς στρατιώτας αὐτῷ 1
*not indeed not-even the-things toward the soldiers by-him*
εἰργασμένα σιωπῇ δοτέον, οἷς δὴ τοὺς πονηροτάτους
*done in-silence must-be-given over-whom indeed the most-wicked*
ἐπέστησεν ἀνθρώπων ἁπάντων χρήματα σφᾶς ὅτι πλεῖστα
*he-set of-men all money them as most*
ξυλλέγειν ἐνθένδε κελεύσας, εὖ εἰδότας ὡς μοῖρα τῶν
*to-collect thence having-ordered well knowing that portion of-the-things*
πορισθησομένων ἡ δωδεκάτη αὐτοῖς κείσεται. ὄνομα δὲ
*to-be-procured the twelfth for-them will-be-assigned name and*
λογοθέτας αὐτοῖς ἔθετο.
*logothetes on-them he-put*
οἱ δὲ ἀνὰ πᾶν ἔτος ἐπενόουν τάδε. τὰς στρατιωτικὰς 2
*they and through every year devised these(-things) the military*
συντάξεις οὐχ ὁμοίως νόμος χορηγεῖσθαι ἐφεξῆς ἅπασιν,
*pay not likewise custom to-be-supplied in-order to-all*

ἀλλὰ νέοις μὲν ἔτι αὐτοῖς οὖσι καὶ στρατευσαμένοις
*but to-young indeed still them being and having-enlisted*
ἀρτίως ἐλάσσων ὁ πόρος, πεπονηκόσι δὲ καὶ μέσοις
*just-now smaller the stipend to-those-having-toiled but and in-the-middle*
που ἤδη καταλόγου γεγενημένοις ἐπὶ μεῖζον χωρεῖ.
*somewhere already of-the-roll having-become to greater goes*
3 γεγηρακόσι μέντοι καὶ μέλλουσι τῆς στρατείας
*to-those-having-grown-old however and being-about from-the service*
ἀφίεσθαι πολλῷ ἔτι κομπωδεστέρα ἡ σύνταξις, ὅπως
*to-be-discharged by-much still more-grandiose the pay so-that*
αὐτοί τε τὸ λοιπὸν ἰδίᾳ βιοῦντες ἐς τὸ ἀποζῆν
*they both for-the rest privately living for the to-live-on*
διαρκῶς ἔχοιεν, καὶ ἐπειδὰν αὐτοῖς ξυμμετρήσασθαι τὸν
*sufficiently might-have and when for-them to-measure-out the*
βίον ξυμβαίη, παραψυχήν τινα τῶν οἰκείων ἀπολιπεῖν
*life it-should-befall consolation some of-the their-own to-leave*
τοῖς κατὰ τὴν οἰκίαν δυνατοὶ εἶεν.
*to-those in the house able they-might-be*
4 ὁ τοίνυν χρόνος τῶν στρατιωτῶν τοὺς καταδεεστέρους ἐς
*the therefore time of-the soldiers the lower into*
τῶν τετελευτηκότων ἢ τῆς στρατείας ἀφειμένων τοὺς
*of-those having-died or from-the service discharged the*
βαθμοὺς ἀεὶ ἀναβιβάζων πρυτανεύει κατὰ πρεσβεῖα
*ranks always raising regulates according-to seniority*
τὰς ἐκ τοῦ δημοσίου συντάξεις ἑκάστῳ.
*the from the treasury pay for-each*
5 ἀλλ᾽ οἱ λογοθέται καλούμενοι οὐκ εἴων ἐκ τῶν καταλόγων
*but the logothetes called not allowed from the rolls*
ἀφαιρεῖσθαι τὰ τῶν τετελευτηκότων ὀνόματα, καίπερ
*to-be-removed the of-those having-died names although*
ὁμοῦ διαφθειρομένων, ἄλλως τε καὶ κατὰ τοὺς πολέμους
*together perishing especially — also in the wars*

συχνοὺς γινομένους, τῶν πλείστων. οὐ μὴν οὐδὲ τοὺς
*frequent occurring of-the most not indeed not-even the*
καταλόγους ἔτι ἐπλήρουν, καὶ ταῦτα χρόνου συχνοῦ.
*rolls still they-filled and that for-time long*
καὶ ἀπ᾽ αὐτοῦ περιειστήκει τῇ μὲν πολιτείᾳ τὸν 6
*and from it had-come-around for-the indeed state the*
τῶν στρατευομένων ἀριθμὸν ἐνδεέστερον ἀεὶ εἶναι,
*of-the serving number smaller always to-be*
τῶν δὲ στρατιωτῶν τοῖς περιοῦσι πρὸς τῶν πάλαι
*of-the and soldiers for-those surviving by those long-ago*
τετελευτηκότων διωθουμένοις ἐπὶ μοίρας παρὰ τὴν ἀξίαν
*having-died being-thrust-back on portion beyond the worth*
τῆς καταδεεστέρας ἀπολελεῖφθαι, τάς τε ξυντάξεις
*of-the lower to-be-left the and pay*
ἐλαττόνως ἢ κατὰ τὴν προσήκουσαν κομίζεσθαι
*less than according-to the befitting to-receive*
τάξιν, τοῖς δὲ λογοθέταις διαλαγχάνειν Ἰουστινιανῷ τῶν
*rank for-the and logothetes to-share with-Justinian of-the*
στρατιωτικῶν χρημάτων πάντα τοῦτον τὸν χρόνον.
*military money all this the time*
Ἔτι μέντοι καὶ ἄλλαις ζημιῶν ἰδέαις πολλαῖς τοὺς 7
*still however also with-other of-penalties kinds many the*
στρατιώτας ἀπέκναιον, ὥσπερ ἀμειβόμενοι τῶν ἐν τοῖς
*soldiers they-wore-out as-if requiting of-the in the*
πολέμοις κινδύνων, ἐπικαλοῦντες τοῖς μὲν ὡς Γραικοὶ εἶεν,
*wars dangers charging the-ones indeed that Greeks they-were*
ὥσπερ οὐκ ἐξὸν τῶν ἀπὸ τῆς Ἑλλάδος τὸ παράπαν
*as-if not being-possible of-those from — Greece the at-all*
τινὶ γενναίῳ γενέσθαι, τοῖς δὲ ὡς οὐκ ἐπιτεταγμένον
*for-anyone noble to-become the-others and that not having-been-ordered*
πρὸς βασιλέως σφίσι στρατεύοιντο, καίπερ ἀμφὶ τούτῳ
*by emperor them they-were-serving although about this*

γράμματα βασιλέως ἐνδεικνυμένοις, ἅπερ οἱ λογοθέται
*letters of-emperor showing which the logothetes*
διαβάλλειν οὐδεμιᾷ ὀκνήσει ἐτόλμων· ἄλλοις δέ, ὅτι δὴ
*to-slander with-no hesitation dared others and that indeed*
τῶν ἑταίρων ἡμέρας σφίσιν ἀπολελεῖφθαί τινας ξυμβαίη.
*of-the comrades days them to-have-been-absent some it-happened*
8 ὕστερον καὶ τῶν ἐν Παλατίῳ φυλάκων τινὲς ἀνὰ πᾶσαν
*later also of-the in the-Palace guards some through all*
στελλόμενοι τὴν Ῥωμαίων ἀρχὴν διηρευνῶντο δῆθεν τῷ
*being-sent the of-Romans empire searched-out supposedly in-the*
λόγῳ ἐν τοῖς καταλόγοις τοὺς ἐς τὸ στρατεύεσθαι ἐπιτηδείους
*word in the rolls those for the to-serve fit*
ὄντας ὡς ἥκιστα, καὶ αὐτῶν τινὰς μὲν ἅτε ἀχρείους ὄντας
*being as least and of-them some indeed as useless being*
ἢ γεγηρακότας ἀφαιρεῖσθαι τὰς ζώνας ἐτόλμων, οἵπερ
*or having-grown-old to-strip-of the belts dared who-indeed*
τὸ λοιπὸν ἐκ τῶν εὐσεβούντων ἐν τῷ δημοσίῳ τῆς
*for-the rest from the pious in the public-square of-the*
ἀγορᾶς προσαιτοῦντες τροφὴν δακρύων τε καὶ ὀλοφύρσεως
*market begging food of-tears both and of-lamentation*
ἀεὶ προφάσεις τοῖς ἐντυγχάνουσιν ἐγίνοντο πᾶσι, τοὺς
*always occasions to-those meeting-them became to-all the*
δὲ λοιπούς, ὅπως δὴ μὴ ταὐτὰ καὶ αὐτοὶ πείσωνται,
*and rest so-that indeed not the-same-things also they should-suffer*
χρήματα μεγάλα ἐπράττοντο, ὥστε πάντων τοὺς στρατιώτας
*money great they-exacted so-that than-all the soldiers*
ἅτε τρόποις ἐκνενευρισμένους πολλοῖς πτωχοτέρους τε
*as in-ways hamstrung many poorer both*
γεγονέναι καὶ οὐδαμῇ ἐς τὸ πολεμεῖν προθυμεῖσθαι ξυνέβη.
*to-have-become and in-no-way for the to-make-war to-be-eager it-befell*

ὅθεν Ῥωμαίοις καὶ τὰ ἐν Ἰταλίᾳ πράγματα λελύσθαι 9
*whence for-Romans also the-things in Italy affairs to-have-been-undone*
ξυνέπεσεν. οὗ δὴ Ἀλέξανδρος ὁ λογοθέτης σταλεὶς
*it-befell where indeed Alexander the logothete sent*
τοῖς μὲν στρατιώταις ταῦτα ἐπικαλεῖν οὐδεμιᾷ ὀκνήσει
*to-the indeed soldiers these(-things) to-charge with-no hesitation*
ἐθάρρει, τοὺς δὲ Ἰταλοὺς χρήματα ἔπραττε, τῶν ἐς
*dared the and Italians money exacted of-the-things toward*
Θευδέριχον καὶ Γότθους πεπολιτευμένων ἀμύνεσθαι φάσκων.
*Theoderic and Goths having-been-transacted to-requite saying*
οὐ μόνοι δὲ οἱ στρατιῶται πενίᾳ τε καὶ ἀπορίᾳ πρὸς 10
*not alone and the soldiers by-poverty both and by-want from*
τῶν λογοθετῶν ἐπιέζοντο, ἀλλὰ καὶ οἱ πᾶσιν ὑπηρετοῦντες
*the logothetes were-oppressed but also those to-all serving*
τοῖς στρατηγοῖς παμπληθεῖς τε καὶ δόξῃ μεγάλοι τὰ
*to-the generals very-numerous both and in-repute great the*
πρότερα ὄντες, λιμῷ καὶ πενίᾳ δεινῇ ἤχθοντο.
*formerly being by-hunger and by-poverty terrible were-grieved*
οὐ γὰρ εἶχον ὅθεν τὰ εἰωθότα σφίσι πορίσονται. 11
*not for they-had whence the customary-things for-themselves they-will-procure*
Προσθήσω δέ τι τούτοις καὶ ἕτερον, ἐπεί με ὁ 12
*I-will-add and some to-these also other since me the*
τῶν στρατιωτῶν λόγος ἐς τοῦτο ἄγει. οἱ Ῥωμαίων
*of-the soldiers account to this leads the of-Romans*
βεβασιλευκότες ἐν τοῖς ἄνω χρόνοις πανταχόσε τῶν τῆς
*having-reigned in the earlier times everywhere of-the of-the*
πολιτείας ἐσχατιῶν πάμπολυ κατεστήσαντο στρατιωτῶν
*state extremities very-great set of-soldiers*
πλῆθος ἐπὶ φυλακῇ τῶν ὁρίων τῆς Ῥωμαίων ἀρχῆς, κατὰ
*multitude for guarding of-the boundaries of-the of-Romans empire in*

τὴν ἑῴαν μάλιστα μοῖραν ταύτῃ τὰς ἐφόδους Περσῶν τε καὶ
*the eastern especially part thus the attacks of-Persians both and*
Σαρακηνῶν ἀναστέλλοντες, οὕσπερ λιμιταναίους ἐκάλουν.
*of-Saracens checking whom-indeed limitanei they-called*

13 τούτοις Ἰουστινιανὸς ὁ βασιλεὺς κατ᾽ ἀρχὰς μὲν οὕτω
*these Justinian the emperor at beginnings indeed thus*
δὴ παρέργως τε καὶ φαύλως ἐχρῆτο, ὥστε τεσσάρων
*indeed carelessly both and meanly treated that four*
ἢ πέντε αὐτοῖς ἐνιαυτῶν τῶν συντάξεων τοὺς χορηγοὺς
*or five to-them years of-the pay the paymasters*
ὑπερημέρους εἶναι, καὶ ἐπειδὰν Ῥωμαίοις τε καὶ Πέρσαις
*overdue to-be and when for-Romans both and for-Persians*
εἰρήνη γένοιτο, ἠναγκάζοντο οἱ ταλαίπωροι οὗτοι ἅτε
*peace should-come-about were-compelled the wretched these as*
καὶ αὐτοὶ τῶν ἐκ τῆς εἰρήνης ἀγαθῶν ἀπολαύσοντες
*also themselves of-the from the peace goods going-to-enjoy*
χρόνου ῥητοῦ τὰς ὀφειλομένας σφίσι ξυντάξεις τῷ
*for-time stated the owed to-them pay to-the*
δημοσίῳ χαρίζεσθαι· ὕστερον δὲ καὶ αὐτὸ τὸ τῆς
*treasury to-give-up later and also itself the of-the*
στρατείας ὄνομα αὐτοὺς ἀφείλετο οὐδενὶ λόγῳ.
*service name them he-took-from with-no reason*

14 τὸ λοιπὸν τὰ μὲν ὅρια τῆς Ῥωμαίων ἀρχῆς
*for-the rest the indeed boundaries of-the of-Romans empire*
φυλακτηρίων ἐκτὸς ἔμεινεν, οἱ δὲ στρατιῶται ἐξαπιναίως
*of-garrisons without remained the and soldiers suddenly*
ἔβλεπον εἰς τῶν εὐσεβεῖν εἰωθότων τὰς χεῖρας.
*looked to of-those to-be-pious accustomed the hands*

Ἕτεροι στρατιῶται οὐχ ἧσσους ἢ πεντακόσιοι καὶ 15
*other soldiers not fewer than five-hundred and*
τρισχίλιοι τὰ ἐξ ἀρχῆς ἐπὶ φυλακῇ τοῦ Παλατίου
*three-thousand the from beginning for guarding of-the Palace*
κατέστησαν, οὕσπερ σχολαρίους καλοῦσι.
*were-set whom-indeed scholarii they-call*
καὶ αὐτοῖς συντάξεις ἀνέκαθεν πλείους ἢ τοῖς ἄλλοις 16
*and to-them pay from-of-old more than to-the others*
ἅπασι τὸ δημόσιον ἀεὶ χορηγεῖν εἴωθε. τούτους οἱ
*all the treasury always to-supply is-accustomed these the*
πρότεροι μὲν ἀριστίνδην ἀπολέξαντες ἐξ Ἀρμενίων ἐς
*former-ones indeed by-merit having-picked from Armenians to*
ταύτην δὴ τὴν τιμὴν ἦγον.
*this indeed the honor brought*
ἐξ οὗ δὲ Ζήνων τὴν βασιλείαν παρέλαβε, πᾶσιν ἐξουσία 17
*from which and Zeno the empire took-over to-all license*
ἐγένετο καὶ ἀνάνδροις καὶ ἀπολέμοις οὖσι παντάπασι
*there-was even unmanly and unwarlike being altogether*
τούτου δὴ τοῦ ὀνόματος ἐπιβατεύειν.
*this indeed the name to-mount*
προϊόντος δὲ τοῦ χρόνου καὶ ἀνδράποδα κατατιθέντες 18
*advancing and the time even slaves paying-down*
τίμημα τὴν στρατείαν ὠνοῦντο ταύτην. ἡνίκα τοίνυν
*price the service they-bought this when therefore*
Ἰουστῖνος τὴν βασιλείαν παρέλαβεν, οὗτος Ἰουστινιανὸς
*Justin the empire took-over this Justinian*
πολλοὺς ἐς τὴν τιμὴν κατεστήσατο ταύτην, χρήματα
*many into the honor set this money*
μεγάλα περιβαλόμενος.
*great having-surrounded-himself-with*

19 ἐπεὶ δὲ τούτοις τοῖς καταλόγοις οὐδένα ἐνδεῖν τὸ
*when and these the rolls no-one to-be-lacking for-the*
λοιπὸν ᾔσθετο, ἑτέρους αὐτοῖς ἐς δισχιλίους ἐντέθεικεν,
*rest he-perceived others to-them to two-thousand has-put-in*
οὕσπερ ὑπεραρίθμους ἐκάλουν.
*whom-indeed supernumeraries they-called*

20 ἐπειδὴ δὲ αὐτὸς τὴν βασιλείαν ἔσχε, τούτους δὴ τοὺς
*when and he-himself the empire held these indeed the*
ὑπεραρίθμους ἀπεσείσατο αὐτίκα μάλα, τῶν χρημάτων
*supernumeraries shook-off at-once very of-the money*
οὐδ' ὁτιοῦν ἀποδοὺς σφίσιν.
*not-even anything-whatever having-given-back to-them*

21 Ἐς μέντοι τοὺς ἐντὸς τοῦ τῶν σχολαρίων ἀριθμοῦ ὄντας
*toward however those within the of-the scholarii number being*
ἐπενόει τάδε. ἡνίκα στράτευμα ἐπὶ Λιβύην ἢ Ἰταλίαν
*he-devised these(-things) when an-army against Libya or Italy*
ἢ ἐπὶ Πέρσας ὡς σταλήσεται ἐπίδοξον εἴη, καὶ αὐτοῖς
*or against Persians as going-to-be-sent probable should-be also to-them*
ὡς ξυστρατεύσουσιν ἐπήγγελλε συσκευάζεσθαι, καίπερ
*as going-to-join-the-campaign he-enjoined to-pack-up although*
ἐξεπιστάμενος ἐπιτηδείως αὐτοὺς ἐς τὸ στρατεύεσθαι ὡς
*knowing-well fitly them for the to-serve as*
ἥκιστα ἔχειν, οἱ δὲ τοῦτο ἵνα μὴ γένηται δείσαντες
*least to-be they and this so-that not it-might-happen having-feared*
χρόνου οἱ ῥητοῦ τὰς ξυντάξεις ἀφίεσαν. ταῦτα μὲν
*for-time to-him stated the pay gave-up these(-things) indeed*
τοῖς σχολαρίοις πολλάκις ξυνηνέχθη παθεῖν.
*for-the scholarii often befell to-suffer*

καὶ Πέτρος δὲ τὸν ἅπαντα χρόνον ἡνίκα τὴν τοῦ 22
*and Peter too the whole time when the of-the*
μαγίστρου καλουμένου εἶχεν ἀρχήν, ἀεὶ καθ᾽ ἡμέραν
*master called held office always by day*
αὐτοὺς κλοπαῖς ἀμυθήτοις ἀπέκναιε.
*them with-thefts untold wore-out*
πρᾷος μὲν γὰρ ἦν καὶ ὡς ἥκιστα ὑβρίζειν εἰδώς, 23
*mild indeed for he-was and as least to-commit-outrage knowing*
κλεπτίστατος δὲ ἀνθρώπων ἁπάντων καὶ ῥύπου αἰσχροῦ
*most-thievish but of-men all and of-filth shameful*
ἀτεχνῶς ἔμπλεως. τούτου τοῦ Πέτρου κἀν τοῖς ἔμπροσθεν
*simply full of-this — Peter also-in the earlier*
λόγοις ἐμνήσθην ἅτε τὸν Ἀμαλασούνθης φόνον τῆς
*books I-made-mention as the of-Amalasuntha murder of-the*
Θευδερίχου παιδὸς εἰργασμένου.
*of-Theoderic daughter having-worked*
Εἰσὶ δὲ καὶ ἕτεροι τῶν ἐν Παλατίῳ πολὺ ἀξιώτεροι, 24
*there-are and also others of-those in the-Palace much more-valuable*
ἐπεὶ καὶ πλείω τὸ δημόσιον αὐτοῖς χορηγεῖν εἴωθεν
*since also more the treasury to-them to-supply is-accustomed*
ἅτε καὶ μείζω κατατιθεῖσι τοῦ τῆς στρατείας ὀνόματος
*as also greater paying-down for-the of-the service name*
τὰ τιμήματα, οἳ δὴ δομέστικοί τε καὶ προτίκτωρες
*the prices who indeed domestici both and protectores*
ἐπικαλοῦνται καὶ ἀνέκαθεν ἀμελέτητοί εἰσι πολεμίων ἔργων.
*are-called and from-of-old unpracticed are of-war deeds*
τάξεως γὰρ καὶ προσώπου ἕνεκα μόνον ἐν Παλατίῳ 25
*of-rank for and of-appearance for-the-sake-of only in the-Palace*
εἰώθασι καταλέγεσθαι. καὶ αὐτῶν οἱ μὲν ἐν
*they-are-accustomed to-be-enrolled and of-them the-ones indeed in*

Βυζαντίῳ, οἱ δὲ ἐπί τε Γαλατίας ἐκ παλαιοῦ καὶ
*Byzantium the-others and in both Galatia from old and*
χωρίων ἑτέρων ἵδρυνται.
*places other are-stationed*

26 ἀλλὰ καὶ τούτους Ἰουστινιανὸς τρόπῳ ἀεὶ δεδισσόμενος
*but also these Justinian in-way always frightening*
τῷ εἰρημένῳ μεθίεσθαι ἠνάγκαζε τῶν προσηκουσῶν σφίσι
*the stated to-give-up compelled of-the belonging to-them*
συντάξεων.
*pay*

27 ἐν κεφαλαίῳ δὲ τοῦτο εἰρήσεται. νόμος ἦν ἀνὰ
*in summary and this will-be-said custom there-was through*
πενταετηρίδα ἑκάστην τὸν βασιλέα τῶν στρατιωτῶν
*five-year-period each the emperor of-the soldiers*
ἕκαστον δωρεῖσθαι χρυσίῳ τακτῷ.
*each to-present with-gold fixed*

28 πέμποντες δὲ ἀνὰ πεντάετες πανταχόσε τῆς Ῥωμαίων
*sending and through five-years everywhere of-the of-Romans*
ἀρχῆς παρείχοντο στατῆρας χρυσοῦς στρατιώτῃ ἑκάστῳ
*empire they-provided staters gold to-soldier each*
πέντε.
*five*

29 καὶ τοῦτο οὐχ οἷόν τε ἦν μὴ πράσσεσθαι ἀεὶ μηχανῇ πάσῃ.
*and this not possible — was not to-be-done always by-device every*
ἐξ ὅτου δὲ ἀνὴρ ὅδε διῳκήσατο τὴν πολιτείαν, τοιοῦτο
*from which and man this managed the state such*
οὐδὲν οὔτε διεπράξατο οὔτε ἐμέλλησε, καίπερ χρόνου
*nothing neither accomplished nor intended although of-time*
δύο καὶ τριάκοντα ἐνιαυτῶν τριβέντος ἤδη, ὥστε καὶ
*two and thirty years having-been-spent already so-that even*
λήθην τοῦ ἔργου τούτου τοῖς ἀνθρώποις γενέσθαι τινά.
*forgetfulness of-the practice this for-the men to-come-about some*

Τρόπον δὲ καὶ ἄλλον τῆς ἐς τοὺς κατηκόους λεηλασίας 30
*way and also another of-the upon the subjects plundering*
ἐρῶν ἔρχομαι. οἱ βασιλεῖ τε καὶ ταῖς ἀρχαῖς ἐν
*to-tell I-come those to-emperor both and to-the offices in*
Βυζαντίῳ ἢ ὁπλιζόμενοι ἢ γράμματα διαχειρίζοντες ἢ
*Byzantium either being-armed or letters handling or*
ἄλλο ὁτιοῦν ὑπηρετοῦντες τάσσονται μὲν ἐν τοῖς
*other anything-whatever serving are-ranked indeed in the*
καταλόγοις ἀρχὴν ἔσχατοι, προϊόντος δὲ τοῦ χρόνου
*rolls at-first last advancing and the time*
ἀναβαίνοντες ἀεὶ ἐς τῶν ἀπογινομένων ἢ ὑπεξιόντων
*rising always into of-those dying or retiring*
τὴν χώραν τάξεως ἕκαστοι τῆς κατ᾽ αὐτοὺς ἐς τόδε
*the place of-rank each-of-them of-the according-to them to this*
χωροῦσιν, ἕως ἄν τις βαθμοῦ ἐπιβεβηκὼς τοῦ πρώτου
*go until — anyone rank having-mounted the first*
ἤδη ἐς τὸ τῆς τιμῆς ἀφίκηται πέρας.
*already to the of-the honor comes end*
καὶ τοῖς ἐς τοῦτο ἀξιώματος ἥκουσι χρήματα ἐκ 31
*and to-those to this of-dignity having-come money from*
παλαιοῦ διατέτακται τοσαῦτα τὸ πλῆθος ὥστε πλέον ἀνὰ
*old has-been-assigned so-great the multitude that more through*
πᾶν ἔτος ἢ ἐς ἑκατὸν χρυσοῦ ἀγείρεσθαι κεντηνάρια
*every year than to hundred of-gold to-be-collected centenaria*
τούτοις, καὶ αὐτούς τε γηροκομεῖσθαι καὶ τῶν ἄλλων
*for-these and they both to-be-supported-in-old-age and of-the others*
πολλοὺς μετέχειν αὐτοῖς ὠφελείας ἐκ τοῦ ἐπὶ πλεῖστον
*many to-share with-them of-benefit from the for most*
τῆς ἔνθεν ξυνέβαινε, τῆς τε πολιτείας τὰ πράγματα ἐπὶ
*of-the thence it-happened of-the and state the affairs to*
μέγα εὐπορίας ἀεὶ ταύτῃ ἐχώρει.
*great of-prosperity always thus went*

32 ἀλλὰ βασιλεὺς ὅδε τούτων αὐτοὺς ἀποστερήσας σχεδόν
*but emperor this of-these them having-deprived almost*
τι ἁπάντων, αὐτοῖς τε καὶ τοῖς ἄλλοις ἀνθρώποις κακὰ
*— all on-them both and on-the other men evils*
ἤνεγκεν. ἁψαμένη γὰρ αὐτῶν ἡ πενία πρῶτον, εἶτα
*brought having-seized for them the poverty first then*
καὶ διὰ τῶν ἄλλων ἐχώρει, οἷς τι καὶ πρότερον
*also through the others went to-whom anything also before*
ὠφελείας μετῆν.
*of-benefit there-was-a-share*

33 καὶ ἤν τις τὴν ξυμπεπτωκυῖαν αὐτοῖς ἐνθένδε ζημίαν ἐς
*and if anyone the having-befallen them thence loss into*
ἔτη δύο καὶ τριάκοντα διαριθμοῖτο, εὑρήσει τὸ μέτρον
*years two and thirty should-count-up he-will-find the measure*
ὧνπερ αὐτοὺς ἀποστερεῖσθαι ξυνέπεσε.
*of-which-very them to-be-deprived it-befell*

## XXV · MERCHANTS AND COINAGE

*Justinian sets up customs houses on the Hellespont and the Bosporus, and the Syrian Addaeus fines the shipowners at Byzantium. The money-changers are made to give fewer folles for the gold stater. Silk, once made in Berytus and Tyre, is capped at eight gold pieces a pound; the merchants are ruined, Theodora fines them a centenarius, and Peter Barsymes takes the trade as a monopoly of the treasury. The silk workers of the cities are reduced to beggary, and many flee to Persia.*

1 Τοὺς μὲν στρατευομένους οὕτως ὁ τύραννος ὅδε
*the indeed serving-soldiers thus the tyrant this*
διεχρήσατο. ἅπερ δὲ αὐτῷ ἐς ἐμπόρους τε καὶ ναύτας
*destroyed what and by-him toward merchants both and sailors*

καὶ βαναύσους καὶ ἀγοραίους ἀνθρώπους, δι᾽ αὐτῶν τε
*and craftsmen and market men through them both*
καὶ ἐς τοὺς ἄλλους ἅπαντας εἴργασται, φράσων ἔρχομαι.
*and toward the others all has-been-done going-to-tell I-come*
πορθμὼ δύο ἑκατέρωθεν Βυζαντίου ἐστόν, ἅτερος μὲν 2
*straits two on-either-side of-Byzantium are the-one indeed*
ἐφ᾽ Ἑλλησπόντου ἀμφὶ Σηστόν τε καὶ Ἄβυδον, ὁ δὲ
*at Hellespont about Sestus both and Abydus the and*
δὴ ἕτερος ἐπὶ τοῦ στόματος τοῦ Εὐξείνου καλουμένου
*indeed other at the mouth of-the Euxine called*
Πόντου, οὗ τὸ Ἱερὸν ὀνομάζεται.
*Sea where the Hieron is-named*
ἐν μὲν οὖν τῷ Ἑλλησπόντου πορθμῷ τελωνεῖον μὲν ἐν 3
*in indeed then the of-Hellespont strait custom-house indeed in*
δημοσίῳ ὡς ἥκιστα ἦν, ἄρχων δέ τις ἐκ βασιλέως
*public as least there-was official but a-certain from emperor*
στελλόμενος ἐν Ἀβύδῳ καθῆστο, διερευνώμενος μέν, ἢν ναῦς
*sent at Abydus sat searching-out indeed if ship*
ὅπλα φέρουσα ἐς Βυζάντιον οὐ βασιλέως ἴοι γνώμῃ, καὶ
*arms carrying to Byzantium not of-emperor should-go by-will and*
ἤν τις ἐκ Βυζαντίου ἀνάγοιτο οὐ φερόμενος γράμματα
*if anyone from Byzantium should-put-to-sea not carrying letters*
τῶν ἀνδρῶν καὶ σημεῖα οἷς ἐπίκειται ἡ τιμὴ αὕτη (οὐ γὰρ
*of-the men and seals on-whom lies the office this not for*
θέμις τινὰ ἐκ Βυζαντίου ἀνάγεσθαι οὐκ ἀφειμένον πρὸς τῶν
*lawful anyone from Byzantium to-put-to-sea not released by the*
ἀνδρῶν, οἳ τῇ τοῦ μαγίστρου καλουμένου ἀρχῇ ὑπουργοῦσι)
*men who to-the of-the master called office serve*
πραττόμενος δὲ τοὺς τῶν πλοίων κυρίους τέλος οὐδενὶ
*exacting and the of-the ships owners duty to-no-one*

αἴσθησιν παρεχόμενον ἀλλ᾽ ὥσπερ τινὰ μισθὸν ὁ ταύτην
*perception giving but as-if some wage the this*
δὴ τὴν ἀρχὴν ἔχων τοῦ ἔργου τούτου λαμβάνειν ἠξίου·
*indeed the office holding of-the work this to-take deemed-fit*
4 ὁ μέντοι ἐπὶ πορθμοῦ τοῦ ἑτέρου στελλόμενος τὸν μισθὸν
*the however at strait the other sent the wage*
ἀεὶ πρὸς βασιλέως κεκομισμένος ἦν καὶ διερευνώμενος ἐς
*always from emperor having-received was and searching-out to*
τὸ ἀκριβὲς ταῦτά τε, ἅπερ μοι εἴρηται, καὶ ἤν τι
*the exact these(-things) both which by-me have-been-said and if anything*
ἐς τοὺς βαρβάρους κομίζοιτο, οἳ παρὰ τὸν Εὔξεινον
*to the barbarians should-be-carried who beside the Euxine*
ἵδρυνται Πόντον, ὥνπερ οὐ θέμις ἐκ Ῥωμαίων τῆς γῆς
*are-settled Sea of-which-very not lawful from of-Romans the land*
ἐς τοὺς πολεμίους κομίζεσθαι. οὐδὲν μέντοι ἐξῆν τῷ
*to the enemies to-be-carried nothing however was-permitted to-the*
ἀνδρὶ τούτῳ πρὸς τῶν τῇδε ναυτιλλομένων προσίεσθαι.
*man this from those there sailing to-accept*
5 ἐξ οὗ δὲ Ἰουστινιανὸς τὴν βασιλείαν παρέλαβε,
*from which and Justinian the empire took-over*
τελωνεῖόν τε δημόσιον κατεστήσατο ἐν πορθμῷ ἑκατέρῳ
*custom-house both public he-set-up in strait each*
καὶ μισθοφόρους ἄρχοντας δύο ἐς ἀεὶ πέμπων μίσθωσιν μὲν
*and hired officials two for ever sending hire indeed*
αὐτοῖς παρείχετο τὴν ξυγκειμένην, ἐπήγγελλε δὲ χρήματά
*to-them provided the agreed enjoined and money*
οἱ ὅτι πλεῖστα ἐνθένδε ἀποφέρειν δυνάμει τῇ πάσῃ.
*to-him as most thence to-carry-off with-power the all*
6 οἱ δὲ ἄλλο οὐδὲν ἢ εὔνοιάν οἱ τὴν ἐς αὐτὸν
*they and other nothing than goodwill to-him the toward him*
ἐνδείκνυσθαι ἐν σπουδῇ ἔχοντες ἅπαξάπαντα πρὸς
*to-display in earnestness having all-together from*

τῶν πλεόντων τὰ τῶν φορτίων τιμήματα ληϊζόμενοι
*those sailing the of-the cargoes values plundering*
ἀπηλλάσσοντο.
*departed*
Ἐν μὲν οὖν πορθμῷ ἑκατέρῳ ταῦτα ἐποίει· ἐν δὲ 7
*in indeed then strait each these(-things) he-did in but*
Βυζαντίῳ ἐπενόει τάδε. τῶν τινά οἱ ἐπιτηδείων
*Byzantium devised these(-things) of-the some-one his intimates*
προὐστήσατο, Σύρον μὲν γένος, ὄνομα δὲ Ἀδδαῖον, ᾧ
*he-put-in-charge Syrian indeed by-race name and Addaeus to-whom*
δὴ ἐπήγγελλεν ἐκ νηῶν τῶν ἐνταῦθα καταιρουσῶν
*indeed he-enjoined from ships of-the there putting-in*
ὄνησίν τινά οἱ πορίζεσθαι.
*profit some for-him to-procure*
ὁ δὲ πλοῖα ἅπαντα τὰ καταίροντα ἐς τὸν Βυζάντιον 8
*he and vessels all the putting-in to the Byzantine*
λιμένα οὐκέτι ἐνθένδε ἠφίει, ἀλλὰ τοὺς ναυκλήρους ἢ
*harbor no-longer thence released but the ship-masters either*
τοῖς τιμήμασιν ἐζημίου νηῶν τῶν σφετέρων ἢ ἀναφορεῖν
*with-the prices fined of-ships the their-own or to-carry-back*
ἔς τε Λιβύην καὶ Ἰταλίαν ἠνάγκαζε.
*to both Libya and Italy compelled*
καὶ αὐτῶν οἱ μὲν οὔτε ἀντιφορτίζεσθαι οὔτε 9
*and of-them the-ones indeed neither to-take-return-cargo nor*
θαλαττουργεῖν ἔτι ἤθελον, ἀλλὰ καύσαντες τὰ σφέτερα
*to-work-the-sea still wished but having-burned the their-own*
πλοῖα εὐθὺς ἄσμενοι ἀπηλλάσσοντο.
*vessels at-once gladly departed*
ὅσοις μέντοι ἐπάναγκες ἦν ἐκ ταύτης δὴ τῆς ἐργασίας 10
*as-many-as however necessary it-was from this indeed the trade*
τὸν βίον ποιεῖσθαι, οὗτοι δὴ τριπλασίαν πρὸς τῶν
*the living to-make these indeed threefold from the*

ἐμπόρων τὴν μίσθωσιν κεκομισμένοι τὸ λοιπὸν ἐφορτίζοντο
*merchants the hire having-received for-the rest loaded*
τοῖς τε ἐμπόροις περιειστήκει ταύτην σφίσιν αὐτοῖς τὴν
*for-the and merchants it-had-come-around this for-them selves the*
ζημίαν πρὸς τῶν τὰ φορτία ὠνουμένων ἰάσασθαι, οὕτω τε
*loss from those the cargoes buying to-make-good thus and*
λιμοκτονεῖσθαι πάσῃ μηχανῇ τοὺς Ῥωμαίους ξυνέβαινεν.
*to-be-starved by-every device the Romans it-happened*

11 Ἀλλὰ ταῦτα μὲν τῇδε κατὰ τὴν πολιτείαν ἐφέρετο. ἃ
*but these(-things) indeed thus in the state were-carried what*
δὲ καὶ ἐς τὰ κέρματα τοῖς βασιλεῦσιν εἴργασται, οὔ μοι
*and also to the small-change by-the emperors has-been-done not by-me*
παριτέον οἴομαι εἶναι.
*must-be-passed-over I-think to-be*

12 τῶν γὰρ ἀργυραμοιβῶν πρότερον δέκα καὶ διακοσίους
*the for money-changers formerly ten and two-hundred*
ὀβολούς, οὓς φόλλεις καλοῦσιν, ὑπὲρ ἑνὸς στατῆρος
*obols which folles they-call for one stater*
χρυσοῦ προΐεσθαι τοῖς ξυμβάλλουσιν εἰωθότων, αὐτοὶ
*of-gold to-give-out to-those dealing being-accustomed they-themselves*
ἐπιτεχνώμενοι κέρδη οἰκεῖα ὀγδοήκοντα καὶ ἑκατὸν μόνους
*contriving gains own eighty and hundred only*
ὑπὲρ τοῦ στατῆρος δίδοσθαι τοὺς ὀβολοὺς διετάξαντο.
*for the stater to-be-given the obols ordained*
ταύτῃ δὲ νομίσματος ἑκάστου χρυσοῦ ἕκτην ἀπέτεμον
*thus and of-coin each gold sixth they-cut-off*
μοῖραν *** πάντων ἀνθρώπων.
*portion (lacuna) of-all men*

13 Ἐπεὶ δὲ οἱ βασιλεῖς οὗτοι τῶν ὠνίων τὰ πλεῖστα εἰς
*when and the emperors these of-the wares the most into*
τὰ καλούμενα περιστήσαντες μονοπώλια, τούς τι
*the called having-turned monopolies those anything*

ὠνήσασθαι βουλομένους ἀεὶ καθ' ἑκάστην ἀπέπνιγον,
*to-buy wishing always by each-day strangled*
μόνα δὲ αὐτοῖς ἀνέφαπτα τὰ τῆς ἐσθῆτος ἐλέλειπτο
*alone and to-them untouched the of-the clothing had-been-left*
πωλητήρια, μηχανῶνται καὶ ἀμφ' αὐτοῖς τάδε.
*shops they-contrive also about them these(-things)*
ἱμάτια τὰ ἐκ μετάξης ἐν Βηρυτῷ μὲν καὶ Τύρῳ πόλεσι 14
*garments those from silk in Berytus indeed and Tyre cities*
ταῖς ἐπὶ Φοινίκης ἐργάζεσθαι ἐκ παλαιοῦ εἰώθει.
*the in Phoenicia to-be-made from old was-customary*
οἵ τε τούτων ἔμποροί τε καὶ ἐπιδημιουργοὶ καὶ τεχνῖται 15
*the both of-these merchants both and resident-workers and craftsmen*
ἐνταῦθα τὸ ἀνέκαθεν ᾤκουν, ἐνθένδε τε ἐς γῆν ἅπασαν
*there the from-of-old dwelt thence and to land all*
φέρεσθαι τὸ ἐμπόλημα τοῦτο ξυνέβαινεν.
*to-be-carried the merchandise this it-happened*
ἐπεὶ δὲ Ἰουστινιανοῦ βασιλεύοντος οἱ ἐπὶ ταύτῃ τῇ 16
*when and Justinian reigning those at this the*
ἐργασίᾳ ἔν τε Βυζαντίῳ καὶ πόλεσι ταῖς ἄλλαις ὄντες
*trade in both Byzantium and cities the other being*
ἀξιωτέραν ἀπεδίδοντο τὴν ἐσθῆτα ταύτην, αἰτιώμενοι
*dearer sold the clothing this alleging*
μεῖζον μὲν ἢ πρότερον ἐν χρόνῳ τῷ παρόντι ὑπὲρ
*greater indeed than before in time the present for*
αὐτῆς καταβάλλεσθαι τὸ τίμημα Πέρσαις, πλείω δὲ
*it to-be-paid the price to-Persians more and*
νῦν τὰ δεκατευτήρια εἶναι ἐν γῇ τῇ Ῥωμαίων, δόκησιν
*now the customs-houses to-be in land the of-Romans appearance*
ἅπασιν ὁ αὐτοκράτωρ παρεχόμενος ὅτι δὴ ἐπὶ τούτῳ
*to-all the autocrat giving that indeed at this*

ἀγανακτοίη, νόμῳ ἅπασιν ἀπεῖπε μὴ πλέον ἢ ὀκτὼ
*he-was-indignant by-law to-all forbade not more than eight*
χρυσῶν τῆς τοιαύτης ἐσθῆτος τὴν λίτραν εἶναι.
*of-gold-pieces of-the such clothing the pound to-be*

17 καὶ προστίμημα ἔκειτο τοῖς παραβησομένοις τὸν νόμον
*and penalty was-laid-down for-those going-to-transgress the law*
τῶν ὑπαρχόντων στερεῖσθαι χρημάτων. ταῦτα τοῖς
*of-the existing to-be-deprived money these(-things) to-the*
ἀνθρώποις ἀμήχανά τε καὶ ἄπορα ἐδόκει παντάπασιν
*men impossible both and unworkable seemed altogether*
εἶναι. οὐ γὰρ οἷόν τε ἦν τοὺς ἐμπόρους μείζονος τιμῆς
*to-be not for possible — was the merchants at-greater price*
τὰ φορτία ταῦτα ἐωνημένους ἐλάσσονος αὐτὰ τοῖς
*the cargoes these having-bought at-less them to-those*
ξυμβάλλουσιν ἀποδίδοσθαι.
*dealing to-sell*

18 διὸ δὴ ταύτην μὲν τὴν ἐμπορίαν ἐργολαβεῖν
*wherefore indeed this indeed the trade to-undertake*
οὐκέτι ἠξίουν, ἐπικλοπώτερον δὲ φορτίων τῶν σφίσιν
*no-longer they-deemed-fit more-stealthily and of-cargoes of-the to-them*
ἀπολελειμμένων ἐποιοῦντο κατὰ βραχὺ τὰς πράσεις,
*left-over they-made by little the sales*
δηλονότι τῶν γνωρίμων τισίν, οἷσπερ τὰ τοιαῦτα
*evidently of-the acquaintances to-some to-whom-indeed with-the such(-things)*
καλλωπίζειν τὰ σφέτερα αὐτῶν προϊεμένοις ἐν ἡδονῇ
*to-adorn-(themselves) the their own giving-out in pleasure*
ἦν ἢ τρόπῳ τῳ ἀναγκαῖον ἐγίνετο.
*was or in-way some necessary came-about*

19 ὧν δὴ ἡ βασιλὶς ἐπιψιθυριζόντων τινῶν αἰσθομένη,
*of-which indeed the empress whispering some having-perceived*
καίπερ οὐ βασανίσασα τὰ θρυλλούμενα, ξύμπαντα εὐθὺς
*although not having-examined the-things rumored all at-once*

τὰ φορτία τοὺς ἀνθρώπους ἀφείλετο, καὶ χρυσίον αὐτοὺς
*the cargoes the men she-took-from and gold them*
ἐς κεντηνάριον ἐπιτιμησαμένη. *** ἄρχει δὲ ταύτης
*to centenarius having-fined (lacuna) rules and of-this*
ἔν γε Ῥωμαίοις τῆς ἐργασίας ὁ τοῖς βασιλικοῖς
*among at-least Romans of-the trade the over-the imperial*
ἐφεστὼς θησαυροῖς.
*set treasuries*
Πέτρον οὖν τὸν Βαρσύμην ἐπίκλησιν ἐπὶ ταύτης 20
*Peter then — Barsymes by-surname over this*
καταστησάμενοι τῆς τιμῆς οὐ πολλῷ ὕστερον ἐπεχώρουν
*having-set the office not much later they-allowed*
αὐτῷ πράσσειν ἀνόσια ἔργα.
*him to-do unholy deeds*
τοὺς μὲν γὰρ ἄλλους ἅπαντας τὸν νόμον ἐς τὸ ἀκριβὲς 21
*the indeed for others all the law to the exact*
ἐδικαίου τηρεῖν, τοὺς δὲ τοῦ ἔργου τούτου τεχνίτας
*he-required to-keep the and of-the work this craftsmen*
αὐτῷ μόνῳ ἀναγκάζων ἐργάζεσθαι ἀπεδίδοτο, οὐκέτι
*for-him alone compelling to-work he-sold no-longer*
ἐπικρυπτόμενος, ἀλλ᾽ ἐν τῷ δημοσίῳ τῆς ἀγορᾶς βαφῆς
*concealing but in the public-square of-the market dye*
μὲν τῆς προστυχούσης τὴν οὐγκίαν οὐχ ἧσσον ἢ κατὰ ἓξ
*indeed of-the ordinary the ounce not less than at six*
χρυσῶν, βάμματος δὲ τοῦ βασιλικοῦ, ὅπερ καλεῖν ὁλόβηρον
*gold-pieces of-dye but of-the imperial which-very to-call holoverum*
νενομίκασι, πλέον ἢ τεσσάρων καὶ εἴκοσι χρυσῶν.
*they-have-been-accustomed more than four and twenty gold-pieces*

22 καὶ βασιλεῖ μὲν ἐνθένδε μεγάλα χρήματα ἔφερεν, αὐτὸς
*and to-emperor indeed thence great money he-brought he-himself*
δὲ περιβαλλόμενος πλείω ἐλάνθανεν, ὅπερ ἀπ᾽ αὐτοῦ
*but surrounding-himself-with more escaped-notice which-very-thing from him*
ἀρξάμενον ἐς ἀεὶ ἔμεινε.
*having-begun for ever remained*

23 μόνος γὰρ ἐς τόδε τοῦ χρόνου ἔμπορός τε ἀπαρακαλύπτως
*alone for to this of-the time merchant both openly*
καὶ κάπηλος τοῦ ἐμπολήματος τοῦδε καθίσταται.
*and retailer of-the merchandise this is-set*

24 ἔμποροι μὲν οὖν ὅσοι πρότερον τὴν ἐργασίαν ταύτην
*merchants indeed then as-many-as before the trade this*
μετήεσαν ἔν τε Βυζαντίῳ καὶ πόλει ἑκάστῃ θαλαττουργοί τε
*pursued in both Byzantium and city each seafaring both*
καὶ ἔγγειοι ἐφέροντο ὡς τὸ εἰκὸς τὰ ἐκ τῆς ἐργασίας κακά.
*and landsmen bore as the likely the from the trade evils*

25 ἐν δὲ πόλεσιν ὁ δῆμος σχεδόν τι ὅλος ταῖς εἰρημέναις
*in and cities the people almost — whole the stated*
προσαιτητὴς ἐξαπιναίως ἐγένετο. βάναυσοι γὰρ ἄνθρωποι
*beggar suddenly became craftsmen for men*
καὶ χειρώνακτες λιμῷ παλαίειν, ὡς τὸ εἰκός,
*and handworkers with-hunger to-wrestle as the likely*
ἠναγκάζοντο, πολλοί τε ἀπ᾽ αὐτοῦ τὴν πολιτείαν
*were-compelled many and from it the citizenship*
μεταβαλλόμενοι φεύγοντες ᾤχοντο ἐς τὰ Περσῶν ἤθη.
*changing fleeing went to the of-Persians haunts*

26 μόνος δὲ ἀεὶ ὁ τῶν θησαυρῶν ἄρχων ἐνεργολαβῶν
*alone and always the of-the treasuries ruler contracting-for*
τὸ ἐμπόλημα τοῦτο μοῖραν μὲν βασιλεῖ, ὥσπερ εἴρηται,
*the merchandise this portion indeed to-emperor as has-been-said*
πόρων τῶν ἐνθένδε ἀποφέρειν ἠξίου, αὐτὸς δὲ τὰ πλείω

φερόμενος δημοσίαις συμφοραῖς ἐπλούτει. ταῦτα μὲν
*taking by-public calamities grew-rich these(-things) indeed*
οὖν τῇδε κεχώρηκεν.
*then thus have-gone*

## XXVI · THE CITIES STRIPPED

*Justinian abolishes the fees of the advocates, takes the physicians' and teachers' salaries, and diverts the cities' civic and spectacle funds to the treasury. Theaters and hippodromes close, and no public buildings are kept up. The consulship lapses. He monopolizes bread, filling it with ash, and lets the aqueduct decay while building palaces by the sea. Alexander the Scissors ends the allowances Theoderic had left to the Palace guards and the beggars of Rome, and Justinian approves; Alexander takes the Greek cities' funds to pay the garrison at Thermopylae. Hephaestus of Alexandria monopolizes the city's trade and grain, and takes from its poor the grain dole Diocletian had granted them.*

Ὅντινα δὲ τρόπον τῶν πόλεων τοὺς κόσμους καὶ τὰ 1
*in-what and manner of-the cities the ornaments and the*
ἐγκαλλωπίσματα πάντα ἔν τε Βυζαντίῳ καὶ πόλει ἑκάστῃ
*embellishments all in both Byzantium and city each*
καθελεῖν ἴσχυσεν αὐτίκα ἐροῦμεν.
*to-pull-down he-had-strength at-once we-will-tell*
πρῶτα μὲν καταλύειν τὸ τῶν ῥητόρων ἀξίωμα ἔγνω. τά 2
*first indeed to-dissolve the of-the orators dignity he-resolved the*
τε γὰρ ἔπαθλα αὐτοὺς ἀφείλετο εὐθὺς ἅπαντα, οἷσπερ
*both for prizes them he-took-from at-once all with-which-indeed*
τρυφᾶν τε τὰ πρότερα καὶ ἐγκαλλωπίζεσθαι
*to-live-luxuriously both the formerly and to-pride-themselves*
τῆς συνηγορίας ἀφειμένοι εἰώθασι, καὶ διωμότους
*from-the advocacy released they-are-accustomed and sworn*

συνίστασθαι τοὺς διαφερομένους ἐκέλευσε, καὶ ἀπ᾽ αὐτοῦ
*to-be-brought-together the disputants he-ordered and from it*
περιυβρισμένοι ἐν πολλῇ ἀθυμίᾳ ἐγένοντο.
*outraged in much despondency they-came-to-be*

3 ἐπεὶ δὲ τῶν τε ἀπὸ τῆς συγκλήτου βουλῆς καὶ τῶν ἄλλων
*when and of-those both from the assembled council and of-the other*
εὐδαιμόνων δοκούντων εἶναι ἔν τε Βυζαντίῳ καὶ πάσῃ τῇ
*prosperous seeming to-be in both Byzantium and all the*
Ῥωμαίων ἀρχῇ πάσας, ὥσπερ ἐρρήθη, τὰς οὐσίας ἀφείλετο,
*of-Romans empire all as was-said the properties he-took-away*
ἀργεῖν τὸ λοιπὸν τῷ ἐπιτηδεύματι τούτῳ ἐλέλειπτο.
*to-lie-idle for-the rest to-the profession this had-been-left*

4 οὐ γὰρ εἶχον ἄνθρωποι λόγου ὁτουοῦν οὐδὲν ἄξιον,
*not for had men of-account any-whatever nothing worthy*
οὗπερ ἂν καὶ ἀμφισβητοῖεν ἀλλήλοις. αὐτίκα τοίνυν
*about-which-very — also they-might-dispute with-each-other at-once therefore*
ἐκ πολλῶν μὲν ὀλίγοι, ἐξ ἐνδόξων δὲ λίαν κομιδῇ
*from many indeed few from distinguished and very utterly*
ἄδοξοι πανταχόθι γεγονότες τῆς γῆς πενίᾳ μέν, ὡς
*undistinguished everywhere having-become of-the earth by-poverty indeed as*
τὸ εἰκός, πολλῇ εἴχοντο, μόνην δὲ ὕβριν τὴν ἀπὸ τοῦ
*the likely much were-held only and outrage the from the*
ἔργου φερόμενοι ἀπηλλάσσοντο.
*work carrying they-departed*

5 Ἀλλὰ καὶ τοὺς ἰατρούς τε καὶ διδασκάλους τῶν
*but also the physicians both and teachers of-the*
ἐλευθερίων τῶν ἀναγκαίων ἀπορεῖσθαι πεποίηκε. τάς τε
*liberal-arts of-the necessities to-be-in-want he-has-made the and*
γὰρ σιτήσεις, ἃς οἱ πρότερον βεβασιλευκότες ἐκ τοῦ
*for allowances which the formerly having-reigned from the*

δημοσίου χορηγεῖσθαι τούτοις δὴ τοῖς ἐπιτηδεύμασιν
*treasury to-be-supplied to-these indeed the professions*
ἔταξαν, ταύτας δὴ οὗτος ἀφείλετο πάσας.
*ordered these indeed this-man took-away all*
καὶ μὴν καὶ ὅσους οἱ τὰς πόλεις οἰκοῦντες ἁπάσας 6
*and indeed also as-many-as those the cities inhabiting all*
πολιτικῶν σφίσιν ἢ θεωρητικῶν οἴκοθεν πεποίηνται
*of-civic for-themselves or of-spectacle from-home have-made*
πόρους, καὶ τούτους μεταγαγὼν φόροις ἀναμῖξαι τοῖς
*revenues also these having-transferred with-taxes to-mix-in the*
δημοσίοις ἐτόλμησε.
*public he-dared*
καὶ οὔτε ἰατρῶν τις ἢ διδασκάλων τὸ λοιπὸν ἐγίνετο 7
*and neither of-physicians any or of-teachers for-the rest was*
λόγος οὔτε δημοσίας τις ἔτι οἰκοδομίας προνοεῖν
*account nor of-public anyone still building to-take-thought-for*
ἴσχυσεν οὔτε λύχνα ταῖς πόλεσιν ἐν δημοσίῳ ἑκάετο οὔτε
*could nor lamps for-the cities in public were-lit nor*
τις ἦν ἄλλη παραψυχὴ τοῖς ταύτας οἰκοῦσι.
*any was other consolation to-those them inhabiting*
τά τε γὰρ θέατρα καὶ ἱππόδρομοι καὶ κυνηγέσια ἐκ τοῦ 8
*the both for theaters and hippodromes and hunting-shows from the*
ἐπὶ πλεῖστον ἅπαντα ἤργει, οὗ δή οἱ τὴν γυναῖκα
*for most all lay-idle where indeed to-him the wife*
τετέχθαι τε καὶ τεθράφθαι καὶ πεπαιδεῦσθαι ξυνέβαινεν.
*to-have-been-born both and to-have-been-raised and to-have-been-educated it-happened*
ὕστερον δὲ ταῦτα δὴ ἀργεῖν ἐν Βυζαντίῳ ἐκέλευσε τὰ 9
*later and these indeed to-lie-idle in Byzantium he-ordered the*
θεάματα, τοῦ μὴ τὰ εἰωθότα χορηγεῖν τὸ δημόσιον
*spectacles so-that not the customary-things to-supply the treasury*

πολλοῖς τε καὶ σχεδόν τι ἀναρίθμοις οὖσιν, οἷς ἐνθένδε
*to-many both and almost — to-countless being to-whom thence*
ὁ βίος.
*the livelihood*

10 ἦν τε ἰδίᾳ τε καὶ κοινῇ λύπη τε καὶ κατήφεια,
*there-was and privately both and publicly grief both and dejection*
ὥσπερ ἄλλο τι τῶν ἀπ᾽ οὐρανοῦ ἐπισκήψασαι πάθος,
*as-if other some of-the from heaven having-swooped suffering*
καὶ βίος πᾶσιν ἀγέλαστος.
*and life for-all laughterless*

11 ἄλλο τε τὸ παράπαν οὐδὲν ἐφέρετο τοῖς ἀνθρώποις
*other and the at-all nothing was-carried to-the men*
ἐν διηγήμασιν, οἴκοι τε οὖσι καὶ ἀγοράζουσι κἂν τοῖς
*in talk at-home both being and marketing and-in the*
ἱεροῖς διατρίβουσιν ἢ συμφοραί τε καὶ πάθη καὶ
*sanctuaries spending-time than calamities both and sufferings and*
καινοτέρων ἀτυχημάτων ὑπερβολή.
*of-newer misfortunes excess*

12 Ταῦτα μὲν οὕτω ταῖς πόλεσιν εἶχεν. ὃ δὲ τῷ λόγῳ
*these(-things) indeed thus for-the cities stood what and to-the account*
λείπεται, τοῦτο εἰπεῖν ἄξιον. ὕπατοι Ῥωμαίων ἀνὰ πᾶν
*remains this to-tell worthy consuls of-Romans through every*
ἔτος ἐγινέσθην δύο, ἄτερος μὲν ἐν Ῥώμῃ, ὁ δὲ δὴ
*year came-to-be two the-one indeed in Rome the and indeed*
ἕτερος ἐν Βυζαντίῳ.
*other in Byzantium*

13 ὅστις δὲ εἰς τὴν τιμὴν ἐκαλεῖτο ταύτην πλέον ἢ κεντηνάρια
*whoever and to the honor was-called this more than centenaria*
χρυσοῦ εἴκοσιν ἐς τὴν πολιτείαν ἀναλοῦν ἔμελλεν, ὀλίγα
*of-gold twenty on the state to-spend was-about few*
μὲν οἰκεῖα, τὰ δὲ πλεῖστα πρὸς βασιλέως κεκομισμένος.
*indeed own the but most from emperor having-received*

ταῦτά τε τὰ χρήματα ἔς τε τοὺς ἄλλους, ὧνπερ 14
*these and the money to both the others of-whom-very*
ἐμνήσθην, καὶ ἐς τῶν βίων τοὺς ἀπορωτέρους ἐκ τοῦ
*I-made-mention and to of-the lives the poorer from the*
ἐπὶ πλεῖστον φερόμενα καὶ διαφερόντως ἐς τοὺς ἐπὶ
*for most being-carried and exceptionally to those on*
σκηνῆς ἅπαντα τὰ πράγματα ἐς ἀεὶ τῇ πόλει ἀνίστη.
*stage all the affairs for ever for-the city raised-up*
ἐξ οὗ δὲ Ἰουστινιανὸς τὴν βασιλείαν παρέλαβεν, οὐκέτι 15
*from which and Justinian the empire took-over no-longer*
καιροῖς τοῖς καθήκουσι ταῦτα ἐπράσσετο· ἀλλὰ τὰ
*at-times the appropriate these(-things) were-done but at-the*
μὲν πρῶτα πολλοῦ Ῥωμαίοις ὕπατος καθίστατο χρόνου,
*indeed first for-long for-Romans consul was-set time*
τελευτῶντες δὲ οὐδὲ ὄναρ τὸ πρᾶγμα ἑώρων, ἐξ οὗ
*finally and not-even in-a-dream the thing they-saw from which*
δὴ πενίᾳ τινὶ ἐνδελεχέστατα ἐσφίγγετο τὰ ἀνθρώπεια,
*indeed by-poverty some most-continually was-squeezed the human-things*
τὰ μὲν εἰωθότα τοῦ βασιλέως οὐκέτι τοῖς ὑπηκόοις
*the indeed customary-things the emperor no-longer to-the subjects*
παρεχομένου, τὰ δὲ ὑπάρχοντα τρόποις ἅπασι πανταχόθεν
*providing the and existing-things by-ways all from-everywhere*
ἀφαιρουμένου.
*taking-away*
Ὡς μὲν οὖν τὰ δημόσια καταπιὼν ξύμπαντα χρήματα 16
*how indeed then the public having-swallowed all money*
τοὺς ἐκ τῆς συγκλήτου βουλῆς ὁ λυμεὼν οὗτος ἕκαστόν
*those from the assembled council the destroyer this each*
τε ἰδίᾳ καὶ κοινῇ ξύμπαντας τὰς οὐσίας ἀφῄρηται,
*both privately and publicly all the properties has-taken-away*
διαρκῶς δεδιηγῆσθαι οἶμαι.
*sufficiently to-have-been-narrated I-think*

17 ὡς δὲ καὶ τοὺς ἄλλους εὐδαίμονας δοκοῦντας εἶναι
*how and also the other prosperous seeming to-be*
συκοφαντίᾳ περιὼν ἀφαιρεῖσθαι τὰ χρήματα ἴσχυσεν,
*by-false-accusation going-around to-take-away the money he-had-strength*
ἱκανώτατά μοι εἰρῆσθαι νομίζω, οὐ μέντοι στρατιώτας
*most-sufficiently by-me to-have-been-told I-consider not however soldiers*
τε καὶ ἄρχουσι πᾶσιν ὑπηρετοῦντας καὶ τοὺς ἐν Παλατίῳ
*both and to-magistrates all serving and those in the-Palace*
στρατευομένους, γεωργούς τε καὶ χωρίων κτήτορας καὶ
*serving farmers both and of-lands owners and*
κυρίους καὶ οἷς ἐν λόγοις τὰ ἐπιτηδεύματά ἐστιν, ἀλλὰ
*masters and to-whom in letters the pursuits are but*
μὴν ἐμπόρους τε καὶ ναυκλήρους καὶ ναύτας βαναύσους
*indeed merchants both and ship-masters and sailors craftsmen*
τε καὶ χειρώνακτας καὶ ἀγοραίους καὶ οἷς ἀπὸ τῶν
*both and handworkers and market-folk and to-whom from the*
ἐπὶ τῆς σκηνῆς ἐπιτηδευμάτων ὁ βίος, καὶ μὴν καὶ τοὺς
*on the stage pursuits the livelihood and indeed also the*
ἄλλους ὡς εἰπεῖν ἅπαντας, ἐς οὓς διικνεῖσθαι βλάβος
*others so-to speak all to whom to-reach harm*
τὸ ἐκ τοῦδε συμβαίνει.
*the from this happens*

18 Οἷα δὲ τούς τε προσαιτητὰς καὶ ἀγελαίους ἀνθρώπους
*what-sort and to-the both beggars and common men*
καὶ πτωχούς τε καὶ λώβῃ πάσῃ ἐχομένους
*and poor both and with-disfigurement every held*
εἰργάσατο, αὐτίκα ἐροῦμεν· τὰ γὰρ ἀμφὶ τοῖς ἱερεῦσιν
*he-did at-once we-will-tell the-things for about the priests*
αὐτῷ πεπραγμένα ἐν τοῖς ὄπισθεν λόγοις λελέξεται.
*by-him done in the later books will-be-told*

πρῶτα μέν, ὅπερ εἴρηται, ἅπαντα περιβεβλημένος τὰ 19
*first indeed as has-been-said all having-surrounded-himself-with the*
πωλητήρια καὶ ὠνίων τῶν ἀναγκαιοτάτων τὰ λεγόμενα
*shops and of-wares the most-necessary the called*
καταστησάμενος μονοπώλια πλέον ἢ τριπλάσια τιμήματα
*having-set-up monopolies more than threefold prices*
πάντας ἀνθρώπους ἐπράττετο.
*all men he-exacted*
καὶ τὰ μὲν ἄλλα ἐπεὶ ἀνάριθμά μοι ἔδοξεν εἶναι, οὐκ ἂν 20
*and the indeed other-things since countless to-me seemed to-be not —*
ἔγωγε λόγῳ ἀτελευτήτῳ καταλέγειν φιλονεικοίην· ἀπὸ δὲ
*I-at-least in-account endless to-enumerate would-strive from and*
τῶν τοὺς ἄρτους ὠνουμένων πικρότατα ἐς πάντα τὸν αἰῶνα
*those the loaves buying most-bitterly into all the age*
ἐσύλει, οὓς δὴ καὶ χειρώνακτας καὶ πτωχοὺς καὶ πάσῃ
*he-plundered whom indeed also handworkers and poor and with-every*
λώβῃ ἐχομένους ἀνθρώπους μὴ οὐκ ὠνεῖσθαι ἀδύνατον.
*disfigurement held men — not to-buy impossible*
αὐτὸς μὲν γὰρ ἐς τρία κεντηνάρια φέρεσθαι ἀνὰ πᾶν 21
*he-himself indeed for to three centenaria to-take through every*
ἔτος ἐνθένδε ἠξίου, ὅπως οἱ ἄρτοι ἀξιώτεροι ὦσι
*year thence deemed-fit so-that the loaves dearer might-be*
καὶ σποδοῦ ἔμπλεῳ· οὐδὲ γὰρ ἐς τοῦτο δὴ τὸ τῆς
*and of-ash full not-even for to this indeed the of-the*
αἰσχροκερδείας ἀσέβημα ὁ βασιλεὺς οὗτος ὀκνηρὸς ἦει·
*greed-for-gain impiety the emperor this hesitant went*
ταύτῃ δὲ τῇ σκήψει οἰκεῖα κέρδη ἐπιτεχνώμενοι οἷς 22
*by-this and the pretext own gains contriving those-on-whom*
ἐπέκειτο ἡ τιμὴ αὕτη αὐτοὶ μὲν ῥᾷστα ἐς πλοῦτόν τινα
*lay the office this themselves indeed most-easily into wealth some*
περιίσταντο μέγαν, λιμὸν δὲ τοῖς πτωχοῖς χειροποίητον
*came-round great famine and for-the poor man-made*

ἐν εὐθηνοῦσι χρόνοις ἀεὶ παρὰ δόξαν εἰργάζοντο, ἐπεὶ
*in plentiful times always contrary-to expectation they-worked since*
οὐδὲ σῖτον ἑτέρωθέν τινι εἰσκομίζεσθαι τὸ παράπαν
*not-even grain from-elsewhere for-anyone to-be-brought-in the at-all*
ἐξῆν, ἀλλὰ ἀναγκαῖον ἦν ἅπασι τούτους δὴ
*was-permitted but necessary it-was for-all these indeed*
ὠνουμένους ἄρτους ἐσθίειν.
*buying loaves to-eat*

23 Τὸν δὲ τῆς πόλεως ὀχετὸν διερρωγότα τε ὁρῶντες
*the and of-the city aqueduct broken both seeing*
καὶ μοῖραν ὕδατος ὀλίγην τινὰ ἐς τὴν πόλιν εἰσάγοντα
*and portion of-water small some into the city bringing-in*
ὑπερεώρων τε καὶ οὐδ' ὁτιοῦν αὐτῷ προέσθαι
*they-disregarded both and not-even anything-whatever on-it to-spend*
ἤθελον, καίπερ ὁμίλου ἀεὶ ἀμφὶ τὰς κρήνας ἀποπνιγομένου
*wished although crowd always about the fountains being-stifled*
πολλοῦ, καὶ τῶν βαλανείων ἀποκεκλεισμένων ἁπάντων·
*much and of-the baths shut all*
καίτοι ἐς οἰκοδομίας θαλασσίους τε καὶ ἀνοήτους ἄλλας
*and-yet on buildings seaside both and senseless other*
μέγεθος χρημάτων οὐδενὶ λόγῳ προΐετο, πανταχόθι τῶν
*size of-money with-no reason he-lavished everywhere of-the*
προαστείων ἐπιτεχνώμενος, ὥσπερ τῶν βασιλείων αὐτοὺς
*suburbs contriving as-if the palaces them*
οὐ χωρούντων, ἐν οἷς δὴ ἅπαντες οἱ πρότερον
*not holding in which indeed all those before*
βεβασιλευκότες διαβιοῦν ἐς ἀεὶ ἤθελον.
*having-reigned to-live for ever wished*

24 οὕτως οὐ χρημάτων φειδοῖ, ἀλλὰ φθόρου ἀνθρώπων
*thus not of-money from-sparing but of-destruction of-men*
ἕνεκα τῆς τοῦ ὀχετοῦ οἰκοδομίας ὀλιγωρεῖν ἔγνω, ἐπεὶ
*for-the-sake-of of-the of-the aqueduct building to-neglect he-resolved since*

οὐδεὶς ἐκ τοῦ παντὸς χρόνου Ἰουστινιανοῦ τοῦδε ἑτοιμότερος
*no-one from the all time than-Justinian this readier*
γέγονεν ἀνθρώπων ἁπάντων χρήματά τε προσποιεῖσθαι
*has-been of-men all money both to-appropriate*
κακῶς, καὶ ταῦτα χειρόνως αὐτίκα δὴ μάλα προέσθαι.
*wickedly and that worse at-once indeed very to-lavish*
δυοῖν τοίνυν ἀπολελειμμένοιν ἔν τε ποτῷ καὶ τοῖς 25
*two therefore being-left in both drink and the*
ἐδωδίμοις τοῖς τὰ ἔσχατα πενομένοις καὶ πτωχοῖς οὖσιν,
*foods to-those the uttermost being-poor and beggars being*
ὕδατός τε καὶ ἄρτου, δι᾽ ἀμφοῖν αὐτούς, ὥσπερ μοι
*of-water both and of-bread through both them as by-me*
δεδιήγηται, βασιλεὺς ὅδε ἔβλαψε, τὸ μὲν ἄπορον
*has-been-narrated emperor this harmed the-one indeed unobtainable*
σφίσι, τὸν δὲ πολλῷ ἀξιώτερον ἐργασάμενος.
*for-them the-other but by-much dearer having-made*
Οὐ μόνον δὲ τοὺς ἐν Βυζαντίῳ προσαιτητάς, ἀλλὰ καὶ 26
*not only and the in Byzantium beggars but also*
τῶν ἑτέρωθι ᾠκημένων τινὰς ἔδρασε ταῦτα, ὥσπερ μοι
*of-those elsewhere dwelling some be-did these(-things) as by-me*
αὐτίκα λελέξεται.
*at-once will-be-told*
Ἰταλίαν γὰρ Θευδέριχος ἑλὼν τοὺς ἐν τῷ Ῥώμης 27
*Italy for Theoderic having-taken those in the of-Rome*
Παλατίῳ στρατευομένους αὐτοῦ εἴασεν, ὅπως τι
*Palace serving there let-remain so-that some*
διασώζοιτο πολιτείας ἐνταῦθα τῆς παλαιᾶς ἴχνος, μίαν
*might-be-preserved of-state there of-the ancient trace one*
ἀπολιπὼν σύνταξιν ἐς ἡμέραν ἑκάστῳ.
*having-left allowance for day to-each*

28 ἦσαν δὲ οὗτοι παμπληθεῖς ἄγαν. οἵ τε γὰρ σιλεντιάριοι
*were and these very-numerous very the both for silentiarii*
καλούμενοι καὶ δομέστικοι καὶ σχολάριοι ἐν αὐτοῖς
*called and domestici and scholarii among them*
ἦσαν, οἷς δὴ ἄλλο οὐδὲν ἀπελέλειπτο ἢ τὸ τῆς
*were to-whom indeed other nothing had-been-left than the of-the*
στρατείας ὄνομα μόνον, καὶ ἡ σύνταξις αὕτη ἐς τὸ
*service name only and the allowance this for the*
ἀποζῆν ἀποχρῶσα μόλις αὐτοῖς, ἅπερ ἔς τε παῖδας καὶ
*to-live-on sufficing scarcely for-them which to both children and*
ἀπογόνους Θευδέριχος αὐτοὺς παραπέμπειν ἐκέλευσε.
*descendants Theoderic them to-pass-on ordered*

29 τοῖς τε προσαιτηταῖς οἳ παρὰ τὸν Πέτρου τοῦ ἀποστόλου
*to-the and beggars who beside the of-Peter the apostle*
νεὼν δίαιταν εἶχον, τρισχιλίους σίτου μεδίμνους χορηγεῖν
*church residence had three-thousand of-grain medimni to-supply*
ἀεὶ τὸ δημόσιον ἀνὰ πᾶν ἔτος διώρισεν· ἅπερ ἅπαντες
*always the treasury through every year he-fixed which all*
οὗτοι διαγεγόνασι κομιζόμενοι ἕως Ἀλέξανδρος ὁ Ψαλίδιος
*these continued receiving until Alexander the Scissors*
ἐς τὴν Ἰταλίαν ἀφίκετο.
*to — Italy came*

30 πάντα γὰρ εὐθὺς οὗτος ἀνὴρ ὀκνήσει οὐδεμιᾷ περιελεῖν
*all-things for at-once this man with-hesitation no to-strip-away*
ἔγνω. ταῦτα μαθὼν Ἰουστινιανὸς Ῥωμαίων αὐτοκράτωρ
*resolved these(-things) having-learned Justinian of-Romans autocrat*
τήν τε πρᾶξιν προσήκατο ταύτην καὶ τὸν Ἀλέξανδρον ἔτι
*the both deed approved this and — Alexander still*
μᾶλλον ἢ πρότερον διὰ τιμῆς ἔσχεν. ἐν ταύτῃ Ἀλέξανδρος
*more than before in honor held on this Alexander*
τῇ πορείᾳ καὶ τοὺς Ἕλληνας εἰργάσατο τάδε.
*the journey also the Greeks did these(-things)*

Τοῦ ἐν Θερμοπύλαις φυλακτηρίου οἱ τὰ ἐκείνῃ γεωργοῦντες 31
*of-the at Thermopylae garrison those the there farming*
χωρία ἐκ παλαιοῦ ἐπεμελοῦντο, ἐκ περιτροπῆς τε τὸ
*lands from old took-care in rotation and the*
ἐνταῦθα τεῖχος ἐφύλασσον, ἡνίκα δὴ ἔφοδος βαρβάρων
*there wall guarded when indeed attack of-barbarians*
τινῶν ὡς ἐπισκήψει ἐς τὴν Πελοπόννησον ἐπίδοξος ἦν.
*some as going-to-swoop into — Peloponnese probable was*
ἀλλ᾽ ἐνταῦθα γενόμενος τότε Ἀλέξανδρος οὗτος προνοεῖν 32
*but there having-come then Alexander this to-take-thought-for*
Πελοποννησίων σκηπτόμενος οὐκ ἔφη γεωργοῖς τὸ ταύτῃ
*Peloponnesians pretending not said to-farmers the there*
φυλακτήριον ἐπιτρέψειν.
*garrison he-would-entrust*
στρατιώτας οὖν ἐνταῦθα εἰς δισχιλίους καταστησάμενος 33
*soldiers then there to two-thousand having-set*
οὐκ ἐκ τοῦ δημοσίου χορηγεῖσθαι σφίσι τὰς συντάξεις
*not from the treasury to-be-supplied to-them the pay*
διώρισεν, ἀλλὰ τῶν ἐν τῇ Ἑλλάδι πασῶν πόλεων τά
*he-fixed but of-the in — Greece all cities the*
τε πολιτικὰ καὶ θεωρητικὰ ξύμπαντα χρήματα ἐς τὸ
*both civic and spectacle all money into the*
δημόσιον ἐπὶ τῷ προσχήματι τούτῳ μετήνεγκεν, ἐφ᾽ ᾧ
*treasury on the pretext this transferred on condition*
ἐνθένδε οἱ στρατιῶται οὗτοι σιτίζοιντο, καὶ ἀπ᾽ αὐτοῦ
*thence the soldiers these might-be-fed and from it*
ἔν τε τῇ ἄλλῃ πάσῃ Ἑλλάδι καὶ οὐχ ἥκιστα ἐν Ἀθήναις
*in both the other all Greece and not least in Athens*
αὐταῖς οὔτε τις ἐν δημοσίῳ οἰκοδομία ἀνενεώθη οὔτε
*itself neither any in public building was-renewed nor*
ἄλλο ἀγαθὸν οἷόν τε ἦν γίνεσθαι.
*other good possible — was to-come-about*

34 Ἰουστινιανὸς μέντοι τὰ τῇδε διῳκημένα τῷ Ψαλιδίῳ
*Justinian however the-things there administered by-the Scissors*
οὐδεμιᾷ μελλήσει ἐπέρρωσε.
*with-no delay confirmed*
35 Ταῦτα μὲν οὖν τῇδε κεχώρηκεν. ἰτέον δὲ καὶ εἰς
*these(-things) indeed then thus have-gone we-must-go and also to*
τοὺς ἐν Ἀλεξανδρείᾳ πτωχούς. Ἥφαιστός τις ἐν
*the in Alexandria poor Hephaestus a-certain among*
τοῖς ἐνταῦθα ῥήτορσιν ἐγεγόνει, ὅσπερ παραλαβὼν τὴν
*the there orators had-been who-indeed having-taken-over the*
Ἀλεξανδρέων ἀρχὴν τὸν μὲν δῆμον τοῦ στασιάζειν
*of-Alexandrians office the indeed people from-the rioting*
κατέπαυσε, φοβερὸς τοῖς στασιώταις φανείς, ἔσχατα
*stopped fearsome to-the partisans having-appeared the-uttermost*
δὲ ἐσχάτων κακὰ τοῖς τῇδε ᾠκημένοις ἐνδέδεικται πᾶσι.
*but of-uttermost evils on-those there dwelling he-has-displayed on-all*
36 πάντα γὰρ εὐθὺς τὰ τῆς πόλεως πωλητήρια ἐς τὸ
*all for at-once the of-the city shops into the*
καλούμενον μονοπώλιον καταστησάμενος ἄλλον μὲν
*called monopoly having-set other indeed*
ἐμπόρων οὐδένα ταύτην δὴ τὴν ἐργασίαν ἐργάζεσθαι εἴα,
*of-merchants no-one this indeed the business to-work allowed*
μόνος δὲ ἁπάντων αὐτὸς γεγονὼς κάπηλος παρεδίδοτο τὰ
*alone and of-all himself having-become retailer he-handed-over the*
ὤνια πάντα, δηλονότι τὰς τούτων τιμὰς τῇ τῆς ἀρχῆς
*wares all evidently the of-these prices by-the of-the office*
ἐξουσίᾳ σταθμώμενος, ἀπεπνίγετό τε τῇ τῶν ἀναγκαίων
*power weighing was-strangled and by-the of-the necessities*
σπάνει ἡ τῶν Ἀλεξανδρέων πόλις, οὗ δὴ καὶ τοῖς τὰ
*scarcity the of-the Alexandrians city where indeed also for-those the*

ἔσχατα πενομένοις τὰ πρότερα εὔωνα διαρκῶς ἐγεγόνει
*uttermost being-poor the formerly cheap sufficiently had-been*
πάντα, μάλιστα δὲ αὐτοὺς ἀμφὶ τῷ ἄρτῳ ἐπίεζε.
*all-things most but them about the bread he-pressed*
τὸν γὰρ σῖτον αὐτὸς ἐξ Αἰγυπτίων ὠνεῖτο μόνος, οὐδὲ 37
*the for grain he-himself from Egyptians bought alone not-even*
ὅσον ἐς μέδιμνον ἕνα ἑτέρῳ ἐνδιδοὺς πρίασθαι, ταύτῃ
*as-much-as to medimnus one to-another granting to-buy thus*
τε τοὺς ἄρτους καὶ τὰ τῶν ἄρτων τιμήματα διετίθετο
*both the loaves and the of-the loaves prices he-disposed*
ἥπερ ἐβούλετο.
*as-indeed he-wished*
πλοῦτον τοίνυν ἀμύθητον αὐτός τε δι᾽ ὀλίγου 38
*wealth therefore untold he-himself both through little*
περιεβάλετο καὶ βασιλεῖ τὴν ἀμφὶ τούτῳ ἐπιθυμίαν
*surrounded-himself-with and for-emperor the about this desire*
ἐνεπλήσατο.
*he-filled-up*
καὶ τῶν μὲν Ἀλεξανδρέων ὁ δῆμος δέει τοῦ Ἡφαίστου 39
*and of-the indeed Alexandrians the people from-fear — of-Hephaestus*
τὰ παρόντα σφίσιν ἡσυχῇ ἔφερον, ὁ δὲ αὐτοκράτωρ
*the present to-them quietly bore the and autocrat*
αἰδοῖ τῶν οἱ ἐς ἀεὶ ἐσκομιζομένων χρημάτων ἐν
*from-regard-for of-the to-him for ever brought-in money among*
τοῖς μάλιστα ὑπερηγάπα τὸν ἄνθρωπον.
*the most loved-exceedingly the man*
Βουλεύσας δὲ Ἥφαιστος οὗτος ὅπως τὴν βασιλέως διάνοιαν 40
*having-planned and Hephaestus this how the of-emperor mind*
πολλῷ ἔτι μᾶλλον ἐξελεῖν δύνηται, προσεπετεχνήσατο
*by-much still more to-win-over he-might-be-able contrived-besides*
τάδε.
*these(-things)*

41 Διοκλητιανὸς Ῥωμαίων γεγονὼς αὐτοκράτωρ σίτου μέγα
*Diocletian of-Romans having-been autocrat of-grain great*
τι χρῆμα δίδοσθαι παρὰ τοῦ δημοσίου τῶν Ἀλεξανδρέων
*some amount to-be-given from the treasury of-the Alexandrians*
τοῖς δεομένοις ἀνὰ πᾶν ἔτος διώρισε.
*to-those needing through every year fixed*
42 ταῦτα ὁ δῆμος τηνικάδε διαδασάμενοι ἐν σφίσιν
*these(-things) the people at-that-time having-divided among them*
αὐτοῖς ἐς ἀπογόνους τοὺς ἄχρι δεῦρο παρέπεμψαν.
*selves to descendants those until here passed-on*
43 ἀλλ᾽ Ἥφαιστος ἐνθένδε μυριάδας ἐς διακοσίας ἐπετείους
*but Hephaestus thence tens-of-thousands to two-hundred yearly*
μεδίμνων τοὺς τῶν ἀναγκαίων ὑποσπανίζοντας
*of-medimni from-those of-the necessities being-short*
ἀφελόμενος τῷ δημοσίῳ ἐντέθεικε, βασιλεῖ γράψας
*having-taken-away into-the treasury has-put-in to-emperor having-written*
ὡς οὐ δικαίως οὐδὲ ᾗ ξυμφέρει τοῖς πράγμασι μέχρι νῦν
*that not justly nor as it-profits the affairs until now*
ταῦτα οἱ ἄνδρες οὗτοι κομίζοιντο.
*these(-things) the men these received*
44 καὶ ἀπ᾽ αὐτοῦ βασιλεὺς μὲν ἐμπεδώσας τὴν πρᾶξιν διὰ
*and from it emperor indeed having-ratified the deed in*
σπουδῆς αὐτὸν μείζονος ἔσχεν, Ἀλεξανδρέων δὲ ὅσοι
*esteem him greater held of-Alexandrians and as-many-as*
ταύτην εἶχον τοῦ βίου ἐλπίδα, ταύτης δὴ ἐν τοῖς
*this had of-the life hope this indeed in the*
ἀναγκαιοτάτοις τῆς ἀπανθρωπίας ἀπώναντο.
*most-necessary-things of-the inhumanity reaped*

*Justinian appoints Paul bishop of Alexandria and orders the governor Rhodon to support him. Paul's accomplice Arsenius is a Samaritan favored by Theodora; relying on him, his father and brother persecuted the Christians of Scythopolis until the citizens killed them. When the deacon Psoes dies under torture, Paul is deposed, Justinian has Rhodon beheaded though he produces thirteen letters of instruction, and Liberius impales Arsenius at Theodora's will. Paul then offers seven centenaria to be restored, and Justinian accepts; only Vigilius refuses. Faustinus, a Samaritan exiled for persecuting Christians, pays, regains his rank, and is made steward of the imperial estates in Palestine and Phoenicia.*

Τὰ μὲν οὖν Ἰουστινιανῷ εἰργασμένα τοσαῦτά ἐστιν, 1
*the-things indeed then by-Justinian done so-many are*
ὥστε μηδὲ τὸν πάντα αἰῶνα τῷ περὶ αὐτῶν λόγῳ
*that not-even the whole age to-the about them account*
ἐπαρκεῖν δύνασθαι.
*to-suffice to-be-able*
ὀλίγα δέ μοι ἅττα ἐκ πάντων ἀπολεξαμένῳ εἰπεῖν 2
*a-few and for-me some from all having-selected to-tell*
ἀποχρήσει, δι᾽ ὧν αὐτοῦ ἔνδηλον καὶ τοῖς ὄπισθεν
*will-suffice through which his manifest also to-those later*
γενησομένοις τὸ ἦθος ἅπαν διαφανῶς ἔσται, ὡς εἴρων τε
*going-to-be the character whole plainly will-be how dissembler both*
ἦν καὶ οὔτε θεοῦ οὔτε ἱερέων οὔτε νόμων αὐτῷ ἔμελεν,
*he-was and neither for-God nor for-priests nor for-laws to-him it-mattered*
οὔτε δήμου κατεσπουδασμένου αὐτῷ δοκοῦντος εἶναι, οὐ
*nor for-people zealously-devoted to-him seeming to-be not*
μὴν οὔτε τινὸς τὸ παράπαν αἰδοῦς ἢ τοῦ τῆς πολιτείας
*indeed nor for-any the at-all shame or for-the of-the state*
ξυμφόρου ἢ ὅτου τι προὔργου ἐς αὐτὴν γένοιτο, ἢ
*advantage or whatever anything useful to it might-become or*

ὅπως σκήψεώς τινος τὰ πρασσόμενα τυχεῖν δύναιτο,
*how pretext some the-things being-done to-obtain might-be-able*
οὔτε ἄλλο τι αὐτὸν ἐσῄει, ὅτι μὴ μόνη ἀφαίρεσις
*nor other anything him entered except — only seizure*
τῶν ἐν πάσῃ γῇ κειμένων χρημάτων. ἄρξομαι δὲ ἐνθένδε.
*of-the in all earth lying money I-will-begin and from-here*
3 Ἀρχιερέα κατεστήσατο Ἀλεξανδρεῦσιν αὐτὸς Παῦλον
*high-priest set for-Alexandrians he-himself Paul*
ὄνομα. ἐτύγχανε δὲ Ῥόδων τις, Φοῖνιξ γένος, ἔχων
*by-name happened and Rhodon a-certain Phoenician by-race holding*
τηνικάδε τὴν Ἀλεξανδρείας ἀρχήν.
*at-that-time the of-Alexandria office*
4 ᾧ δὴ ἐπέστελλεν ἐς ἅπαντα Παύλῳ ὑπηρετεῖν
*to-whom indeed he-enjoined in all-things to-Paul to-serve*
προθυμίᾳ τῇ πάσῃ, ὅπως δὴ ἀτελεύτητον μένοι
*with-zeal the all so-that indeed unaccomplished might-remain*
τῶν πρὸς αὐτοῦ ἐπαγγελλομένων μηδέν.
*of-the-things by him enjoined nothing*
5 ταύτῃ γὰρ τῶν Ἀλεξανδρέων τοὺς αἱρετικοὺς ἑταιρίζεσθαι
*thus for of-the Alexandrians the heretics to-win-over*
αὐτὸν ἐς τὴν ἐν Καλχηδόνι σύνοδον ᾤετο δυνατὸν
*him to the in Chalcedon council he-thought possible*
ἔσεσθαι.
*to-be-going-to-be*
6 ἦν δέ τις Ἀρσένιος, Παλαιστῖνος γένος, ὅσπερ
*there-was and a-certain Arsenius Palestinian by-race who-indeed*
Θεοδώρᾳ τῇ βασιλίδι ἐν τοῖς μάλιστα ἀναγκαιοτάτοις
*to-Theodora the empress in the most most-necessary-things*
ἐπιτήδειος γεγονώς, καὶ ἀπ᾽ αὐτοῦ δύναμίν τε πολλὴν
*useful having-become and from it power both much*

μεγάλα τε περιβαλλόμενος χρήματα ἐς βουλῆς ἀξίωμα
*great and surrounding-himself-with money to of-council rank*
ἦλθε, καίπερ μιαρώτατος ὤν.
*came although most-foul being*
οὗτος Σαμαρείτης μὲν ἦν, τοῦ δὲ μὴ τὴν ὑπάρχουσαν 7
*this-one Samaritan indeed was so-as and not the existing*
προέσθαι δύναμιν ὀνόματος ἀντιλαβέσθαι τοῦ Χριστιανῶν
*to-give-up power of-the-name to-lay-hold-of the of-Christians*
ἔγνω.
*he-resolved*
ὁ μέντοι πατήρ τε καὶ ἀδελφὸς τῇ τούτου δυνάμει 8
*the however father both and brother on-the his power*
θαρσοῦντες διαγεγόνασι μὲν ἐν Σκυθοπόλει, περιστέλλοντες
*relying continued indeed in Scythopolis cherishing*
τὴν πάτριον δόξαν, γνώμῃ δὲ αὐτοῦ ἀνήκεστα τοὺς
*the ancestral belief by-will but his incurable-things the*
Χριστιανοὺς εἰργάζοντο πάντας.
*Christians worked-on all*
διὸ δὴ οἱ πολῖται σφίσιν ἐπαναστάντες ἄμφω 9
*wherefore indeed the citizens against-them having-risen-up both*
ἔκτειναν θανάτῳ οἰκτίστῳ, κακά τε πολλὰ ξυνηνέχθη
*killed by-death most-pitiable evils and many befell*
Παλαιστίνοις ἐνθένδε γενέσθαι.
*for-Palestinians thence to-happen*
τότε μὲν οὖν αὐτὸν οὔτε Ἰουστινιανὸς οὔτε βασιλὶς κακόν τι 10
*then indeed then him neither Justinian nor empress evil any*
ἔδρασαν, καίπερ αἰτιώτατον γεγονότα δυσκόλων ἁπάντων,
*did although most-responsible having-become of-troubles all*
ἀπεῖπον δὲ αὐτῷ ἐς Παλάτιον μηκέτι ἰέναι· ἐνδελεχέστατα
*they-forbade but him to the-Palace no-longer to-come most-continually*
γὰρ τούτου δὴ ἕνεκα πρὸς τῶν Χριστιανῶν ἠνωχλοῦντο.
*for of-this indeed for-the-sake by the Christians they-were-pestered*

11 οὗτος Ἀρσένιος βασιλεῖ χαριεῖσθαι οἰόμενος οὐ πολλῷ
*this Arsenius to-emperor to-do-a-favor thinking not much*
ὕστερον ξὺν τῷ Παύλῳ ἐς τὴν Ἀλεξάνδρειαν στέλλεται,
*later with — Paul to — Alexandria is-sent*
ὡς δὴ τά τε ἄλλα ὑπηρετήσων καὶ τὴν ἐς τοὺς
*as indeed the-things both other going-to-serve and the toward the*
Ἀλεξανδρεῖς πειθὼ ξυγκατεργασόμενος αὐτῷ δυνάμει τῇ
*Alexandrians persuasion going-to-help-accomplish with-him with-power the*
πάσῃ.
*all*

12 ἰσχυρίζετο γὰρ ὑπὸ τὸν χρόνον τοῦτον, ἡνίκα οἱ τοῦ
*he-insisted for under the time this when to-him from-the*
Παλατίου ἀποκεκλεῖσθαι ξυνέπεσε, τῶν ἐν Χριστιανοῖς
*Palace to-be-shut-out it-befell of-the among Christians*
οὐκ ἀμελέτητος γεγονέναι δογμάτων ἁπάντων.
*not unpracticed to-have-become doctrines all*

13 ὅπερ τὴν Θεοδώραν ἠνίασε· τὴν ἐναντίαν γὰρ
*which-very-thing — Theodora grieved the opposite for*
ἐσκήπτετο τῷ βασιλεῖ ἐς τοῦτο ἰέναι, ὥς μοι ἐν τοῖς
*she-pretended to-the emperor in this to-go as by-me in the*
ἔμπροσθεν λόγοις εἴρηται.
*earlier books has-been-said*

14 ἐπεὶ οὖν ἐν Ἀλεξανδρεῦσιν ἐγένοντο, διάκονόν τινα
*when then among Alexandrians they-came deacon a-certain*
Ψόην ὄνομα Ῥόδωνι Παῦλος παρέδωκε τεθνηξόμενον,
*Psoes by-name to-Rhodon Paul handed-over going-to-be-put-to-death*
φάσκων δὴ αὐτὸν μόνον οἱ αὐτῷ ἐμποδὼν ἵστασθαι
*saying indeed him alone to-him himself in-the-way to-stand*
τοῦ μὴ τὰ βασιλεῖ δεδογμένα ὑποτελέσαι.
*so-that not the-things by-emperor resolved to-accomplish*

τοῖς δὲ βασιλέως γράμμασι Ῥόδων ἠγμένος, συχνοῖς τε 15
*by-the and of-emperor letters Rhodon led frequent both*
οὖσι καὶ λίαν σπουδαίοις, αἰκίζεσθαι τὸν ἄνθρωπον ἔγνω.
*being and very urgent to-maltreat the man resolved*
καὶ ὃς ὑπὸ τῆς βασάνου κατατεινόμενος αὐτίκα θνήσκει.
*and he by the torture being-racked at-once dies*
ἅπερ ἐπεὶ ἐς βασιλέα ἦλθεν, ἐγκειμένης ἰσχυρότατα τῆς 16
*which when to emperor came pressing most-strongly the*
βασιλίδος, ἅπαντα βασιλεὺς ἐπὶ Παύλῳ τε καὶ Ῥόδωνι καὶ
*empress all-things emperor against Paul both and Rhodon and*
Ἀρσενίῳ εὐθὺς ἐκίνει, ὥσπερ τῶν πρὸς αὐτοῦ τούτοις
*Arsenius at-once moved as-if of-the-things by him to-these*
δὴ τοῖς ἀνθρώποις ἐπηγγελμένων ἐπιλελησμένος ἁπάντων.
*indeed the men enjoined having-forgotten all*
Λιβέριον οὖν τῶν ἐκ Ῥώμης ἄνδρα πατρίκιον 17
*Liberius then of-those from Rome a-man patrician*
καταστησάμενος ἐπὶ τῆς Ἀλεξανδρέων ἀρχῆς καὶ τῶν
*having-set over the of-Alexandrians office also of-the*
δοκίμων ἱερέων τινὰς ἐς τὴν Ἀλεξάνδρειαν ἔστειλε τὴν
*approved priests some to — Alexandria sent the*
τοῦ πράγματος ποιησομένους διάγνωσιν, ἐν οἷς καὶ
*of-the matter going-to-make judgment among whom also*
ὁ Ῥώμης ἀρχιδιάκονος Πελάγιος ἦν, τὸ Βιγιλίου τοῦ
*the of-Rome archdeacon Pelagius was the of-Vigilius the*
ἀρχιερέως ὑποδὺς πρόσωπον, ἐπιτεταγμένον οἱ τοῦτό
*high-priest having-assumed person having-been-enjoined to-him this*
γε πρὸς τοῦ Βιγιλίου·
*at-least by — Vigilius*
τοῦ τε φόνου ἐληλεγμένου Παῦλον τῆς ἱερωσύνης 18
*the both murder having-been-proved Paul from-the priesthood*
εὐθὺς καθεῖλον, φυγόντα δὲ Ῥόδωνα ἐς Βυζάντιον τήν
*at-once they-deposed having-fled and Rhodon to Byzantium the*

τε κεφαλὴν ἀφείλετο ὁ βασιλεὺς καὶ τὰ χρήματα ἐς
*both head took-off the emperor and the money to*
τὸ δημόσιον ἀνάγραπτα ἐποιήσατο, καίπερ τρισκαίδεκα
*the treasury registered made although thirteen*
ἐπιστολὰς τοῦ ἀνθρώπου ἐνδειξαμένου, ἅσπερ αὐτῷ
*letters the man having-shown which-very to-him*
βασιλεὺς ἔγραψε σπουδάζων τε καὶ διατεινόμενος ἄγαν
*emperor wrote urging both and insisting very*
ἐπαγγέλλων τε ἅπαντα τῷ Παύλῳ ὑπηρετεῖν ἐπιτάττοντι
*enjoining both in-all-things — to-Paul to-serve commanding*
καὶ μηδ' ὁτιοῦν ἀντιτείνειν, ὅπως ἐπὶ τῇ δόξῃ
*and not-even anything-whatever to-oppose so-that on the belief*
ἐπιτελέσαι τὰ δόξαντα δυνατὸς εἴη.
*to-accomplish the-things resolved able he-might-be*

19 Ἀρσένιόν τε Λιβέριος γνώμῃ Θεοδώρας ἀνεσκολόπισε, καὶ
*Arsenius both Liberius by-will of-Theodora impaled and*
αὐτοῦ τὰ χρήματα δημοσιοῦν βασιλεὺς ἔγνω, καίπερ οὐδὲν
*his the money to-confiscate emperor resolved although nothing*
αὐτῷ ἐπεγκαλεῖν ἔχων ἢ ὅτι ξὺν τῷ Παύλῳ δίαιταν εἶχε.
*him to-charge having than that with — Paul company he-had*

20 Ταῦτα μὲν οὖν εἴτε ὀρθῶς εἴτε ἄλλῃ πη αὐτῷ
*these(-things) indeed then whether rightly or otherwise somehow by-him*
εἴργασται, οὐκ ἔχω εἰπεῖν, ὅτου δὲ δὴ ἕνεκα ταῦτά
*have-been-done not I-have to-tell of-what but indeed for-the-sake these(-things)*
μοι εἴρηται αὐτίκα δηλώσω.
*by-me have-been-said at-once I-will-show*

21 ὁ Παῦλος χρόνῳ τινὶ ὕστερον ἐς Βυζάντιον ἥκων ἑπτά τε
*— Paul at-time some later to Byzantium having-come seven and*
χρυσοῦ κεντηνάρια τῷ βασιλεῖ τούτῳ προέμενος ἠξίου τὴν
*of-gold centenaria to-the emperor this having-lavished deemed-fit the*
ἱερωσύνην ἀπολαβεῖν ἅτε αὐτὴν οὐδενὶ νόμῳ ἀφῃρημένος.
*priesthood to-recover as it by-no law having-been-deprived-of*

Ἰουστινιανὸς δὲ τά τε χρήματα ἐδέξατο πρᾴως καὶ 22
*Justinian and the both money received gently and*
τὸν ἄνθρωπον ἐν τιμῇ ἔσχεν, ἀρχιερέα τε ὡμολόγησεν
*the man in honor held high-priest and he-agreed*
Ἀλεξανδρεῦσιν αὐτὸν καταστήσεσθαι αὐτίκα δὴ μάλα,
*for-Alexandrians him to-set at-once indeed very*
καίπερ ἑτέρου τὴν τιμὴν ἔχοντος, ὥσπερ οὐκ εἰδὼς
*although another the honor holding as-if not knowing*
ὅτι δὴ τοὺς αὐτῷ ξυνοικήσαντάς τε καὶ ὑπουργεῖν
*that indeed those with-him having-lived both and to-serve*
τετολμηκότας ἔκτεινέ τε αὐτὸς καὶ τὰς οὐσίας ἀφείλετο.
*having-dared killed both he-himself and the properties took-away*
ὁ μὲν οὖν Σεβαστὸς ἐς ἄγαν διατεινόμενος τὸ πρᾶγμα 23
*the indeed then Augustus to excess straining the matter*
ἐν σπουδῇ ἐποιεῖτο, Παῦλος δὲ διαρρήδην ἐπίδοξος ἦν
*in earnestness made Paul and expressly probable was*
τὴν ἱερωσύνην ἀπολήψεσθαι μηχανῇ πάσῃ.
*the priesthood to-recover by-device every*
ἀλλὰ Βιγίλιος τηνικάδε παρὼν εἴκειν βασιλεῖ τὸ τοιοῦτον 24
*but Vigilius at-that-time being-present to-yield to-emperor the such-thing*
ἐπιτάττοντι οὐδαμῇ ἔγνω. ἔφασκε γὰρ οὐχ οἷός τε
*commanding in-no-way resolved he-said for not able —*
εἶναι ψῆφον τὴν οἰκείαν αὐτὸς ἀνάδικον διειργάσθαι, τὴν
*to-be vote the own himself reopened to-render the*
Πελαγίου παραδηλῶν γνῶσιν.
*of-Pelagius hinting judgment*
οὕτως ἄλλου οὐδενὸς τῷ βασιλεῖ τούτῳ ὅτι μὴ χρημάτων 25
*thus of-other nothing to-the emperor this except — of-money*
ἀφαιρέσεως ἀεὶ ἔμελεν. εἰρήσεται δὲ καὶ ἄλλο τοιόνδε.
*seizure always it-mattered will-be-told and also other such-thing*

26 Φαυστῖνος ἦν τις, Παλαιστῖνος γένος, Σαμαρείτης
*Faustinus there-was a-certain Palestinian by-race Samaritan*
μὲν γεγονὼς ἄνωθεν, ὀνόματος δὲ τοῦ Χριστιανῶν
*indeed having-been from-the-beginning of-the-name and the of-Christians*
ἀντιλαμβανόμενος ἀνάγκῃ τοῦ νόμου.
*laying-hold-of by-compulsion of-the law*

27 οὗτος ὁ Φαυστῖνος ἔς τε βουλῆς ἀξίωμα ἦλθε καὶ τῆς
*this — Faustinus to both of-council rank came and of-the*
χώρας τὴν ἀρχὴν ἔσχεν, ἥσπερ αὐτὸν παραλυθέντα
*land the office held from-which-very him having-been-removed*
οὐ πολλῷ ὕστερον ἔς τε τὸ Βυζάντιον ἥκοντα τῶν τινες
*not much later to and — Byzantium having-come of-the some*
ἱερέων διέβαλλον ἐπενεγκάμενοι ὡς Σαμαρειτῶν νόμιμα
*priests denounced having-alleged that of-Samaritans rites*
περιστέλλει, καὶ Χριστιανοὺς δράσειε τοὺς ἐν Παλαιστίνῃ
*he-cherishes and to-Christians did those in Palestine*
ᾠκημένους ἀνόσια ἔργα.
*dwelling unholy deeds*

28 Ἰουστινιανὸς δὲ ἀγριαίνεσθαί τε καὶ δεινὰ ποιεῖσθαι
*Justinian and to-grow-savage both and terrible-things to-make*
διὰ ταῦτα ἐδόκει, ὅτι δὴ αὐτοῦ τὴν Ῥωμαίων ἀρχὴν
*because-of these(-things) seemed that indeed him the of-Romans empire*
ἔχοντος τὸ τοῦ Χριστοῦ ὄνομα ὑφ᾽ ὁτουοῦν διασύροιτο.
*holding the — of-Christ name by anyone-whatever should-be-disparaged*

29 οἱ μὲν οὖν ἐκ τῆς συγκλήτου βουλῆς τὴν διάγνωσιν
*those indeed then from the assembled council the judgment*
πεποιημένοι τοῦ πράγματος φυγῇ τὸν Φαυστῖνον
*having-made of-the matter with-exile — Faustinus*
ἐζημίωσαν, βασιλέως ἐγκειμένου σφίσι.
*punished emperor pressing on-them*

βασιλεὺς δὲ πρὸς αὐτοῦ χρήματα ὅσα ἐβούλετο 30
*emperor but from him money as-much-as he-wished*
κεκομισμένος ἀνάδικα εὐθὺς τὰ δεδικασμένα ἐποίησε.
*having-received reopened at-once the-things judged made*
Φαυστῖνος δὲ αὖθις τὸ πρότερον ἀξίωμα ἔχων, βασιλεῖ 31
*Faustinus and again the former rank holding with-emperor*
τε ὡμίλει ἐπίτροπός τε καταστὰς τῶν ἐν Παλαιστίνῃ
*both consorted steward and having-been-appointed of-the in Palestine*
τε καὶ Φοινίκῃ βασιλικῶν χωρίων ἀδεέστερον ἅπαντα
*both and Phoenicia imperial estates more-fearlessly all-things*
κατειργάζετο ὅσα οἱ αὐτῷ βουλομένῳ εἴη.
*accomplished as-many-as to-him himself wishing might-be*
ὅντινα μὲν οὖν Ἰουστινιανὸς τρόπον τὰ Χριστιανῶν 32
*in-what indeed then Justinian manner the of-Christians*
δικαιώματα περιστέλλειν ἠξίου, καίπερ οὐ πολλῶν
*ordinances to-cherish deemed-fit although not many*
εἰρημένων ἡμῖν, ἀλλ᾽ ἐκ τῶνδε βραχέων ὄντων τεκμηριοῦν
*said by-us but from these brief being to-infer*
ἔστιν.
*it-is-possible*
ὅπως δὲ καὶ τοὺς νόμους οὐδεμιᾷ ὀκνήσει κατέσειε 33
*how and also the laws with-no hesitation he-shook*
χρημάτων κειμένων βραχυτάτῳ δηλωθήσεται λόγῳ.
*money being-laid-down in-briefest will-be-shown account*

*Priscus of Emesa forges bonds, in the hand of a long-dead notary, for debts to the church of Emesa, and Justinian extends the church's statute of limitations to a hundred years for a bribe. The fraud collapses when Longinus, sent to judge the case, strikes Priscus and he confesses. Justinian also forbids the Jews to keep Passover before the Christians' Easter and fines those who eat mutton at that time.*

1 Πρίσκος τις ἐν τῇ Ἐμεσηνῶν ἐγένετο πόλει, ὅσπερ
*Priscus a-certain in the of-Emesenes was city who-indeed*
ἀλλότρια γράμματα μιμεῖσθαι εὐφυῶς ἐξηπίστατο, τεχνίτης
*others' handwriting to-imitate cleverly knew craftsman*
τε ἦν περὶ τὸ κακὸν τοῦτο δεξιὸς ἄγαν.
*and he-was about the evil this skillful very*

2 ἐτύγχανε δὲ ἡ τῶν Ἐμεσηνῶν ἐκκλησία τῶν τινος
*happened and the of-the Emesenes church of-the some-one*
ἐπιφανῶν κληρονόμος γεγενημένη χρόνοις τισὶ πολλοῖς
*notables heir having-become at-times some many*
ἔμπροσθεν.
*before*

3 ἦν δὲ οὗτος ἀνὴρ πατρίκιος μὲν τὸ ἀξίωμα, Μαμμιανὸς
*was and this man patrician indeed the rank Mammianus*
δὲ ὄνομα, γένει λαμπρὸς καὶ περιουσίᾳ χρημάτων.
*and by-name by-birth brilliant and by-abundance of-money*

4 ἐπὶ δὲ Ἰουστινιανοῦ βασιλεύοντος ὁ Πρίσκος
*under and Justinian reigning — Priscus*
διερευνησάμενος πόλεως τῆς εἰρημένης τὰς οἰκίας
*having-searched-out of-city the stated the houses*
πάσας, εἴ τινας εὕρέ τε πλούτῳ ἀκμάζοντας καὶ
*all if some he-found both in-wealth flourishing and*
πρὸς ζημίαν χρημάτων μεγάλων διαρκῶς ἔχοντας,
*for loss of-money great sufficiently being*

τούτων διερευνησάμενος ἐς τὸ ἀκριβὲς τοὺς προπάτορας,
*of-these having-searched-out to the exact the forefathers*
γράμμασιν αὐτῶν παλαιοῖς ἐντυχών, βιβλίδια πολλὰ ὡς
*with-writings their old having-met-with documents many as*
παρ᾽ ἐκείνων γεγραμμένα πεποίηται, ὁμολογούντων πολλὰ
*by those written has-made agreeing much*
χρήματα τῷ Μαμμιανῷ ἀποδώσειν ἅτε παρακαταθήκης
*money — to-Mammianus to-be-going-to-repay as of-deposit*
λόγῳ ταῦτα πρὸς ἐκείνου κεκομισμένων.
*on-account these(-things) from that-man having-received*
τό τε ὡμολογημένον ἐν τούτοις δὴ τοῖς καταπλάστοις 5
*the and agreed in these indeed the forged*
γραμματείοις χρυσίον ξυνήει οὐχ ἧσσον ἢ ἐς ἑκατὸν
*documents gold came-to not less than to hundred*
κεντηνάρια.
*centenaria*
καὶ ἀνδρὸς δέ τινος, ὅσπερ ἐπὶ τῆς ἀγορᾶς τηνικάδε τοῦ 6
*and of-man too a-certain who-indeed on the market at-that-time of-the*
χρόνου καθήμενος, ἡνίκα ὁ Μαμμιανὸς περιῆν, δόξαν τε
*time sitting when — Mammianus was-alive repute and*
πολλὴν ἐπὶ τῇ ἀληθείᾳ καὶ τῇ ἄλλῃ ἀρετῇ ἔχων, ἅπαντα
*much for the truth and the other virtue having all*
ἐπετέλει τὰ τῶν πολιτῶν γραμματεῖα, ἕκαστον οἰκείοις
*completed the of-the citizens documents each with-own*
ἐπισφραγίζων αὐτὸς γράμμασιν, ὅνπερ ταβελλίωνα
*sealing himself letters whom-indeed tabellio*
καλοῦσι Ῥωμαῖοι, τὰ γράμματα δαιμονίως μιμησάμενος
*call Romans the letters demonically having-imitated*
τοῖς διοικουμένοις τὰ πράγματα τῆς Ἐμεσηνῶν ἐκκλησίας
*to-those administering the affairs of-the of-Emesenes church*

παρέδωκεν, ὡμολογηκόσι μοῖραν αὐτῷ τινα κεῖσθαι τῶν
*he-handed-over having-agreed portion to-him some to-be-assigned of-the*
ἐνθένδε πορισθησομένων χρημάτων.
*thence going-to-be-procured money*

7 ἐπεὶ δὲ ὁ νόμος ἐμποδὼν ἵστατο, τὰς μὲν ἄλλας δίκας
*when and the law in-the-way stood the indeed other suits*
ἁπάσας ἐς τριακοντοῦτιν παραγραφὴν ἄγων, ὀλίγας δὲ
*all to thirty-year limitation bringing few and*
ἄττας καὶ τὰς ὑποθηκαρίας καλουμένας τεσσαράκοντα
*some also the hypothecary called of-forty*
ἐνιαυτῶν μήκει ἐκκρούων, μηχανῶνται τοιάδε.
*years by-length striking-out they-contrive such(-things)*

8 ἐς Βυζάντιον ἀφικόμενοι καὶ χρήματα μεγάλα τῷ βασιλεῖ
*to Byzantium having-come and money great to-the emperor*
τούτῳ προέμενοι ἐδέοντο σφίσι τὸν τῶν πολιτῶν ὄλεθρον
*this having-lavished they-begged with-them the of-the citizens ruin*
οὐδὲν ὠφληκότων ξυγκατεργάζεσθαι.
*nothing owing to-help-accomplish*

9 ὁ δὲ τὰ χρήματα κεκομισμένος μελλήσει οὐδεμιᾷ νόμον
*he and the money having-received with-delay no a-law*
ἔγραψεν, οὐ χρόνοις τὰς ἐκκλησίας τοῖς καθήκουσιν, ἀλλ'
*wrote not by-times the churches the appropriate but*
ἐνιαυτῶν ἑκατὸν πλήθει δικῶν τῶν αὐταῖς προσηκουσῶν
*of-years hundred by-length from-suits of-the to-them belonging*
ἀποκεκλεῖσθαι, καὶ ταῦτα οὐκ ἐν Ἐμέσῃ μόνον κύρια
*to-be-shut-out and that not in Emesa only valid*
εἶναι, ἀλλὰ καὶ ἀνὰ πᾶσαν τὴν Ῥωμαίων ἀρχήν.
*to-be but also through all the of-Romans empire*

Ἐμεσηνοῖς τε τὸ πρᾶγμα τοῦτο διαιτᾶν ἔταξε Λογγῖνόν 10
*for-Emesenes and the matter this to-arbitrate he-appointed Longinus*
τινα δραστήριόν τε ἄνδρα καὶ τὸ σῶμα ἰσχυρὸν ἄγαν,
*a-certain energetic both man and the body strong very*
ὃς καὶ τὴν τοῦ δήμου ἀρχὴν ἐν Βυζαντίῳ ὕστερον ἔσχεν.
*who also the of-the people office in Byzantium later held*
οἱ δὲ τῆς ἐκκλησίας τὰ πράγματα διοικούμενοι τὰ μὲν 11
*they and of-the church the affairs administering the indeed*
πρῶτα τῶν τινι πολιτῶν δίκην κεντηναρίοιν ἐκ
*first-things of-the against-some-one citizens suit of-centenaria from*
βιβλίων τῶν εἰρημένων λαχόντες δυοῖν, κατεδικάσαντο
*documents of-the stated having-brought two had-him-condemned*
τοῦ ἀνθρώπου εὐθύς, ὅ τι καὶ ἀπολογήσαιτο οὐδαμῇ
*the man at-once what — also he-might-plead-in-defense in-no-way*
ἔχοντος διά τε χρόνου τοσόνδε μῆκος καὶ ἄγνοιαν
*having because-of both of-time so-great length and ignorance*
τῶν τότε πεπραγμένων.
*of-the-things then done*
ἐν πένθει δὲ μεγάλῳ ἐκάθηντο οἵ τε ἄλλοι ξύμπαντες 12
*in mourning and great sat the both others all*
ἄνθρωποι ὁμῶς τοῖς συκοφάνταις ἐκκείμενοι καὶ πάντων
*men alike to-the informers exposed and of-all*
μάλιστα οἱ τῶν Ἐμεσηνῶν λογιμώτατοι.
*most the of-the Emesenes most-notable*
τοῦ δὲ κακοῦ ἐς τοὺς πλείστους ἤδη τῶν πολιτῶν 13
*the and evil to the most already of-the citizens*
ἐπιρρέοντος προμήθειάν τινα τοῦ θεοῦ ξυνηνέχθη γενέσθαι
*flowing-on providence some — of-God befell to-come-about*
τοιάνδε.
*such*

14 Πρίσκον ὁ Λογγῖνος τὸν τοῦτο δὴ τὸ σκαιώρημα
*Priscus — Longinus the this indeed the villainy*
ἐργασάμενον ἅπαντα ὁμοῦ κομίζειν οἱ τὰ γράμματα
*having-wrought all together to-bring to-him the documents*
ἐκέλευσεν, ἀναδυόμενόν τε τὴν πρᾶξιν ἐρράπισε δυνάμει
*ordered shrinking-back and from-the deed he-slapped with-power*
τῇ πάσῃ.
*the all*

15 ὁ δὲ ἀνδρὸς ἰσχυροῦ λίαν τὴν πληγὴν οὐδαμῇ ἐνεγκὼν
*he but of-man strong very the blow in-no-way having-borne*
ἔπεσεν ὕπτιος, τρέμων δὲ ἤδη καὶ περιδεὴς γεγονώς,
*fell on-his-back trembling and already and very-fearful having-become*
ὅλως τε Λογγῖνον ᾐσθῆσθαι τὰ πεπραγμένα ὑπονοῶν
*wholly both Longinus to-have-perceived the-things done suspecting*
ὡμολόγει, οὕτω τε τῆς σκαιωρίας ἁπάσης ἐς φῶς
*confessed thus and of-the villainy all to light*
ἐνεχθείσης τὴν συκοφαντίαν πεπαῦσθαι ξυνέβη.
*having-been-brought the false-accusation to-have-ceased it-befell*

16 Ταῦτα δὲ οὐ μόνον ἐς τοὺς νόμους ἀεὶ καὶ καθ᾽
*these(-things) and not only toward the laws always and by*
ἑκάστην εἰργάζετο τοὺς Ῥωμαίων, ἀλλὰ καὶ οὓς Ἑβραῖοι
*each-day he-did the of-Romans but also which Hebrews*
τιμῶσι καταλύειν ὅδε βασιλεὺς ἐν σπουδῇ εἶχεν.
*honor to-dissolve this emperor in earnestness had*

17 ἦν γάρ ποτε αὐτοῖς ἐπανιὼν ὁ χρόνος τὴν Πασχαλίαν
*if for ever for-them returning the time the Paschal*
ἑορτὴν πρὸ τῶν Χριστιανῶν ἀγαγὼν τύχοι, οὐκ εἴα
*feast before the Christians bringing should-happen not he-allowed*
ταύτην τοὺς Ἰουδαίους καιροῖς τοῖς καθήκουσιν ἄγειν,
*this the Jews at-times the appropriate to-keep*

οὐδέ τι ἐν ταύτῃ δεξιοῦσθαι τῷ θεῷ ἢ ἐπιτελεῖν τῶν
*nor anything in it to-offer — to-God or to-perform of-the*
ἐν σφίσιν αὐτοῖς νομίμων.
*among them selves customs*
πολλούς τε αὐτῶν οἱ ἐπὶ τῶν ἀρχῶν τεταγμένοι ἅτε 18
*many and of-them those over the offices set as*
προβατείων κρεῶν ἐν τούτῳ γευσαμένους τῷ χρόνῳ,
*of-mutton meat in this having-tasted the time*
τῆς ἐς τὴν πολιτείαν παρανομίας ὑπάγοντες χρήμασιν
*of-the against the state lawlessness bringing-to-trial with-money*
ἐζημίουν πολλοῖς.
*fined much*
ἔργα μὲν οὖν καὶ ἄλλα τοιαῦτα Ἰουστινιανοῦ ἀνάριθμα 19
*deeds indeed then also other such of-Justinian countless*
ἐξεπιστάμενος οὐκ ἄν τι ἐνθείην, ἐπεὶ πέρας δοτέον
*knowing-well not — any I-would-insert since end must-be-given*
τῷ λόγῳ. ἀποχρήσει γὰρ καὶ δι᾽ αὐτῶν τὸ τοῦ
*to-the account it-will-suffice for also through them the of-the*
ἀνθρώπου ἦθος σημῆναι.
*man character to-indicate*

*Justinian replaces Liberius as governor of Alexandria with John Laxarion, then denies it to Pelagius and writes to Liberius to hold on, while telling Laxarion's uncle Eudaemon that John is to take the office. John attacks Liberius and is killed; the Senate acquits Liberius, but Justinian fines him secretly. He makes himself heir to Eudaemon and the eunuch Euphratas, who die intestate. He changes the law on councilors' estates, and when Anatolius' granddaughter dies he seizes the inheritance from her mother, Anatolius' aged daughter, granting her a gold piece a day. When Leo's son-in-law Malthanes quarters soldiers on the Blues of Tarsus by night, the Blues resist and the councilor Damianus falls. Leo's gold stops the inquiry, and the Blues who beat Malthanes in the Palace also go unpunished.*

1 Ὅτι δὲ εἴρων τε καὶ κατάπλαστος ἦν, αὐτίκα δηλώσω.
*that and dissembler both and fake he-was at-once I-will-show*
τὸν Λιβέριον τοῦτον, οὗπερ ἐμνήσθην ἀρτίως, παραλύσας
*— Liberius this whom-indeed I-mentioned just-now having-removed*
ἧς εἶχεν ἀρχῆς, Ἰωάννην ἀντ᾽ αὐτοῦ κατεστήσατο
*from-which he-held office John instead-of him he-set*
Αἰγύπτιον γένος, ἐπίκλησιν Λαξαρίωνα.
*Egyptian by-race by-surname Laxarion*

2 ὅπερ ἐπεὶ Πελάγιος ἔγνω Λιβερίῳ φίλος ἐς τὰ
*which-very-thing when Pelagius learned to-Liberius friend to the*
μάλιστα ὤν, τοῦ αὐτοκράτορος ἀνεπυνθάνετο εἴπερ ὁ
*most being of-the autocrat inquired if-indeed the*
ἀμφὶ Λαξαρίωνα λόγος ἀληθὴς εἴη.
*about Laxarion report true might-be*

3 καὶ ὃς εὐθὺς ἀπηρνήσατο μηδὲν πεπραγέναι τοιοῦτο
*and he at-once denied nothing to-have-done such*
ἀπισχυρισάμενος, γράμματά τε αὐτῷ πρὸς Λιβέριον
*having-affirmed-strongly letters and to-him to Liberius*

ἐνεχείρισεν, ἐντελλόμενος βεβαιότατα τῆς ἀρχῆς ἔχεσθαι,
*entrusted enjoining most-firmly to-the office to-hold*
καὶ μηδενὶ αὐτῆς τρόπῳ μεθίεσθαι.
*and in-no of-it way to-give-up*
οὐ γὰρ ταύτης ἐθέλειν ἐν τῷ παρόντι αὐτὸν παραλῦσαι. 4
*not for of-this to-wish in the present him to-remove*
ἦν δέ τις τῷ Ἰωάννῃ ἐν Βυζαντίῳ θεῖος, Εὐδαίμων
*there-was and a-certain — to-John in Byzantium uncle Eudaemon*
ὄνομα, ἔς τε τὸ τῶν ὑπάτων ἀξίωμα ἥκων καὶ
*by-name to both the of-the consuls rank having-come and*
χρήματα περιβεβλημένος πολλὰ ἐπίτροπος τέως τῆς
*money having-surrounded-himself-with much steward up-to-then of-the*
βασιλέως οὐσίας ἰδίας.
*of-emperor property private*
οὗτος Εὐδαίμων ἐπειδὴ ταῦτα ἠκηκόει ἅπερ ἐρρήθη, 5
*this Eudaemon when these(-things) he-had-heard which were-said*
καὶ αὐτὸς βασιλέως ἀνεπυνθάνετο εἰ ἐν βεβαίῳ τῷ
*also himself of-emperor inquired if in firm for-the*
ἀδελφιδῷ τὰ τῆς ἀρχῆς εἴη.
*nephew the-things of-the office might-be*
ὁ δὲ ὅσα οἱ πρὸς Λιβέριον ἐγέγραπτο ἀρνησάμενος, 6
*he and what to-him to Liberius had-been-written having-denied*
πρὸς τὸν Ἰωάννην γράμματα γράψας ἀντιλαβέσθαι τῆς
*to — John letters having-written to-lay-hold-of the*
ἀρχῆς δυνάμει πάσῃ ἐπέστελλεν.
*office with-power all enjoined*
οὐδὲ γὰρ οὐδ᾽ αὐτῷ νεώτερον ἀμφ᾽ αὐτῇ βεβουλεῦσθαι. 7
*not-even for not-even to-him new-thing about it to-have-been-planned*
οἷσπερ ὁ Ἰωάννης ἀναπεισθεὶς Λιβέριον ἀναχωρεῖν
*by-which-very — John persuaded Liberius to-withdraw*

τοῦ τῆς ἀρχῆς καταγωγίου ἅτε αὐτῆς παραλελυμένον
*from-the of-the office residence as from-it removed*
ἐκέλευε.
*ordered*

8 Λιβέριος δὲ αὐτῷ πείθεσθαι οὐδαμῇ ἔφασκεν, ἠγμένος
*Liberius and him to-obey in-no-way said led*
δηλονότι τοῖς βασιλέως καὶ αὐτὸς γράμμασιν.
*evidently by-the of-emperor also himself letters*

9 ὁ μὲν οὖν Ἰωάννης τούς οἱ ἑπομένους ὁπλίσας
*— indeed then John those to-him following having-armed*
ἐπὶ τὸν Λιβέριον ᾔει, ὁ δὲ ξὺν τοῖς ἀμφ' αὐτὸν εἰς
*against — Liberius went he and with those about him to*
ἀντίστασιν εἶδε. μάχης τε γενομένης, ἄλλοι τε πολλοὶ
*resistance looked battle and having-occurred others both many*
πίπτουσι καὶ Ἰωάννης αὐτὸς ὁ τὴν ἀρχὴν ἔχων.
*fall and John himself the-one the office holding*

10 Εὐδαίμονος οὖν ἰσχυρότατα ἐγκειμένου, μετάπεμπτος
*Eudaemon then most-strongly pressing summoned*
εὐθὺς ἐς Βυζάντιον ὁ Λιβέριος ἦν, ᾗ τε σύγκλητος
*at-once to Byzantium — Liberius was the and assembled*
βουλὴ τὴν διάγνωσιν ποιουμένη τῶν πεπραγμένων,
*council the judgment making of-the-things done*
ἀπεψηφίσατο τοῦ ἀνθρώπου, ἐπεὶ αὐτοῦ οὐκ ἐπελθόντος,
*acquitted the man since he not having-attacked*
ἀλλ' ἀμυνομένου τὸ μίασμα ξυνηνέχθη γενέσθαι.
*but defending-himself the pollution befell to-come-about*

11 βασιλεὺς μέντοι οὐ πρότερον ἀπέστη ἕως αὐτὸν ἐζημίωσε
*emperor however not before desisted until him he-fined*
χρήμασι λάθρα.
*with-money secretly*

Οὕτω μὲν οὖν Ἰουστινιανὸς ἀληθίζεσθαί τε ἠπίστατο καὶ 12
*thus indeed then Justinian to-speak-truth both knew and*
εὐθύγλωσσος ἦν. ἐγὼ δὲ πάρεργόν τι τοῦδε τοῦ λόγου
*straight-tongued was I and by-work some of-this the account*
εἰπεῖν οὐκ ἄπο τοῦ καιροῦ οἴομαι εἶναι. ὁ μὲν γὰρ
*to-tell not away-from the occasion I-think to-be — indeed for*
Εὐδαίμων οὗτος ἐτελεύτησεν οὐ πολλῷ ὕστερον, ξυγγενῶν
*Eudaemon this died not much later kinsmen*
μέν οἱ ἀπολελειμμένων πολλῶν, οὔτε διαθήκην τινὰ
*indeed to-him having-been-left many neither will any*
διαθέμενος οὔτε τι ἄλλο τὸ παράπαν εἰπών.
*having-made nor anything other the at-all having-said*
ὑπὸ χρόνον τε τὸν αὐτὸν καί τις ἄρχων γεγονὼς τῶν 13
*under time and the same also a-certain chief having-been of-the*
ἐν Παλατίῳ εὐνούχων ὄνομα Εὐφρατᾶς ἀπελύθη τοῦ
*in the-Palace eunuchs by-name Euphratas was-released from-the*
βίου, ἀδελφιδοῦν μὲν ἀπολιπών, οὐδὲν δὲ ἐπὶ τῇ οὐσίᾳ
*life nephew indeed having-left nothing but about the property*
διαθέμενος τῇ αὐτοῦ πολλῇ ἐς ἄγαν οὔσῃ.
*having-disposed the his much to excess being*
ἄμφω δὲ βασιλεὺς τὰς οὐσίας ἀφείλετο, κληρονόμος 14
*both and emperor the properties took-away heir*
γεγενημένος αὐτόματος καὶ οὐδὲ τριώβολόν τινι τῶν
*having-become self-appointed and not-even three-obols to-anyone of-the*
νομίμων κληρονόμων προέμενος.
*lawful heirs having-given*
τοσαύτῃ αἰδοῖ ἔς τε τοὺς νόμους καὶ τῶν ἐπιτηδείων 15
*with-so-much regard toward both the laws and of-the intimates*
τοὺς ξυγγενεῖς ὁ βασιλεὺς οὗτος ἐχρῆτο.
*the kinsmen the emperor this treated*

16 οὕτως καὶ τὰ Εἰρηναίου πολλῷ ἔμπροσθεν τελευτήσαντος
*thus also the-things of-Irenaeus by-much before having-died*
δικαίωμα οὐδ' ὁτιοῦν ἐπ' αὐτοῖς ἔχων ἀφείλετο.
*title not-even anything-whatever to them having he-took-away*

17 Τούτων δὲ τὸ ἐχόμενον ὑπὸ χρόνον τε τὸν αὐτὸν
*of-these and the next under time and the same*
γεγονὸς οὐκ ἂν σιωπήην. Ἀνατόλιός τις ἦν ἐν
*having-happened not — I-would-keep-silent Anatolius a-certain was in*
Ἀσκαλωνιτῶν τῷ λευκώματι τὰ πρωτεῖα ἔχων. τούτου τὴν
*of-Ascalonites the album the first-place holding of-this the*
παῖδα γαμετὴν γυναῖκα τῶν τις Καισαρέων πεποίηται,
*daughter wedded wife of-the some-one Caesareans has-made*
Μαμιλιανὸς ὄνομα, οἰκίας ἐπιφανοῦς ἄγαν.
*Mamilianus by-name of-house notable very*

18 ἦν δὲ ἡ κόρη ἐπίκληρος, ἐπεὶ μόνης αὐτῆς Ἀνατόλιος
*was and the girl heiress since of-alone her Anatolius*
ἐγεγόνει πατήρ.
*had-been father*

19 νόμῳ δὲ ἄνωθεν διωρισμένον, ἐπειδὰν βουλευτὴς τῶν
*by-law and from-the-beginning ordained when councilor of-the*
τινος πόλεων οὐκ ἀπολελειμμένων οἱ παίδων γόνου
*some-one cities not having-been-left to-him of-children of-offspring*
ἄρρενος ἐξ ἀνθρώπων ἀφανισθείη, τῶν ἀπολελειμμένων
*male from men should-vanish of-the left*
ὑπὸ τούτου χρημάτων τὸ μὲν τεταρτημόριον δίδοσθαι τῷ
*by him money the indeed fourth-part to-be-given to-the*
τῆς πόλεως βουλευτηρίῳ, πάντων δὲ τῶν ἄλλων τοὺς
*of-the city council-house of-all but the rest the*
κληρονόμους τοῦ τετελευτηκότος ἀπόνασθαι, γνώρισμα
*heirs of-the having-died to-enjoy mark*
ἤθους τοῦ οἰκείου κἀνταῦθα ὁ αὐτοκράτωρ ἐνδεικνύμενος,
*of-character the own also-here the autocrat displaying*

νόμον ἔναγχος ἐτύγχανε γράψας, ἔμπαλιν τὰ τοῦ
*a-law lately happened having-written contrary the-things of-the*
πράγματος διοικούμενον ὅπως δή, ἐπειδὰν βουλευτὴς
*matter arranging so-that indeed when councilor*
ἄπαις τελευτῴη γόνου ἄρρενος τῆς οὐσίας οἱ μὲν
*childless should-die of-offspring male of-the property the indeed*
κληρονόμοι τὸ τέταρτον ἔχοιεν, τἆλλα δὲ πάντα τό τε
*heirs the fourth should-have the-rest but all the both*
δημόσιον καὶ τὸ τῆς πόλεως λεύκωμα φέροιντο.
*treasury and the of-the city album should-take*
καίτοι οὐδεπώποτε δημόσιον ἢ βασιλεὺς ἀφ᾽ οὗ γεγόνασιν 20
*and-yet never treasury or emperor from which have-been*
ἄνθρωποι χρημάτων βουλευτικῶν μετασχεῖν ἔσχε.
*men of-money of-councilors to-share could*
τούτου τοίνυν κειμένου τοῦ νόμου, Ἀνατολίῳ μὲν 21
*this therefore being-laid-down the law for-Anatolius indeed*
ἐπεγένετο ἡ τέλειος ἡμέρα τοῦ βίου, ἡ δὲ τούτου παῖς
*came-upon the final day of-the life the and his daughter*
τὸν τούτου κλῆρον πρός τε τὸ δημόσιον καὶ τὸ τῆς
*the his inheritance with both the treasury and the of-the*
πόλεως βουλευτήριον κατὰ τὸν νόμον ἐνείματο, καὶ αὐτῇ
*city council-house according-to the law divided and to-her*
γράμματα βασιλεύς τε αὐτὸς καὶ Ἀσκαλωνιτῶν οἱ τοῦ
*letters emperor both himself and of-Ascalonites those of-the*
λευκώματος ἔγραψαν, τῆς περὶ τούτων αὐτὴν ἀφιέντες
*album wrote from-the about these her releasing*
ἀντιλογίας ἅτε τὰ σφίσι προσήκοντα κεκομισμένοι
*dispute as the-things to-them belonging having-received*
ὀρθῶς καὶ δικαίως.
*rightly and justly*

22 ὕστερον καὶ Μαμιλιανὸς ἀπελύθη τοῦ βίου, ὅσπερ
*later also Mamilianus was-released from-the life who-indeed*
Ἀνατολίῳ κηδεστὴς ἐγεγόνει, παιδός οἱ ἀπολελειμμένης
*to-Anatolius son-in-law had-been daughter to-him having-been-left*
μιᾶς, ἥπερ καὶ μόνη τὴν τοῦ πατρὸς οὐσίαν, ὡς τὸ
*one who-indeed also alone the of-the father property as the*
εἰκός, ἔσχε.
*likely had*

23 μετὰ δὲ καὶ αὕτη περιούσης ἔτι οἱ τῆς μητρὸς ἀφίκετο ἐς
*after and also she surviving still to-her the mother came to*
τὸ μέτρον τοῦ βίου, ἀνδρὶ μὲν ξυνοικισθεῖσα τῶν λογίμων
*the measure of-the life to-a-husband indeed having-been-married of-the notables*
τινί, μήτηρ δὲ οὔτε θήλεος οὔτε ἄρσενος γενομένη γόνου.
*to-someone mother but neither of-female nor of-male having-become offspring*

24 ἀλλ᾽ Ἰουστινιανὸς πάντων ἀντελάβετο τῶν χρημάτων εὐθύς,
*but Justinian of-all laid-hold-of the money at-once*
ἐκεῖνο ἀποφθεγξάμενος τὸ θαυμάσιον, ὡς τὴν Ἀνατολίου
*that-thing having-uttered the wonderful that the of-Anatolius*
παῖδα γυναῖκα γραῦν οὖσαν τοῖς τε τοῦ ἀνδρὸς καὶ
*daughter woman old being with-the both of-the husband and*
τοῖς τοῦ πατρὸς πλουτεῖν χρήμασιν οὐχ ὅσιον εἴη.
*with-the of-the father to-be-rich money not holy might-be*

25 ὅπως δὲ ἡ γυνὴ μὴ ἐν τοῖς προσαιτηταῖς τὸ ἐνθένδε
*so-that and the woman not among the beggars the thenceforth*
τετάξεται, στατῆρα χρυσοῦν ἐς ἡμέραν ἑκάστην τὴν γυναῖκα
*will-be-ranked stater gold for day each the woman*
φέρεσθαι ταύτην διώρισεν, ἕως ἂν περιῇ, τοῦτο θέμενος
*to-receive this he-fixed until — she-should-survive this having-put*
ἐν τοῖς γράμμασι, δι᾽ ὧν τὰ χρήματα ἐληΐσατο ταῦτα,
*in the letters through which the money he-plundered these*

ὡς τὸν στατῆρα προεῖται τῆς εὐσεβείας ἕνεκα τοῦτον·
*that the stater he-gives-out of-the piety for-the-sake this*
"ἔθος γάρ μοι", ἔφη, "τά τε ὅσια καὶ εὐσεβῆ πράττειν".
*custom for to-me he-said the-things both holy and pious to-do*
Ἀλλὰ περὶ μὲν τούτων ἀπόχρη λέγειν, ὅπως μὴ ὁ 26
*but about indeed these(-things) it-suffices to-tell so-that not the*
λόγος κατακόρως ἔχοι, ἐπεὶ οὐδὲ ἁπάντων ἀνθρώπῳ
*account to-satiety should-be since not-even all for-man*
γε ὄντι δυνατὸν ἀπομνημονεῦσαι.
*at-least being possible to-recall*
ὅτι δὲ οὐ Βενέτων τῶν οἱ ἐσπουδασμένων δοκούντων 27
*that and not of-Blues of-those by-him favored seeming*
εἶναι λόγον τινὰ πεποίηται χρημάτων παρόντων, ἐγὼ
*to-be account any he-has-made money being-present I*
δηλώσω.
*will-show*
Μαλθάνης τις ἐγεγόνει ἐν Κίλιξι Λέοντος ἐκείνου 28
*Malthanes a-certain had-been among Cilicians of-Leo that*
γαμβρός, ὃς περιεῖπεν, ὥσπερ μοι ἔμπροσθεν εἴρηται,
*son-in-law who held as by-me before has-been-said*
τὴν τοῦ καλουμένου ῥεφερενδαρίου τιμήν.
*the of-the called referendarius office*
τοῦτον βίας ἀναστέλλειν ἐπέστελλε τὰς ἐν Κίλιξι. 29
*this-one violences to-check he-enjoined the among Cilicians*
ταύτης τε τῆς σκήψεως ὁ Μαλθάνης λαβόμενος ἀνήκεστα
*this both the pretext — Malthanes having-seized incurable*
κακὰ Κιλίκων τοὺς πλείστους εἰργάζετο, καὶ τὰ χρήματα
*evils of-Cilicians the most worked-on and the money*
ληϊζόμενος τὰ μὲν τῷ τυράννῳ ἔπεμπε, τοῖς δὲ
*plundering the-part indeed to-the tyrant sent on-the-rest and*
αὐτὸς ἐδικαίου πλουτεῖν.
*himself he-thought-right to-grow-rich*

30 οἱ μὲν οὖν ἄλλοι τὰ σφίσι παρόντα σιωπῇ ἔφερον,
*the indeed then others the-things to-them present in-silence bore*
Ταρσέων δὲ ὅσοι Βένετοι ἦσαν τῇ ἐκ βασιλέως
*of-Tarsians but as-many-as Blues were by-the from emperor*
παρρησίᾳ θαρσοῦντες ἐν τῷ δημοσίῳ τῆς ἀγορᾶς ἐς
*license emboldened in the public-square of-the market toward*
τὸν Μαλθάνην οὐ παρόντα σφίσι πολλὰ ὕβριζον.
*— Malthanes not present with-them many-things insulted*
31 ὅπερ ἐπεὶ ὁ Μαλθάνης ἔγνω, πλῆθος στρατιωτῶν
*which-very-thing when — Malthanes learned multitude of-soldiers*
ἐπαγόμενος ἐς Ταρσὸν εὐθὺς ἀφίκετο νύκτωρ περιπέμπων
*bringing to Tarsus at-once came by-night sending-round*
τε τοὺς στρατιώτας ἐς τὰς οἰκίας ὄρθρου βαθέος
*and the soldiers to the houses dawn deep*
καταλύειν ἐκέλευεν.
*to-lodge ordered*
32 ἔφοδον δὲ οἰόμενοι ταύτην οἱ Βένετοι εἶναι, ἐκ τῶν
*attack and thinking this the Blues to-be from the*
παρόντων ἠμύνοντο. ξυνέβη τοίνυν ἄλλα τε κακὰ
*present-means defended-themselves it-befell therefore other both evils*
ἐν σκότῳ γενέσθαι καὶ Δαμιανόν, ἄνδρα ἐκ βουλῆς,
*in darkness to-happen and Damianus a-man from council*
τοξεύματι βληθέντα πεσεῖν.
*by-arrow struck to-fall*
33 ἦν δὲ ὁ Δαμιανὸς οὗτος τῶν τῇδε Βενέτων προστάτης.
*was and — Damianus this of-the there Blues champion*
ὅπερ ἐπεὶ ἐς Βυζάντιον ἦλθεν, οἵ τε Βένετοι
*which-very-thing when to Byzantium came the both Blues*
δυσφορούμενοι θορύβῳ ἀνὰ τὴν πόλιν πολλῷ εἴχοντο,
*being-vexed with-uproar through the city much were-held*
καὶ βασιλέα μὲν ἀμφὶ τῷ πράγματι ἠνώχλουν ἄγαν,
*and emperor indeed about the matter pestered very*

Λέοντα δὲ καὶ τὸν Μαλθάνην ξὺν δεινοτάταις ἀπειλαῖς
*Leo and also — Malthanes with most-terrible threats*
πολλὰ ἐδυσφήμουν.
*many-things reviled*
καὶ αὐτοκράτωρ οὐδέν τι ἧσσον ἀγριαίνεσθαι ἐπὶ τοῖς 34
*and autocrat nothing — less to-grow-savage at the-things*
πεπραγμένοις ἐσκήπτετο. γράμμα οὖν εὐθὺς ἔγραψε,
*done pretended letter then at-once he-wrote*
ζήτησίν τε καὶ τίσιν τῶν τῷ Μαλθάνῃ πεπολιτευμένων
*inquiry both and punishment of-the — by-Malthanes done*
κελεύων γενέσθαι.
*ordering to-come-about*
ἀλλὰ Λέων αὐτῷ χρυσίου προέμενος πλῆθος τοῦ τε 35
*but Leo to-him of-gold having-lavished a-multitude of-the both*
θυμοῦ αὐτίκα καὶ τῆς ἐς τοὺς Βενέτους στοργῆς ἔπαυσε,
*anger at-once and of-the toward the Blues affection stopped*
τοῦ τε πράγματος ἀνεξετάστου μενεηκότος Μαλθάνην
*the and matter unexamined having-remained Malthanes*
βασιλεὺς ἐς Βυζάντιον παρ᾽ αὐτὸν ἥκοντα ξύν τε πολλῇ
*emperor to Byzantium to him having-come with both much*
φιλοφροσύνῃ εἶδε καὶ ἐν τιμῇ ἔσχεν.
*friendliness saw and in honor held*
ἐξιόντα δὲ οἱ Βένετοι ἐκ βασιλέως τηρήσαντες πληγὰς 36
*going-out but the Blues from emperor having-watched blows*
αὐτῷ προσετρίψαντο ἐν Παλατίῳ καὶ διαχρήσασθαι
*on-him inflicted in the-Palace and to-make-away-with*
ἔμελλον, εἰ μὴ αὐτῶν τινες διεκώλυσαν, οἵ γε πρὸς
*were-about if not of-them some had-prevented who at-least from*
Λέοντος χρήματα ἤδη κεκομισμένοι λάθρα ἐτύγχανον.
*Leo money already having-received secretly happened*

37 καίτοι τίς οὐκ ἂν ταύτην τὴν πολιτείαν ἐλεεινοτάτην
*and-yet who not — this the state most-pitiable*
καλοίη, ἐν ᾗ βασιλεὺς μὲν δωροδοκήσας ἀνεξέταστα
*would-call in which emperor indeed having-taken-bribes unexamined*
κατέλειψε τὰ ἐγκλήματα, στασιῶται δὲ βασιλέως ἐν
*left the charges partisans and emperor in*
Παλατίῳ ὄντος ἐπαναστῆναι τῶν τινι ἀρχόντων οὐδεμιᾷ
*the-Palace being to-rise-against of-the some-one magistrates with-no*
ὀκνήσει ἐτόλμησαν, ἀδίκων τε χειρῶν ἐπ᾽ αὐτὸν ἄρξαι;
*hesitation dared of-unjust and of-hands on him to-begin*
38 τίσις μέντοι τούτων δὴ ἕνεκα οὐδεμία οὔτε εἰς τὸν
*punishment however of-these indeed for-the-sake-of none neither upon —*
Μαλθάνην ἐγένετο οὔτε εἰς τοὺς αὐτῷ ἐπαναστάντας.
*Malthanes came-about nor upon those against-him having-risen*
ἐκ τούτων δὲ εἴ τις βούλοιτο τὸ Ἰουστινιανοῦ τοῦ
*from these and if anyone should-wish the of-Justinian the*
βασιλέως τεκμηριούσθω ἦθος.
*emperor let-him-infer character*

## XXX · THE POST AND THE COURT

*Justinian dismantles the public post and abolishes the spies who watched Persia, and at court all must prostrate themselves before emperor and empress. The truth about the Romans' wealth will be known when he dies or, as the prince of demons, departs this life.*

1 Εἰ δέ τινα καὶ τοῦ τῆς πολιτείας ξυμφόρου ποιεῖται
*if and any also of-the of-the state advantage he-makes*
λόγον, τὰ ἐς δρόμον τε αὐτῷ τὸν δημόσιον καὶ τοὺς
*account the-things for post both by-him the public and the*
κατασκόπους εἰργασμένα δηλώσει.
*spies done will-show*

οἱ μὲν γὰρ Ῥωμαίων αὐτοκράτορες ἐν τοῖς ἄνω χρόνοις 2
*the indeed for of-Romans autocrats in the earlier times*
γεγενημένοι, προνοήσαντες ὅπως ἅπαντά τε σφίσιν
*having-been having-taken-forethought so-that all-things both to-them*
ἐπαγγέλλοιτο τάχιστα καὶ μηδεμιᾷ διδῷτο μελλήσει, τά
*might-be-reported very-quickly and with-no might-be-given delay the-things*
τε πρὸς τῶν πολεμίων ἐν χώρᾳ ἑκάστῃ ξυμπίπτοντα καὶ
*both from the enemies in land each befalling and*
ταῖς πόλεσι κατὰ στάσιν ἢ ἄλλο τι ἀπρόοπτον συμβαίνοντα
*in-the cities through riot or other some unforeseen happening*
πάθος τά τε πρὸς τῶν ἀρχόντων καὶ τῶν ἄλλων
*suffering the-things both by the magistrates and of-the others*
ἁπάντων πανταχόθι πρασσόμενα τῆς Ῥωμαίων ἀρχῆς,
*all everywhere done of-the of-Romans empire*
ὅπως τε οἱ τοὺς φόρους παραπέμποντες τοὺς ἐπετείους
*so-that and those the taxes conveying the annual*
διασώζοιντο βραδυτῆτός τε καὶ κινδύνου χωρίς, δημόσιον
*might-be-kept-safe of-slowness both and of-danger without public*
ὀξύν τινα πανταχόσε πεποίηνται δρόμον τρόπῳ τοιῷδε.
*swift some everywhere have-made post in-manner such*
ἐς ἡμέρας ὁδὸν εὐζώνῳ ἀνδρὶ σταθμοὺς κατεστήσαντο, 3
*for of-day journey for-a-well-girt man stations they-set*
πὴ μὲν ὀκτώ, πὴ δὲ τούτων ἐλάσσους, οὐ μέντοι
*sometimes indeed eight sometimes and than-these fewer not however*
ἧσσον ἐκ τοῦ ἐπὶ πλεῖστον ἢ κατὰ πέντε.
*less from the for most than about five*
ἵπποι δὲ ἵσταντο ἐς τεσσαράκοντα ἐν σταθμῷ ἑκάστῳ. 4
*horses and stood to forty in station each*
ἱπποκόμοι δὲ κατὰ λόγον τοῦ τῶν ἵππων μέτρου
*grooms and according-to proportion of-the of-the horses measure*
ἐτετάχατο ἐν πᾶσι σταθμοῖς.
*had-been-appointed in all stations*

5 συχναῖς δὲ ἵππων δοκιμωτάτων ὄντων διαδοχαῖς ἐλαύνοντες
*frequent and of-horses most-approved being with-relays driving*
ἀεὶ οἷσπερ ἐπίκειται τὸ ἔργον τοῦτο, δέκα τε, ἂν
*always those-on-whom lies the work this ten and —*
οὕτω τύχοι, ὁδὸν ἡμερῶν ἀμείβοντες ἐν ἡμέρᾳ μιᾷ
*so might-happen journey of-days covering in day one*
ἔπρασσον ἅπαντα ὅσα μοι ἀρτίως δεδήλωται, πρὸς
*they-accomplished all-things as-many-as by-me just-now have-been-shown besides*
δὲ καὶ οἱ τῶν χωρίων πανταχῇ κύριοι, ἄλλως τε κἂν
*and also the of-the lands everywhere owners especially — even-if*
ἐν μεσογείοις τὰ χωρία ὄντα ἐτύγχανεν, εὐδαιμονέστατοι
*in inland-parts the lands being happened most-prosperous*
ἐπ᾽ αὐτοῖς ἐν τοῖς μάλιστα ἦσαν.
*by them among the most were*

6 τοὺς γὰρ ὄντας ἐκ τοῦ περιόντος σφίσι καρποὺς ἵππων
*the for being from the surplus to-them crops of-horses*
τε καὶ ἱπποκόμων τροφῆς ἕνεκα τῷ δημοσίῳ ἀνὰ
*both and of-grooms of-feeding for-the-sake to-the treasury through*
πᾶν ἔτος ἀποδιδόμενοι, χρήματα μεγάλα ἐφέροντο.
*every year selling money great they-got*

7 ξυνέβαινέ τε διὰ ταῦτα τῷ δημοσίῳ δέχεσθαι μὲν
*it-happened and because-of these(-things) for-the treasury to-receive indeed*
ἀεὶ τοὺς ἐγκειμένους ἑκάστῳ φόρους, ἀντιπαραδέχεσθαι
*always the lying-on-(him) on-each taxes to-receive-back*
δὲ αὐτοὺς τοῖς ἐσκομίζουσιν αὐτίκα δὴ μάλα, καὶ
*and them for-those bringing-in at-once indeed very and*
προσῆν τὸ γεγενῆσθαι τῇ πολιτείᾳ τὰ δέοντα.
*there-was-besides the to-have-been-done for-the state the needful-things*

8 Τὰ μὲν οὖν πρότερα ταύτῃ πη εἶχεν. ὁ δὲ αὐτοκράτωρ
*the-things indeed then former thus somehow stood the and autocrat*
οὗτος πρῶτα μὲν τὸν ἐκ Καλχηδόνος ἄχρι ἐς Δακίβιζαν
*this first indeed the from Chalcedon as-far-as to Dacibyza*

καθελὼν δρόμον ἠνάγκασε πάντας ἐκ Βυζαντίου εὐθὺς
*having-abolished post compelled all from Byzantium straight*
ἄχρι ἐς τὴν Ἑλενούπολιν οὔτι ἐθελουσίους ναυτίλλεσθαι.
*as-far-as to — Helenopolis not-at-all willing to-sail*
πλέοντες οὖν ἐν ἀκάτοις βραχείαις τισίν, οἷαι 9
*sailing then in boats small some such-as*
διαπορθμεύεσθαι τῇδε εἰώθασι, χειμῶνος, ἂν οὕτω
*to-cross there are-accustomed storm — so*
τύχοι, ἐπιπεσόντος, ἐπὶ μέγα κινδύνου χωροῦσι. τῆς γὰρ
*might-happen having-fallen-on into great of-danger they-go the for*
ἀναγκαίου σπουδῆς ἐγκειμένης σφίσι καιροφυλακεῖν τε
*necessary haste pressing on-them to-watch-for-the-occasion both*
καὶ προσδέχεσθαι μέλλουσαν τὴν γαλήνην ἀδύνατά ἐστιν.
*and to-await coming the calm impossible is*
ἔπειτα δὲ κατὰ μὲν τὴν ἐπὶ Πέρσας ὁδὸν φέρουσαν τὸν 10
*then and on indeed the to Persians road leading the*
δρόμον ἐπὶ σχήματος τοῦ πρόσθεν ὄντος εἴασεν εἶναι,
*post on form of-the before being he-allowed to-be*
ἐς δὲ τὴν λοιπὴν ξύμπασαν ἕως μέχρι ἐς Αἴγυπτον ἐν
*to but the rest all east as-far-as to Egypt in*
ἡμέρας ὁδῷ κατὰ σταθμὸν ἕνα κατεστήσατο μόνον, οὐχ
*of-day journey by station one he-set only not*
ἵππων μέντοι, ἀλλ᾽ ὄνων ὀλίγων.
*of-horses however but of-asses few*
διὸ δὴ τὰ μὲν ξυμβαίνοντα ἐν χώρᾳ ἑκάστῃ 11
*wherefore indeed the-things indeed happening in land each*
μόλις τε καὶ ὀψὲ τοῦ καιροῦ καὶ ὀπίσω τῶν πραγμάτων
*scarcely both and late of-the time and behind the events*
ἐσαγγελλόμενα ἐπικουρίας οὐδεμιᾶς τυγχάνειν εἰκός, οἱ δὲ
*being-reported help none to-obtain likely those and*

τοὺς ἀγροὺς κεκτημένοι καρπῶν τῶν σφετέρων σεσηπότων
*the fields possessing crops of-the their-own having-rotted*
τε καὶ εἰκῆ κειμένων ἀνόνητοι ἐς ἀεὶ γίνονται.
*both and at-random lying unprofited for ever become*

12 Τὰ δὲ τῶν κατασκόπων τοιαῦτά ἐστιν. ἄνδρες πολλοὶ ἐν
*the-things and of-the spies such are men many in*
δημοσίῳ τὸ ἀνέκαθεν ἐσιτίζοντο, οἳ δὴ ἐς τοὺς πολεμίους
*public the from-of-old were-maintained who indeed to the enemies*
ἰόντες ἔν τε τοῖς Περσῶν βασιλείοις γινόμενοι ἢ ἐμπορίας
*going in both the of-Persians palaces coming either of-trade*
ὀνόματι ἢ τρόπῳ ἑτέρῳ, ἔς τε τὸ ἀκριβὲς διερευνώμενοι
*by-name or in-way other to and the exact searching-out*
ἕκαστα, ἐπανήκοντες ἐς Ῥωμαίων τὴν γῆν πάντα τοῖς
*each-thing returning to of-Romans the land all to-the*
ἄρχουσιν ἐπαγγέλλειν ἠδύναντο τὰ τῶν πολεμίων ἀπόρρητα.
*magistrates to-report were-able the of-the enemies secrets*

13 οἱ δὲ προὔμαθον ἐφύλασσόν τε καὶ ἀπρόοπτον οὐδὲν
*they and learned-beforehand were-on-guard both and unforeseen nothing*
ξυνέπιπτε σφίσι. τοῦτο δὲ τὸ χρῆμα κἀν τοῖς Μήδοις
*befell them this and the thing also-among the Medes*
ἐκ παλαιοῦ ἦν. Χοσρόης μὲν οὖν μείζους, ὥσπερ φασί,
*from old was Chosroes indeed then greater as they-say*
πεποιημένος τὰς τῶν κατασκόπων ξυντάξεις προμηθείας
*having-made the of-the spies pay of-foresight*
τῆς ἐνθένδε ἀπήλαυσεν.
*the thence enjoyed*

14 οὐδὲν γὰρ αὐτὸν ἐλάνθανε τῶν ἐν Ῥωμαίοις γινομένων.
*nothing for him escaped of-the-things among Romans happening*
ὁ δὲ Ἰουστινιανὸς οὐδ' ὁτιοῦν ἀναλώσας καὶ αὐτὸ
*— and Justinian not-even anything-whatever having-spent also itself*
τὸ τῶν κατασκόπων ὄνομα ἐξέτριψεν ἐκ Ῥωμαίων τῆς
*the of-the spies name wiped-out from of-Romans the*

γῆς, ἐξ οὗ δὴ ἄλλα τε πολλὰ ἡμαρτήθη καὶ Λαζικὴ
*land from which indeed other both many were-done-wrong and Lazica*
πρὸς τῶν πολεμίων ἑάλω, Ῥωμαίων οὐδαμῆ πεπυσμένων
*by the enemies was-captured Romans in-no-way having-learned*
ὅποι ποτὲ γῆς ὁ Περσῶν βασιλεὺς ξὺν τῷ στρατῷ εἴη.
*whither ever of-earth the of-Persians king with the army might-be*
ἀλλὰ καὶ καμήλους παμπληθεῖς τὸ δημόσιον ἐκ παλαιοῦ 15
*but also camels very-many the treasury from old*
τρέφειν εἰώθει, αἳ δὴ τῷ Ῥωμαίων στρατῷ ἐπὶ
*to-maintain was-accustomed which indeed the of-Romans army against*
πολεμίους ἰόντι ἅπαντα φέρουσαι τὰ ἐπιτήδεια εἵποντο.
*enemies going all carrying the necessities followed*
καὶ οὔτε τοῖς γεωργοῖς τότε ἀγγαροφορεῖν ἐπάναγκες 16
*and neither for-the farmers then to-carry-as-forced-labor necessary*
ἦν οὔτε τι ἐνδεῖν τοῖς στρατιώταις τῶν ἀναγκαίων
*was nor anything to-be-lacking for-the soldiers of-the necessities*
ξυνέβαινεν, ἀλλὰ καὶ ταύτας περιεῖλεν Ἰουστινιανὸς σχεδόν τι
*it-happened but also these stripped-away Justinian almost —*
ἁπάσας. διὸ δὴ ἐπὶ τοὺς πολεμίους ἰόντος τὰ νῦν τοῦ
*all wherefore indeed against the enemies going the now of-the*
Ῥωμαίων στρατοῦ γεγενῆσθαί τι τῶν δεόντων ἀδύνατον.
*of-Romans army to-have-been-done anything of-the needful impossible*
Τὰ μὲν οὖν σπουδαιότατα τῇ πολιτείᾳ ἐφέρετο 17
*the-things indeed then most-serious in-the state were-carried*
τῇδε. οὐδὲν δὲ χεῖρον καί τινος αὐτοῦ τῶν γελοίων
*thus nothing and worse also something of-him of-the laughable-things*
ἐπιμνησθῆναι.
*to-mention*
τῶν ἐν Καισαρείᾳ ῥητόρων Εὐάγγελός τις ἦν οὐκ 18
*of-the in Caesarea orators Evangelus a-certain was not*
ἄσημος ἀνήρ, ὅσπερ ἐπιφόρου οἱ τοῦ τῆς τύχης
*obscure a-man who-indeed favorable to-him the of-the fortune*

πνεύματος γενομένου χρημάτων τε ἄλλων καὶ χώρας
*wind having-become of-money both other and of-land*
πολλῆς κύριος γέγονεν.
*much master became*

19 ὕστερον δὲ καὶ κώμην ἐπιθαλασσίαν τινά, Πορφυρεῶνα
*later and also village seaside a-certain Porphyreon*
ὄνομα, τριῶν χρυσίου κεντηναρίων ἐπρίατο. ταῦτα
*by-name for-three of-gold centenaria he-bought these(-things)*
μαθὼν Ἰουστινιανὸς βασιλεὺς ἀφείλετο τὸ χωρίον εὐθὺς
*having-learned Justinian emperor took-away the estate at-once*
ὀλίγην αὐτῷ τινα τοῦ τιμήματος προέμενος μοῖραν, καὶ
*small to-him some of-the price having-given portion and*
τοῦτο ἀποφθεγξάμενος, ὡς Εὐαγγέλῳ ῥήτορι ὄντι οὐ
*this having-pronounced that for-Evangelus orator being not*
μήποτε εὐπρεπὲς εἴη κώμης τοιαύτης κυρίῳ εἶναι.
*ever seemly it-might-be of-village such master to-be*

20 ἀλλὰ περὶ μὲν τούτων, ἀμηγέπη αὐτῶν ἐπιμνησθέντες,
*but about indeed these(-things) somehow them having-mentioned*
παυσόμεθα λέγειν.
*we-will-stop telling*

21 Τῶν δὲ πρός τε Ἰουστινιανοῦ καὶ Θεοδώρας ἐπὶ τῇ
*of-the and by both Justinian and Theodora in the*
πολιτείᾳ νεοχμωθέντων καὶ ταῦτά ἐστι. πάλαι μὲν
*state innovated also these(-things) are long-ago indeed*
ἡ σύγκλητος βουλὴ παρὰ βασιλέα ἰοῦσα τρόπῳ τοιῷδε
*the assembled council to emperor going in-manner such*
προσκυνεῖν εἴθιστο. πατρίκιος μέν τις ἀνὴρ παρὰ
*to-do-obeisance was-accustomed patrician indeed some man at*
μαζὸν αὐτοῦ προσεκύνει τὸν δεξιόν.
*breast his did-obeisance the right*

βασιλεὺς δὲ αὐτοῦ καταφιλήσας τῆς κεφαλῆς ἐξίει, οἱ 22
*emperor and his having-kissed the head dismissed the*
δὲ λοιποὶ ἅπαντες γόνυ κλίναντες βασιλεῖ τὸ δεξιὸν
*and rest all knee having-bent to-emperor the right*
ἀπηλλάσσοντο. βασιλίδα μέντοι προσκυνεῖν οὐδαμῇ
*departed empress however to-do-obeisance-to in-no-way*
εἴθιστο.
*was-customary*

παρὰ δὲ Ἰουστινιανόν τε καὶ Θεοδώραν τὰς εἰσόδους 23
*to but Justinian both and Theodora the entrances*
ποιούμενοι οἵ τε ἄλλοι ἅπαντες καὶ ὅσοι τὸ πατρικίων
*making the both others all and as-many-as the of-patricians*
ἀξίωμα εἶχον ἔπιπτον μὲν εἰς τὸ ἔδαφος εὐθὺς ἐπὶ στόμα,
*rank had fell indeed to the ground at-once on mouth*
χειρῶν δὲ καὶ ποδῶν ἐς ἄγαν σφίσι τετανυσμένων τῷ
*of-hands and also of-feet to excess for-them stretched-out with-the*
χείλει ποδὸς ἑκατέρου ἁψάμενοι ἐξανίσταντο.
*lip of-foot each having-touched they-rose*

οὐδὲ γὰρ ἡ Θεοδώρα τὴν ἀξίωσιν ἀνεδύετο ταύτην, ἥ 24
*not-even for — Theodora the dignity shrank-from this who*
γε καὶ τοὺς πρέσβεις προσίεσθαι Περσῶν τε καὶ τῶν
*at-least also the envoys to-receive of-Persians both and of-the*
ἄλλων βαρβάρων, χρήμασί τε αὐτοὺς δωρεῖσθαι, ὥσπερ
*other barbarians with-money and them to-present as-if*
ὑπ᾽ αὐτῇ κειμένης τῆς Ῥωμαίων ἀρχῆς, οὐδαμῇ ἀπηξίου,
*under her lying the of-Romans empire in-no-way disdained*
πρᾶγμα πώποτε οὐ γεγονὸς ἐκ τοῦ παντὸς χρόνου.
*a-thing ever not having-happened from the all time*

καὶ πάλαι μὲν οἱ τῷ βασιλεῖ ξυγγενόμενοι αὐτόν 25
*and long-ago indeed those with-the emperor associating him*
τε βασιλέα καὶ τὴν γυναῖκα βασιλίδα ἐκάλουν, ἀρχόντων
*both emperor and the wife empress called of-magistrates*

τε τῶν λοιπῶν ἕκαστον ὅπη αὐτῷ ἀξιώματος πέρι τὰ
*and of-the rest each as to-him of-dignity about the*
παρόντα ἔχοι.
*present should-stand*

26 ἢν δέ τις τούτοιν ὁποτέρῳ ἐς λόγους ξυμμίξας βασιλέως ἢ
*if but anyone with-these either into conversation having-mixed of-emperor or*
βασιλίδος ἐπιμνησθείη, ἀλλ᾽ οὐ δεσπότην τε ἀποκαλοίη καὶ
*of-empress should-make-mention but not master both should-call and*
δέσποιναν, ἢ καὶ μὴ δούλους τῶν τινας ἀρχόντων ὀνομάζειν
*mistress or even not slaves of-the some magistrates to-name*
πειρῷτο, τοσοῦτος δὴ ἀμαθής τε καὶ τὴν γλῶτταν
*should-try so-great indeed ignorant both and the tongue*
ἀκόλαστος ἐδόκει εἶναι, καὶ ἅτε ἡμαρτηκὼς τὰ πικρότατα
*unbridled he-seemed to-be and as having-sinned the most-bitter-things*
καὶ ὑβρίσας ἐς οὓς ἥκιστα ἐχρῆν ἐνθένδε ἀπῄει.
*and having-outraged against whom least he-ought thence departed*

27 Καὶ τὰ πρότερα μὲν ὀλίγοι τε καὶ μόλις ἐν βασιλείοις
*and the formerly indeed few both and scarcely in palaces*
ἐγίνοντο, ἐξ ὅτου δὲ οὗτοι τὴν βασιλείαν παρέλαβον,
*came from which but these the empire took-over*
ἄρχοντες ὁμοῦ καὶ οἱ λοιποὶ ξύμπαντες ἐν Παλατίῳ
*magistrates together and the rest all in the-Palace*
ἐνδελεχέστατα διατριβὴν εἶχον.
*most-continually residence had*

28 αἴτιον δὲ ὅτι πάλαι μὲν ταῖς ἀρχαῖς τά τε δίκαια καὶ
*cause and that long-ago indeed for-the magistrates the both just-things and*
νόμιμα πράσσειν γνώμῃ αὐτονόμῳ ἐξῆν.
*lawful to-do by-judgment independent was-permitted*

29 οἵ τε οὖν ἄρχοντες διοικούμενοι τὰ εἰωθότα ἐν τοῖς
*the both then magistrates administering the customary-things in the*
καταγωγίοις τοῖς αὐτῶν ἔμενον, οἵ τε ἀρχόμενοι βίαιον
*residences the their remained the and governed violent*

οὐδὲν οὔτε ὁρῶντες οὔτε ἀκούοντες βασιλέα, ὡς τὸ εἰκός,
*nothing neither seeing nor hearing emperor as the likely*
ὀλίγα ἠνώχλουν.
*little pestered*
οὗτοι δὲ ἅπαντα ἐπὶ πονηρῷ τῶν κατηκόων ἐφ' ἑαυτοὺς ἐς 30
*these but all-things to harm of-the subjects to themselves for*
ἀεὶ ἕλκοντες ἅπαντας σφίσι δουλοπρεπέστατα προσεδρεύειν
*ever dragging all them most-servilely to-attend-on*
ἠνάγκαζον· ἦν δὲ ἰδεῖν εἰς ἡμέραν σχεδόν τι ἑκάστην
*compelled it-was and to-see for day almost — each*
τὰ μὲν δικαστήρια πάντα ἐκ τοῦ ἐπὶ πλεῖστον ἀνδρῶν
*the indeed courts all from the for most of-men*
ἔρημα, ἐν δὲ τῇ βασιλέως αὐλῇ ὄχλον τε καὶ ὕβριν καὶ
*deserted in but the of-emperor court crowd both and outrage and*
ὠθισμὸν μέγαν καὶ δουλοπρέπειαν ἐς ἀεὶ ξύμπασαν.
*shoving great and servility for ever entire*
οἵ τε αὐτοῖν ἐπιτήδειοι δοκοῦντες εἶναι τήν τε ἡμέραν 31
*those both of-the-two intimates seeming to-be the both day*
διηνεκῶς πᾶσαν καὶ τῆς νυκτὸς ἐς ἀεὶ πολλήν τινα
*continually whole and of-the night for ever great some*
μοῖραν ἐνταῦθα ἑστῶτες ἄυπνοί τε καὶ ἀπόσιτοι παρὰ
*portion there standing sleepless both and without-food beyond*
καιροὺς τοὺς εἰωθότας γινόμενοι διεφθείροντο, ἐς τοῦτό τε
*times the customary becoming were-worn-out to this and*
αὐτοῖς τὴν δοκοῦσαν εὐδαιμονίαν ἀποκεκρίσθαι ξυνέπεσε.
*for-them the seeming prosperity to-have-come-out it-befell*
τούτων μέντοι ἀφειμένοι πάντων διεμάχοντο πρὸς ἀλλήλους 32
*of-these however released all fought with each-other*
οἱ ἄνθρωποι, ὅπη ποτὲ Ῥωμαίων τὰ χρήματα εἴη.
*the men where ever of-Romans the money might-be*

33 οἱ μὲν γὰρ ἰσχυρίζοντο ἐν βαρβάροις ἅπαντα
*the-ones indeed for insisted among barbarians all*
εἶναι, οἱ δὲ βασιλέα ἔφασκον ἐν οἰκίσκοις πολλοῖς
*to-be the-others and emperor said in chambers many*
καθειρξαντα ἔχειν.
*having-shut-up to-have*

34 ὁπηνίκα οὖν ἢ ἄνθρωπος ὢν ὁ Ἰουστινιανὸς ἀπέλθῃ
*when then either man being — Justinian shall-depart*
τοῦ βίου, ἢ ἅτε τῶν δαιμόνων ἄρχων ἀπολύσῃ τὸν
*from-the life or as of-the demons ruler shall-lay-down the*
βίον, ὅσοι τηνικάδε περιόντες τύχωσι, τἀληθὲς εἴσονται.
*life as-many-as at-that-time surviving shall-happen the-truth will-know*

PROCOPIUS

# ΠΕΡΙ ΚΤΙΣΜΑΤΩΝ

*Buildings, Book I*

*History preserves the memory of benefactors, and Procopius will record Justinian's buildings, since this emperor has enlarged the Empire, unified the faith, cleared up the laws, and walled the frontiers, surpassing Xenophon's Cyrus. He begins with Hagia Sophia, which the Nika rioters burned and which Justinian at once rebuilt at any cost, with Anthemius of Tralles and Isidore of Miletus as his engineers. He describes its height and breadth, its light, the apse and half-domes of the east end, the west wall built to match, the four piers of fitted stone bound with lead, the four arches and pendentives, and the dome that seems hung from heaven by a golden chain. The eye cannot rest on any one part, the marbles are like a meadow in flower, and the worshiper feels God close by. The sanctuary alone holds forty thousand pounds of silver. Twice the work nearly failed, when an arch had not yet closed and when the columns under the other arches began to flake, and twice Justinian himself found the remedy.*

Οὐκ ἀρετῆς ἐπίδειξιν ποιεῖσθαι ἐθέλων, οὐδὲ λόγου δυνάμει 1
*not of-virtue display to-make wishing nor of-speech in-power*
θαρρῶν, οὐδὲ χωρίων ἐπὶ τῇ ἐμπειρίᾳ φιλοτιμούμενος,
*trusting nor of-places on the experience priding-myself*
ἐς τῆσδε τῆς ἱστορίας τὴν γραφὴν ὥρμηκα· ἐπεὶ οὐκ
*to of-this the history the writing I-have-set-out since not*
εἶχον οὐδὲν ὑφ' οὗ ἂν παρρησίας ἐς τόδε ἀγοίμην.
*I-had anything by which — of-frankness to this I-might-be-led*
ἀλλά μοι πολλάκις ἔννοια γέγονεν ὁπόσων τε καὶ 2
*but to-me often thought has-come how-many both and*
πηλίκων ἀγαθῶν αἴτιον ἱστορία ταῖς πόλεσι γίνεσθαι
*how-great goods cause history to-the cities to-become*
εἴωθε, παραπέμπουσά τε εἰς τοὺς ἐπιγόνους τῶν
*is-wont transmitting both to the descendants of-those*
προγεγενημένων τὴν μνήμην, καὶ ἀνταγωνιζομένη τῷ
*having-gone-before the memory and contending with-the*
χρόνῳ κρυφαῖα ποιεῖσθαι διατεινομένῳ τὰ πράγματα, καὶ
*time hidden to-make striving the deeds and*

τὴν μὲν ἀρετὴν εὐφημίαις ἀεὶ τῶν ἀναλεγομένων αὐτὴν
*the indeed virtue with-praises always of-those reading it*
ἐπαίρουσα, τῆς δὲ κακίας ἐπιλαμβανομένη διηνεκές, ταύτῃ
*exalting of-the and vice laying-hold continually thus*
τε ἀποκρουομένη τὴν αὐτῆς δύναμιν.
*and repelling the its power*

3 τούτου οὖν δὴ μόνου ἐπιμελητέον ἡμῖν, ὅπως δὴ ἔνδηλα
*of-this then indeed alone must-be-cared-for by-us that indeed manifest*
τὰ πεπραγμένα διαφανῶς ἔσται καὶ ὑφ᾽ ὅτου ἐργασθείη
*the-things done plainly will-be and by whom they-were-wrought*
τῶν πάντων ἀνθρώπων. ταῦτα δέ, οἶμαι, οὐδὲ γλώσσῃ
*of-the all men these(-things) and I-think not-even for-a-tongue*
τραυλιζούσῃ τε καὶ ἰσχνοφώνῳ οὔσῃ ἀμήχανά ἐστι.
*stammering both and thin-voiced being impossible are*

4 χωρὶς δὲ τούτων εὐγνώμονας μὲν ἱστορία ἐς τοὺς
*apart-from and these grateful indeed history toward the*
εὐεργέτας ἐνδείκνυται γεγονέναι τῶν ἀρχομένων τοὺς
*benefactors shows to-have-been of-the governed those*
εὖ πεπονθότας, ἐν μείζοσι δὲ αὐτοῖς ἐκτετικέναι τὰ
*well having-been-treated in greater and to-them to-have-repaid the*
χαριστήρια, οἵ γε, ἂν οὕτω τύχοι, ἐπὶ καιροῦ μὲν
*thank-offerings who at-least — so might-happen at time indeed*
τῆς ἀγαθοεργίας τῶν ἐν σφίσιν ἡγησαμένων ἀπώναντο,
*of-the beneficence of-those among them having-led enjoyed*
ἀθάνατον δὲ αὐτοῖς τῶν εἰς τὸ ἔπειτα ἐσομένων τῇ
*immortal and for-them of-those to the hereafter being-going-to-be by-the*
μνήμῃ τὴν ἀρετὴν διασώζουσι.
*memory the virtue they-preserve*

5 διὰ ταῦτα γὰρ καὶ τῶν ἐπιγινομένων πολλοὶ ἀρετῶσι
*because-of these(-things) for also of-those coming-after many are-virtuous*
μὲν τὰς τῶν προγεγενημένων ζηλοῦντες τιμάς, ἐς
*indeed the of-those having-gone-before emulating honors toward*

δὲ τὰς βλασφημίας χαλεπῶς ἔχοντες τῶν ἐπιτηδευμάτων
*and the reproaches hardly bearing of-the pursuits*
τὰ πονηρότατα, ὡς τὸ εἰκός, ἀναδύονται. ὅτου δὲ δὴ
*the most-wicked as the likely they-shrink-from of-what but indeed*
ἕνεκα ταῦτα ὑπεῖπον αὐτίκα δηλώσω.
*for-the-sake these(-things) I-hinted at-once I-will-show*
Ἐν χρόνῳ τῷ καθ' ἡμᾶς Ἰουστινιανὸς ὁ βασιλεὺς γέγονεν, 6
*in time the in our Justinian the emperor has-come*
ὃς τὴν πολιτείαν πλημμελῶς κινουμένην παραλαβὼν μεγέθει
*who the state discordantly being-moved having-taken-over in-size*
μὲν αὐτὴν μείζω τε καὶ πολλῷ ἐπιφανεστέραν εἰργάσατο,
*indeed it greater both and by-much more-illustrious made*
ἐξελάσας ἐνθένδε τοὺς ἐκ παλαιοῦ βιασαμένους αὐτὴν
*having-driven-out thence the from old having-forced it*
βαρβάρους, ὥσπερ μοι λεπτολογουμένῳ ἐν τοῖς ὑπὲρ
*barbarians as by-me going-into-detail in the about*
τῶν πολέμων δεδήλωται λόγοις.
*the wars has-been-shown books*
καίτοι λέγουσί ποτε Θεμιστοκλέα τὸν Νεοκλέους 7
*and-yet they-say once Themistocles the of-Neocles*
ἀποσεμνύνεσθαι ὅτι δὴ οὐκ ἀνεπιστημόνως ἔχοι
*to-pride-himself that indeed not unskillfully he-was-disposed*
πόλιν μικρὰν ποιῆσαι μεγάλην.
*city small to-make great*
ὁ δὲ δὴ οὐκ ἀμελέτητός ἐστιν ἐμπορίζεσθαι πολιτείας 8
*he but indeed not unpracticed is to-acquire states*
ἑτέρας. πολλὰς ἀμέλει προσεποίησεν ἤδη τῇ Ῥωμαίων
*other many of-course he-has-added already to-the of-Romans*
ἀρχῇ ἀλλοτρίας καθ' αὑτὸν οὔσας, πόλεις δὲ ἀναρίθμους
*empire foreign in his-time being cities and countless*
δεδημιούργηκεν οὐ πρότερον οὔσας.
*he-has-built not before being*

9 πλανωμένην δ᾽ εὑρὼν τὴν ἀμφὶ τῷ θεῷ δόξαν τὰ
*wandering and having-found the about — God belief the*
πρότερα ἐς πολλά τε ἀναγκαζομένην ἰέναι, συντρίψας
*formerly into many and being-compelled to-go having-crushed*
ἁπάσας τὰς ἐπὶ τὰς πλάνας φερούσας ὁδούς, διεπράξατο
*all the to the errors leading roads he-brought-it-about*
ἐν τῷ βεβαίῳ τῆς πίστεως ἐπὶ μιᾶς ἑστάναι κρηπῖδος.
*in the firmness of-the faith on one to-stand foundation*
10 πρὸς δὲ καὶ τοὺς νόμους λαβὼν τῷ τε παμπληθεῖς
*besides and also the laws having-taken by-the both very-numerous*
οὐ δέον γεγονέναι σκοτεινοὺς ὄντας καὶ συγκεχυμένους
*not needful to-have-become obscure being and confused*
διαφανῶς τῷ ἀπ᾽ ἐναντίας ἀλλήλοις ἰέναι, καὶ τοῦ μὲν
*plainly by-the from contrary to-each-other to-go and of-the indeed*
ὄχλου αὐτοὺς τῆς τερθρείας ἀποκαθάρας, τὸ δὲ ἐς
*crowd them of-the quibbling having-cleansed the and toward*
ἀλλήλους διχοστατεῖν βεβαιότατα κρατυνάμενος διεσώσατο,
*each-other to-disagree most-firmly having-fortified he-preserved*
καὶ τοῖς μὲν ἐπιβουλεύουσιν αὐτεπάγγελτος τὰς αἰτίας
*and to-those indeed plotting of-his-own-accord the charges*
ἀφείς, τοὺς δὲ βίου δεομένους πλούτῳ πεποιημένος
*having-remitted those and of-livelihood in-need with-wealth having-made*
κατακορεῖς καὶ τύχην αὐτοῖς τὴν ἐπηρεάζουσαν βιασάμενος,
*sated and fortune for-them the abusing having-overpowered*
εὐδαίμονι βίῳ τὴν πολιτείαν ξυνώκισεν.
*with-prosperous life the state he-united*
11 ἀλλὰ καὶ βαρβάροις πανταχόθεν ὑποκειμένην τὴν Ῥωμαίων
*but also to-barbarians from-every-side exposed the of-Romans*
ἀρχὴν στρατιωτῶν τε πλήθει ἐπέρρωσε καὶ ὀχυρωμάτων
*empire of-soldiers both by-multitude he-strengthened and of-fortresses*
οἰκοδομίαις ἁπάσας αὐτῆς τὰς ἐσχατιὰς ἐτειχίσατο.
*with-buildings all its the extremities he-walled*

ἀλλὰ τῶν μὲν ἄλλων τὰ πλεῖστα ἐν ἑτέροις μοι 12
*but of-the indeed others the most in other by-me*
συγγέγραπται λόγοις, ὅσα δὲ αὐτῷ ἀγαθὰ οἰκοδομουμένῳ
*have-been-written books how-many and by-him goods building*
δεδημιούργηται, ἐν τῷ παρόντι γέγραπται. ἄριστον μὲν
*have-been-created in the present are-written best indeed*
δὴ βασιλέα γεγονέναι τὸν Πέρσην Κῦρον τοῖς τε
*truly king to-have-been the Persian Cyrus for-the and*
ὁμογενέσιν αἰτιώτατον τῆς βασιλείας ἀκοῇ ἴσμεν·
*kinsmen most-responsible of-the kingdom by-hearsay we-know*
εἰ δὲ τοιοῦτός τις ἦν ὁ Κῦρος ἐκεῖνος οἷος δὴ ὑπὸ 13
*if but such some was — Cyrus that such-as indeed by*
Ξενοφῶντι τῷ Ἀθηναίῳ παιδεύεται, οὐκ ἔχω εἰδέναι.
*Xenophon the Athenian is-educated not I-can to-know*
τάχα γάρ που καὶ ἡ τοῦ γεγραφότος αὐτὰ δεξιότης 14
*perhaps for somehow also the of-the having-written them skill*
κεκομψευμένῃ δυνάμει τοῦ λόγου ἐγκαλλώπισμα τῶν
*with-ornamented power of-the speech embellishment of-the*
ἔργων γενέσθαι διαρκῶς ἴσχυσε.
*deeds to-become sufficiently was-able*
τοῦ δὲ καθ' ἡμᾶς βασιλέως Ἰουστινιανοῦ (ὃν δὴ καὶ 15
*of-the but in our-time emperor Justinian whom indeed also*
φύσει βασιλέα καλῶν τις, οἶμαι, ὀρθῶς ἂν εἴποι, ἐπεὶ
*by-nature emperor calling anyone I-think rightly — would-speak since*
καὶ πατὴρ ὡς ἤπιός ἐστι, καθ' Ὅμηρον) εἴ τις ἐς
*also father as gentle he-is according-to Homer if anyone to*
τὸ ἀκριβὲς τὴν βασιλείαν διασκοποῖτο, παιδιάν τινα τὴν
*the exact the empire should-examine plaything some the*
Κύρου ἀρχὴν οἰήσεται εἶναι.
*of-Cyrus empire he-will-think to-be*

16 τεκμηριώσει δὲ τὸ τοιοῦτο ἡ μὲν πολιτεία πρὸς αὐτοῦ,
*will-prove and the such-thing the indeed state by him*
ᾗπέρ μοι ἔναγχος εἴρηται, τῇ τε χώρᾳ καὶ τῇ ἄλλῃ
*as-indeed by-me lately has-been-said by-the both land and by-the other*
δυνάμει πλεῖον ἢ διπλασία γεγενημένη. τεκμήριον δὲ τῆς
*power more than double having-become proof and of-the*
τοῦ βασιλέως φιλανθρωπίας, οἱ τὴν ἐπιβουλὴν αὐτῷ
*of-the emperor benevolence those the plot against-him*
σκαιωρησάμενοι μέχρι ἐς φόνον μὴ ὅτι βιοτεύοντες ἐς
*having-contrived as-far-as to murder not only living to*
τόδε τοῦ χρόνου καὶ τὰ σφέτερα αὐτῶν ἔχοντες, καίπερ
*this of-the time and the their own having although*
ἐξεληλεγμένοι διαφανῶς, ἀλλὰ καὶ στρατηγοῦντες Ῥωμαίων
*convicted plainly but also generals of-Romans*
ἔτι καὶ ἐς τὸ τῶν ὑπάτων ἀναγεγραμμένοι ἀξίωμα.
*still and to the of-the consuls enrolled rank*

17 τανῦν δέ, ὅπερ εἶπον, ἐπὶ τὰς οἰκοδομίας τούτου δὴ τοῦ
*now but as I-said to the buildings of-this indeed the*
βασιλέως ἡμῖν ἰτέον, ὡς μὴ ἀπιστεῖν τῷ τε πλήθει καὶ
*emperor by-us must-be-gone so-that not to-disbelieve to-the both multitude and*
τῷ μεγέθει ἐς τὸν ὄπισθεν χρόνον τοῖς αὐτὰς θεωμένοις
*to-the magnitude to the later time for-those them beholding*
ξυμβαίη, ὅτι δὴ ἀνδρὸς ἑνὸς ἔργα τυγχάνει ὄντα.
*it-may-happen that indeed of-man one works they-happen being*

18 πολλὰ γὰρ ἤδη τῶν προγεγενημένων οὐκ ἐμπεδωθέντα
*many for already of-the-things having-gone-before not confirmed*
τῷ λόγῳ τῷ ὑπερβάλλοντι τῆς ἀρετῆς ἄπιστα γέγονεν.
*by-the account by-the excess of-the virtue incredible have-become*
εἴη δ' ἂν εἰκότως τὰ ἐν Βυζαντίῳ παρὰ πάντα
*would-be and — fittingly the-things in Byzantium beyond all*
τῷ λόγῳ κρηπίς.
*for-the account foundation*

ἀρχομένου γὰρ ἔργου, κατὰ δὴ τὸν παλαιὸν λόγον, 19
*beginning for work according-to indeed the ancient saying*
πρόσωπον χρὴ θέμεναι τηλαυγές.
*face one-must to-set far-shining*
Ἄνδρες ἀγελαῖοί ποτε καὶ ὁ συρφετὸς ὄχλος 20
*men common once and the sweepings mob*
Ἰουστινιανῷ βασιλεῖ ἐν Βυζαντίῳ ἐπαναστάντες τὴν Νίκα
*against-Justinian emperor in Byzantium having-risen-up the Nika*
καλουμένην στάσιν εἰργάσαντο, ᾗπέρ μοι ἀπαρακαλύπτως
*called riot wrought as-indeed by-me openly*
ἀκριβολογουμένῳ ἐν τοῖς ὑπὲρ τῶν πολέμων δεδιήγηται
*going-into-detail in the about the wars has-been-narrated*
λόγοις.
*books*
ἐνδεικνύμενοι δὲ ὡς οὐκ ἐπὶ τὸν βασιλέα μόνον, ἀλλ᾽ οὐδέν 21
*showing and that not against the emperor alone but nothing*
τι ἧσσον ἐπὶ τὸν θεόν, ἅτε ἀποφράδες, τὰ ὅπλα ἀντῆραν,
*— less against — God as accursed the arms they-raised*
ἐμπρῆσαι τῶν Χριστιανῶν τὴν ἐκκλησίαν ἐτόλμησαν
*to-burn of-the Christians the church dared*
(Σοφίαν καλοῦσιν οἱ Βυζάντιοι τὸν νεὼν ἐπικαιριώτατα
*Sophia call the Byzantines the temple most-fittingly*
τῷ θεῷ τὴν ἐπωνυμίαν ἀπεργασάμενοι), ἐπεχώρει δὲ
*— to-God the name having-given allowed but*
αὐτοῖς ὁ θεὸς διαπράξασθαι τὸ ἀσέβημα, προειδὼς εἰς
*them — God to-accomplish the impiety foreseeing into*
ὅσον τὸ κάλλος τοῦτο τὸ ἱερὸν μεταστήσεσθαι ἔμελλεν.
*how-great the beauty this the sanctuary to-be-changed it-was-about*
ἡ μὲν οὖν ἐκκλησία ἐξηνθρακωμένη τότε ξύμπασα ἔκειτο. 22
*the indeed then church burned-to-ashes then all lay*
βασιλεὺς δὲ Ἰουστινιανὸς τοιαύτην ἀποτετόρνευται οὐ
*emperor but Justinian such has-fashioned not*

πολλῷ ὕστερον ὥστε, εἰ τῶν Χριστιανῶν τις ἐπύθετο
*much later that if of-the Christians anyone had-asked*
πρότερον εἰ βουλομένοις αὐτοῖς διολωλέναι τὴν ἐκκλησίαν
*before if wishing to-them to-have-perished the church*
εἴη καὶ τοιάνδε γενέσθαι, δείξας τι αὐτοῖς τῶν νῦν
*it-were and such to-become having-shown some to-them of-the-things now*
φαινομένων ἐκτύπωμα, δοκοῦσιν ἄν μοι ὡς συντομώτατα
*appearing model they-seem — to-me as most-quickly*
εὔξασθαι πεπονθυῖαν σφίσι τὴν ἐκκλησίαν θεάσασθαι,
*to-have-prayed having-suffered for-them the church to-behold*
ὅπως δὴ αὐτοῖς ἐς τὸ παρὸν μεταβάλοιτο σχῆμα.
*so-that indeed for-them to the present it-might-be-changed form*

23 ὁ μὲν οὖν βασιλεὺς ἀφροντιστήσας χρημάτων ἁπάντων
*the indeed then emperor having-disregarded money all*
ἐς τὴν οἰκοδομὴν σπουδῇ ἴετο, καὶ τοὺς τεχνίτας ἐκ
*to the building with-zeal hastened and the craftsmen from*
πάσης γῆς ἤγειρεν ἅπαντας.
*all land gathered all*

24 Ἀνθέμιος δὲ Τραλλιανός, ἐπὶ σοφίᾳ τῇ καλουμένῃ μηχανικῇ
*Anthemius and of-Tralles in wisdom the called mechanical*
λογιώτατος οὐ τῶν κατ᾽ αὐτὸν μόνον ἁπάντων, ἀλλὰ καὶ
*most-learned not of-those in his-time only all but also*
τῶν αὐτοῦ προγεγενημένων πολλῷ, τῇ βασιλέως ὑπούργει
*of-those him having-gone-before by-much to-the of-the-emperor served*
σπουδῇ, τοῖς τεκταινομένοις τὰ ἔργα ῥυθμίζων, τῶν τε
*zeal for-those building the works ordering of-the-things and*
γενησομένων προδιασκευάζων ἰνδάλματα, καὶ μηχανοποιὸς
*going-to-be preparing-beforehand images and engineer*
σὺν αὐτῷ ἕτερος, Ἰσίδωρος ὄνομα, Μιλήσιος γένος, ἔμφρων
*with him another Isidore by-name Milesian by-race intelligent*
τε ἄλλως καὶ πρέπων Ἰουστινιανῷ ὑπουργεῖν βασιλεῖ.
*both otherwise and fitting for-Justinian to-serve emperor*

ἦν δὲ ἄρα καὶ τοῦτο τῆς τοῦ θεοῦ περὶ τὸν βασιλέα 25
*it-was and then also this of-the — of-God toward the emperor*
τιμῆς, προκαταστησαμένου τοὺς ἐς τὰ πραχθησόμενα
*honor having-appointed-beforehand those for the-things going-to-be-done*
χρησιμωτάτους αὐτῷ ἐσομένους.
*most-useful to-him being-going-to-be*
καὶ αὐτοῦ δὲ τοῦ βασιλέως τὸν νοῦν εἰκότως ἄν τις 26
*and of-him too the emperor the mind fittingly — anyone*
ἀγασθείη τούτου δὴ ἕνεκα, ὅτι δὴ ἐκ πάντων
*might-admire of-this indeed for-the-sake that indeed from all*
ἀνθρώπων ἐς τῶν πραγμάτων τὰ σπουδαιότατα τοὺς
*men for of-the affairs the most-serious the*
καιριωτάτους ἀπολέξασθαι ἔσχε.
*most-suitable to-choose he-was-able*
Θέαμα οὖν ἡ ἐκκλησία κεκαλλιστευμένον γεγένηται, 27
*a-spectacle then the church most-beautiful has-become*
τοῖς μὲν ὁρῶσιν ὑπερφυές, τοῖς δὲ ἀκούουσι παντελῶς
*to-those indeed seeing extraordinary to-those but hearing altogether*
ἄπιστον. ἐπῄρται μὲν γὰρ ἐς ὕψος οὐράνιον ὅσον,
*incredible it-is-lifted indeed for into height heavenly as-much*
καὶ ὥσπερ τῶν ἄλλων οἰκοδομημάτων ἀποσαλεύουσα
*and as-if of-the other buildings rocking-away*
ἐπινένευκεν, ὑπερκειμένη τῇ ἄλλῃ πόλει, κοσμοῦσα μὲν
*it-has-leaned-over lying-above the other city adorning indeed*
αὐτήν, ὅτι αὐτῆς ἐστιν, ὡραϊζομένη δέ, ὅτι αὐτῆς οὖσα
*it because of-it it-is being-beautified but because of-it being*
καὶ ἐπεμβαίνουσα τοσοῦτον ἀνέχει, ὥστε δὴ ἐνθένδε ἡ
*and rising-over so-much it-rises that indeed thence the*
πόλις ἐκ περιωπῆς ἀποσκοπεῖται.
*city from a-lookout is-viewed*

28 εὖρος δὲ αὐτῆς καὶ μῆκος οὕτως ἐν ἐπιτηδείῳ
*breadth and its and length thus in fitness*
ἀποτετόρνευται, ὥστε καὶ περιμήκης καὶ ὅλως εὐρεῖα οὐκ
*has-been-fashioned that both very-long and wholly broad not*
ἀπὸ τρόπου εἰρήσεται. κάλλει δὲ ἀμυθήτῳ ἀποσεμνύνεται.
*out-of place it-will-be-called with-beauty and unspeakable it-prides-itself*
29 τῷ τε γὰρ ὄγκῳ κεκόμψευται καὶ τῇ ἁρμονίᾳ τοῦ
*by-the both for bulk it-has-been-adorned and by-the harmony of-the*
μέτρου, οὔτε τι ὑπεράγαν οὔτε τι ἐνδεῶς ἔχουσα,
*measure neither anything excessively nor anything deficiently having*
ἐπεὶ καὶ τοῦ ξυνειθισμένου κομπωδεστέρα καὶ τοῦ
*since both than-the customary more-grandiose and than-the*
ἀμέτρου κοσμιωτέρα ἐπιεικῶς ἐστι, φωτὶ δὲ καὶ ἡλίου
*unmeasured more-orderly fittingly it-is with-light and also of-the-sun*
μαρμαρυγαῖς ὑπερφυῶς πλήθει.
*with-gleamings extraordinarily it-abounds*
30 φαίης ἂν οὐκ ἔξωθεν καταλάμπεσθαι ἡλίῳ τὸν
*you-would-say — not from-outside to-be-lit-up by-the-sun the*
χῶρον, ἀλλὰ τὴν αἴγλην ἐν αὐτῷ φύεσθαι, τοσαύτη τις
*place but the radiance in it to-be-born so-great some*
φωτὸς περιουσία εἰς τοῦτο δὴ τὸ ἱερὸν περικέχυται.
*of-light abundance into this indeed the sanctuary has-been-poured-round*
31 καὶ τὸ μὲν τοῦ νεὼ πρόσωπον (εἴη δ' ἂν αὐτοῦ τὰ
*and the indeed of-the temple face it-would-be and — of-it the-parts*
πρὸς ἀνίσχοντα ἥλιον, ἵνα δὴ τῷ θεῷ ἱερουργοῦσι
*toward rising sun where indeed — for-God they-perform-sacred-rites*
τὰ ἄρρητα) τρόπῳ τοιῷδε δεδημιούργηται.
*the unspeakable-things in-manner such has-been-built*
32 οἰκοδομία τις ἐκ γῆς ἀνέχει, οὐκ ἐπ' εὐθείας πεποιημένη,
*a-building a-certain from earth rises not in straight made*
ἀλλ' ἐκ τῶν πλαγίων ὑπεσταλμένη κατὰ βραχύ, καὶ
*but from the sides drawn-in by little and*

κατὰ τὰ μέσα ὑποχωροῦσα, ἐπὶ σχῆμά τε κατὰ ἥμισυ τὸ
*at the middle receding to shape and by half the*
στρογγύλον ἰοῦσα, ὅπερ οἱ περὶ τὰ τοιαῦτα σοφοὶ
*round going which-very-thing those about the such(-things) wise*
ἡμικύλινδρον ὀνομάζουσιν, ἐς ὕψος ἀπότομον ἐπανέστηκεν.
*half-cylinder name to height sheer it-has-risen*
ἡ δὲ τοῦ ἔργου τούτου ὑπερβολὴ ἐς σφαίρας 33
*the and of-the work this top into of-a-sphere*
τεταρτημόριον ἀποκέκριται, ὕπερθέν τε μηνοειδές τι
*quarter has-been-ended above and crescent-shaped something*
αὐτῇ ἕτερον τοῖς προσεχέσι τῆς οἰκοδομίας ἐπῆρται,
*to-it other from-the adjoining of-the building has-been-raised*
τῇ μὲν εὐπρεπείᾳ θαυμάσιον, τῷ δὲ σφαλερῷ τῆς
*by-the indeed comeliness marvelous by-the but precariousness of-the*
συνθέσεως δοκοῦντι εἶναι φοβερὸν ὅλως.
*composition seeming to-be fearful wholly*
δοκεῖ γάρ πη οὐκ ἐν βεβαίῳ ἐπηωρῆσθαι, ἀλλ' 34
*it-seems for somehow not in firmness to-have-been-hung but*
ἐπικινδύνως τοῖς ἐνθάδε οὖσι μετεωρίζεσθαι. καίτοι
*perilously for-those there being to-be-raised-aloft although*
διαφερόντως ἐν τῷ βεβαίῳ τῆς ἀσφαλείας ἐστήρικται.
*exceptionally in the firmness of-the safety it-has-been-set-fast*
τούτων δὲ δὴ ἐφ' ἑκάτερα κίονες ἐπ' ἐδάφους εἰσίν, 35
*of-these and indeed on both-sides columns on floor are*
οὐδὲ αὐτοὶ κατ' εὐθὺ ἑστῶτες, ἀλλ' εἴσω κατὰ σχῆμα
*not-even they in straight-line standing but inward in shape*
τὸ ἡμίκυκλον ὥσπερ ἐν χορῷ ἀλλήλοις ὑπεξανιστάμενοι,
*the semicircular as in a-chorus to-one-another giving-way*
καὶ αὐτῶν ὑπεράνωθεν οἰκοδόμημα μηνοειδὲς ἀποκρέμαται.
*and of-them from-above a-building crescent-shaped hangs*

36 τοῦ δὲ δὴ ἑῴου καταντικρὺ τὰς εἰσόδους ἔχων ἐγήγερται
*of-the and indeed east opposite the entrances having has-been-raised*
τοῖχος, καὶ αὐτοῦ ἑκατέρωθεν οἵ τε κίονες καὶ τὰ
*a-wall and of-it on-each-side the both columns and the-things*
αὐτῶν ὕπερθεν ὁμοιότατα τοῖς δεδηλωμένοις ἐν
*them above most-like to-the-things shown in*
ἡμικύκλῳ ἑστήκασι.
*semicircle stand*

37 κατὰ δὲ τὰ τοῦ νεὼ μέσα λόφοι χειροποίητοι ἐπανεστήκασι
*in and the of-the temple middle hills hand-made have-risen*
τέσσαρες, οὓς καλοῦσι πεσσούς, δύο μὲν πρὸς βορρᾶν,
*four which they-call piers two indeed toward north*
δύο δὲ πρὸς ἄνεμον νότον, ἀντίοι τε καὶ ἴσοι ἀλλήλοις,
*two and toward wind south opposite both and equal to-each-other*
κίονας ἐν μέσῳ ἑκάτεροι κατὰ τέσσαρας μάλιστα ἔχοντες.
*columns in middle each at four about having*

38 πεποίηνται δὲ οἱ λόφοι λίθοις εὐμεγέθεσι σύνθετοι, λογάδην
*are-made and the hills of-stones very-large composed picked*
μὲν συνειλεγμένοις, ἐς ἀλλήλους δὲ πρὸς τῶν λιθολόγων
*indeed gathered to each-other and by the stonemasons*
ἐπισταμένως ἐναρμοσθεῖσιν, ἐς ὕψος μέγα ἱκνοῦνται.
*skillfully fitted to height great they-reach*
εἰκάσαις ἂν αὐτοὺς εἶναι σκοπέλους ὀρῶν ἀποτόμους.
*you-would-liken — them to-be crags of-mountains sheer*

39 ἐπὶ τούτοις δὲ ἀψῖδες τέσσαρες ἐν τετραπλεύρῳ ἀνέχουσιν.
*on these and arches four in square rise*
καὶ αὐτῶν τὰ μὲν ἄκρα ξύνδυο ξυνιόντα εἰς ἄλληλα
*and of-them the indeed ends two-by-two coming-together into each-other*
ἐν τῇ ὑπερβολῇ ἠρήρεισται τῶν λόφων τούτων, τὰ δὲ
*on the top have-been-fixed of-the hills these the but*
δὴ ἄλλα ἐπῃρμένα εἰς ἀπέραντον ὕψος ἠώρηται.
*indeed other-parts lifted into boundless height hang*

τῶν δὲ ἀψίδων αἱ μὲν δύο κατὰ κενοῦ τοῦ ἀέρος 40
*of-the and arches the indeed two over empty the air*
ἐπανεστήκασι πρὸς ἀνίσχοντά τε καὶ δύοντά που
*have-risen toward rising both and setting somewhere*
τὸν ἥλιον, αἱ δὲ λειπόμεναι οἰκοδομίαν τινὰ καὶ κίονας
*the sun the and remaining building some and columns*
μικροὺς κομιδῇ ἔνερθεν ἔχουσιν.
*small very below have*
ὕπερθεν δὲ αὐτῶν κυκλοτερὴς οἰκοδομία ἐν στρογγύλῳ 41
*above and them circular building in round*
ἐπῆρται· ὅθεν ἀεὶ διαγελᾷ πρῶτον ἡ ἡμέρα.
*has-been-raised whence always smiles first the day*
ὑπεραίρει γάρ, οἶμαι, τὴν γῆν ξύμπασαν, καὶ διαλείπει τὸ 42
*it-overtops for I-think the earth all and has-intervals the*
οἰκοδόμημα κατὰ βραχύ, ἐξεπίτηδες παρειμένον τοσοῦτον,
*building by little deliberately left-open so-much*
ὅσον τοὺς χώρους, οὗ δὴ τὸ διῃρημένον τῆς οἰκοδομίας
*as the spaces where indeed the divided of-the building*
ξυμβαίνει εἶναι, φέγγους διαρκῶς ἀγωγοὺς εἶναι.
*happens to-be of-light sufficiently conductors to-be*
ταῦτα δέ, οἶμαι, οὐδὲ γλώσσῃ τραυλιζούσῃ τε καὶ 43
*these(-things) and I-think not-even for-a-tongue stammering both and*
ἰσχνοφώνῳ οὔσῃ ἀμήχανα ἔσται. τῶν ἀψίδων τῆς
*thin-voiced being impossible will-be of-the arches the*
συμπλοκῆς ἐν τετραγώνῳ ἐξειργασμένης, ἐς τρίγωνα
*joining in square having-been-wrought into triangles*
τέσσαρα μεταξὺ τὸ ἔργον ἀποτετέλεσται.
*four between the work has-been-completed*
καὶ ἡ μὲν τριγώνου ἑκάστου κρηπὶς πεπιεσμένη τῇ 44
*and the indeed of-triangle each base pressed by-the*
ἐς ἀλλήλας τῶν ἀψίδων ἐνέρσει ὀξεῖαν ποιεῖται τὴν
*into each-other of-the arches meeting sharp makes the*

κάτω γωνίαν, συναναβαίνουσα δὲ τὸ λοιπὸν εὐρυνομένη
*lower angle rising-together and for-the rest widening*
τῇ μεταξὺ χώρᾳ ἐς τὸ κυκλοτερὲς τελευτᾷ, ὃ ταύτῃ
*with-the between space into the circular ends which thus*
ἀνέχει, γωνίας δὲ λειπομένας ἐνταῦθα ποιεῖται.
*rises angles and remaining there it-makes*

45 τούτου δὲ τοῦ κυκλοτεροῦς παμμεγέθης ἐπανεστηκυῖά
*this and the circular very-great having-risen-upon*
τις σφαιροειδὴς θόλος ποιεῖται αὐτὸ διαφερόντως
*a-certain spherical dome makes it exceptionally*
εὐπρόσωπον.
*fair-faced*

46 δοκεῖ δὲ οὐκ ἐπὶ στερρᾶς τῆς οἰκοδομίας διὰ τὸ
*it-seems and not on solid the building because-of the*
παρειμένον τῆς οἰκοδομίας ἑστάναι, ἀλλὰ τῇ σειρᾷ τῇ
*left-open of-the building to-stand but by-the chain the*
χρυσῇ ἀπὸ τοῦ οὐρανοῦ ἐξημμένη καλύπτειν τὸν χῶρον.
*golden from the heaven suspended to-cover the place*

47 ταῦτα δὲ πάντα ἐς ἄλληλα παρὰ δόξαν ἐν μεταρσίῳ
*these(-things) and all to each-other contrary-to expectation in midair*
ἐναρμοσθέντα, ἔκ τε ἀλλήλων ᾐωρημένα καὶ μόνοις
*fitted from both each-other hung and alone*
ἐναπερειδόμενα τοῖς ἄγχιστα οὖσι, μίαν μὲν ἁρμονίαν
*leaning-on those nearest being one indeed harmony*
ἐκπρεπεστάτην τοῦ ἔργου ποιοῦνται, οὐ παρέχονται
*most-remarkable of-the work make not they-allow*
δὲ τοῖς θεωμένοις αὐτῶν τινι ἐμφιλοχωρεῖν ἐπὶ πολὺ
*and to-those beholding on-them some to-linger for long*
τὴν ὄψιν, ἀλλὰ μεθέλκει τὸν ὀφθαλμὸν ἕκαστον, καὶ
*the gaze but draws-over the eye each and*
μεταβιβάζει ῥᾷστα ἐφ᾽ ἑαυτό.
*moves most-easily to itself*

ἀγχίστροφός τε ἡ τῆς θέας μεταβολὴ ἐς ἀεὶ γίνεται, 48
*quick-turning and the of-the view change for ever happens*
ἀπολέξασθαι τοῦ ἐσορῶντος οὐδαμῇ ἔχοντος ὅ τι ἄν
*to-choose of-the beholder in-no-way being-able what — —*
ποτε ἀγασθείη μᾶλλον τῶν ἄλλων ἁπάντων.
*ever he-might-admire more than-the others all*
ἀλλὰ καὶ ὡς ἀποσκοποῦντες πανταχόσε τὸν νοῦν, τάς τε 49
*but even so looking-about everywhere the mind the and*
ὀφρῦς ἐπὶ πᾶσι συννενευκότες, οὐχ οἷοί τέ εἰσι ξυνεῖναι τῆς
*brows at all-things having-knitted not able — are to-understand the*
τέχνης, ἀλλ᾽ ἀπαλλάσσονται ἀεὶ ἐνθένδε καταπεπληγμένοι
*art but they-depart always thence struck-dumb*
τῇ ἐς τὴν ὄψιν ἀμηχανίᾳ. ταῦτα μὲν τῇδέ πη ἔχει.
*by-the toward the sight helplessness these(-things) indeed thus somehow stand*
Μηχαναῖς δὲ πολλαῖς βασιλεύς τε Ἰουστινιανὸς καὶ 50
*by-devices and many emperor both Justinian and*
Ἀνθέμιος ὁ μηχανοποιὸς σὺν τῷ Ἰσιδώρῳ οὕτω δὴ
*Anthemius the engineer with — Isidore thus indeed*
μετεωριζομένην τὴν ἐκκλησίαν ἐν τῷ ἀσφαλεῖ διεπράξαντο
*raised-aloft the church in the safety brought-about*
εἶναι· ὥνπερ τὰς μὲν ἄλλας ἁπάσας ἐμοὶ εἰδέναι τε
*to-be of-which-very the indeed others all for-me to-know both*
ἄπορον καὶ λόγῳ φράσαι ἀμήχανον, μία δέ μοι μόνον
*impossible and in-speech to-tell impossible one but by-me only*
ἔν γε τῷ παρόντι γεγράψεται, ᾗ δύναιτ᾽ ἄν τις
*in at-least the present will-be-written by-which might — anyone*
σύμπασαν τοῦ ἔργου τεκμηριῶσαι τὴν δύναμιν.
*all of-the work to-prove the power*

51 ἔχει γὰρ ὧδε. οἱ λόφοι, ὥνπερ ἐπεμνήσθην ἀρτίως, οὐ
*it-is for thus the hills which I-mentioned just-now not*
κατὰ ταὐτὰ ταῖς ἄλλαις οἰκοδομίαις πεποίηνται, ἀλλὰ
*in-the same-way as-the other buildings have-been-made but*
τρόπῳ τοιῷδε.
*in-manner such*

52 λίθων ἐπιβολὴ ἐν τετραγώνῳ διαπεπόνηται, σκληρῶν
*of-stones a-course in square has-been-worked hard*
μὲν φύσιν, ἐργασίαν δὲ λείων· ἐκτομὴν δέ, εἰ μὲν τὰ
*indeed by-nature in-workmanship but smooth cutting and if indeed the*
προὔχοντα ποιεῖσθαι τῶν τοῦ λόφου πλευρῶν μέλλοιεν,
*projecting to-make of-the of-the hill sides they-were-about*
ἐγγωνίων, εἰ δὲ τὴν μεταξὺ κεκλήρωνται χώραν, ἐν
*angular if but the between have-been-allotted space in*
τετραπλεύρῳ γεγενημένων.
*rectangle made*

53 συνήρμοσε δὲ αὐτοὺς οὐ τίτανος, ἥνπερ ἄσβεστον
*fitted and them not lime which-indeed unslaked*
ὀνομάζουσιν, οὐκ ἄσφαλτος, ἡ Σεμιράμιδος ἐν Βαβυλῶνι
*they-name not asphalt the of-Semiramis in Babylon*
φιλοτιμία, οὐκ ἄλλο τοιοῦτο οὐδέν, ἀλλὰ μόλυβος ἐς τέλμα
*pride not other such nothing but lead into mortar*
χυθείς, καὶ μεταξὺ πανταχόσε χωρήσας, τῶν τε λίθων
*poured and between everywhere having-gone of-the both stones*
τῇ ἁρμονίᾳ ἐντετηκὼς καὶ συνδέων ἀλλήλοις αὐτούς.
*into-the joining having-melted and binding to-each-other them*

54 τοῦτο μὲν οὖν ταύτῃ ἐξείργασται. ἐπὶ τὰ λειπόμενα δὲ τοῦ
*this indeed then thus has-been-wrought to the remaining-parts and of-the*
νεὼ ἴωμεν. χρυσῷ μὲν ἀκιβδήλῳ κατείληπται ἡ ὀροφὴ
*temple let-us-go with-gold indeed unalloyed has-been-covered the ceiling*

πᾶσα, κεραννῦσα τὸν κόμπον τῷ κάλλει, νικᾷ μέντοι
*all mingling the grandeur with-the beauty prevails however*
ἡ ἐκ τῶν λίθων αὐγὴ ἀνταστράπτουσα τῷ χρυσῷ.
*the from the stones radiance flashing-back to-the gold*
στοαί τέ εἰσιν ἑκατέρωθι δύο, οἰκοδομίαν μὲν τοῦ νεὼ 55
*colonnades and are on-each-side two building indeed from-the temple*
οὐδεμίαν διειργόμεναι, ἀλλὰ καὶ μεῖζον αὐτοῦ ποιοῦσαι
*no separated but even greater its making*
τοῦ εὔρους τὸ μέτρον, καὶ τῷ μήκει μέχρι ἐς τὸ πέρας
*of-the breadth the measure and in-the length as-far-as to the end*
ξυνεξικνούμεναι, τὸ δέ γε ὕψος καταδεέστεραι.
*extending-together the and at-least height lower*
καὶ αὐταῖς ἥ τε ὀροφὴ θόλος καὶ ὁ χρυσὸς ἐγκαλλώπισμα. 56
*and to-them the both ceiling dome and the gold ornament*
ταύταιν δὲ ταῖν στοαῖν ἀτέρα μὲν τοὺς ἄνδρας εὐχομένους
*of-these and the-two colonnades the-one indeed the men praying*
διακεκλήρωται, γυναιξὶ δὲ ταὐτὸ ποιουμέναις ἡ ἄλλη
*has-been-allotted to-women and the-same doing the other*
ἀνεῖται.
*is-given-over*
παραλλὰξ δὲ οὐδὲν ἔχουσιν, οὐδὲ διαφέρουσι δήπου 57
*difference and nothing they-have nor differ surely*
ἀλλήλαιν, ἀλλὰ καὶ τὸ ἴσον αὐταῖν τῷ ἱερῷ ἐς
*from-each-other but also the equality their to-the sanctuary into*
κάλλος διήκει καὶ ὡραΐζει τὸ ἐμφερές.
*beauty reaches and adorns the similarity*
τίς ἂν τῶν ὑπερῴων τῆς γυναικωνίτιδος ἑρμηνεὺς γένοιτο, 58
*who — of-the upper-stories of-the women's-quarter interpreter could-become*
ἢ τάς τε παμπληθεῖς διηγοῖτο στοὰς καὶ τὰς περιστύλους
*or the both very-numerous could-describe colonnades and the colonnaded*
αὐλάς, αἷς ὁ νεὼς περιβέβληται;
*courts with-which the temple has-been-surrounded*

59 τίς δὲ τῶν τε κιόνων καὶ λίθων διαριθμήσαιτο τὴν
*who and of-the both columns and stones could-count-up the*
εὐπρέπειαν, οἷς τὸ ἱερὸν κεκαλλώπισται; λειμῶνί τις
*comeliness with-which the sanctuary has-been-beautified on-a-meadow one*
ἂν ἐντετυχηκέναι δόξειεν ὡραίῳ τὸ ἄνθος.
*— to-have-come-upon would-think in-bloom the flower*
60 θαυμάσειε γὰρ εἰκότως τῶν μὲν τὸ ἁλουργόν, τῶν
*he-would-marvel for fittingly of-the-ones indeed the purple of-the-others*
δὲ τὸ χλοάζον, καὶ οἷς τὸ φοινικοῦν ἐπανθεῖ καὶ ὧν τὸ
*but the green and in-which the crimson blooms and of-which the*
λευκὸν ἀπαστράπτει, ἔτι μέντοι καὶ οὓς ταῖς ἐναντιωτάταις
*white flashes still however also which with-the most-contrary*
ποικίλλει χροιαῖς ὥσπερ τις ζωγράφος ἡ φύσις.
*varies colors as some painter the nature*
61 ὁπηνίκα δέ τις εὐξόμενος ἐς αὐτὸ ἴοι, ξυνίησι μὲν εὐθὺς
*whenever and anyone going-to-pray into it should-go he-perceives indeed at-once*
ὡς οὐκ ἀνθρωπείᾳ δυνάμει ἢ τέχνῃ, ἀλλὰ θεοῦ ῥοπῇ
*that not by-human power or art but of-God by-inclination*
τὸ ἔργον τοῦτο ἀποτετόρνευται· ὁ νοῦς δέ οἱ πρὸς τὸν
*the work this has-been-fashioned the mind and to-him toward —*
θεὸν ἐπαιρόμενος ἀεροβατεῖ, οὐ μακράν που ἡγούμενος
*God being-lifted walks-the-air not far somewhere thinking*
αὐτὸν εἶναι, ἀλλ᾽ ἐμφιλοχωρεῖν μάλιστα οἷς αὐτὸς εἵλετο.
*him to-be but to-love-to-dwell most in-what he-himself chose*
62 καὶ τοῦτο οὐ τὴν πρώτην μόνον ἰδόντι ξυμβαίνει,
*and this not the first-time only to-the-one-having-seen happens*
ἀλλὰ διηνεκὲς ἑκάστῳ ταὐτὸ τοῦτο δοκεῖ, ὥσπερ ἐνταῦθα
*but continually to-each the-same this seems as-if there*
τῆς ὄψεως ἀρχομένης.
*the sight beginning*

τούτου κόρον οὐδεὶς τοῦ θεάματος ἔλαβε πώποτε, ἀλλὰ 63
*of-this satiety no-one of-the spectacle took ever but*
παρόντες μὲν τῷ ἱερῷ ἄνθρωποι τοῖς ὁρωμένοις
*present indeed in-the sanctuary men at-the-things seen*
γεγήθασιν, ἀπιόντες δὲ τοῖς ὑπὲρ αὐτοῦ διαλόγοις
*have-rejoiced departing and in-the about it conversations*
ἀποσεμνύνονται.
*they-pride-themselves*
ἔτι μέντοι τῶν κειμηλίων τοῦ νεὼ τοῦδε τά τε χρυσώματα 64
*still however of-the treasures of-the temple this the both gold-work*
καὶ τὰ ἐν ἀργύρῳ καὶ λίθοις ἐντίμοις ἅπαντα μὲν
*and the-things in silver and stones precious all indeed*
φράσαι ἀκριβολογουμένῳ ἀμήχανον, ἅπερ Ἰουστινιανὸς
*to-tell for-one-being-exact impossible which Justinian*
βασιλεὺς τῇδε ἀνέθηκεν. ἑνὶ δὲ μόνῳ τεκμηριοῦσθαι τοῖς
*emperor here dedicated by-one but only to-infer to-those*
τάδε ἀναλεγομένοις ἐφίημι.
*these(-things) reading I-allow*
ὁ γὰρ τοῦ ἱεροῦ τὰ μάλιστα χῶρος ἀβέβηλος καὶ 65
*the for of-the sanctuary the most place unprofaned and*
μόνοις ἱερεῦσι βατός, ὅνπερ καλοῦσι θυσιαστήριον, λιτρῶν
*for-alone priests accessible which-very they-call altar of-pounds*
ἀργύρου μυριάδας ἐπιφέρεται τέτταρας.
*of-silver tens-of-thousands bears four*
Τὰ μὲν οὖν τῆς Κωνσταντινουπόλεως ἐκκλησίας, 66
*the-things indeed then — of-Constantinople church*
ἥνπερ μεγάλην καλεῖν νενομίκασι, συνελόντι
*which-very great to-call they-have-been-accustomed for-one-summing-up*
τε καὶ ἄκρῳ δακτύλῳ διαριθμησαμένῳ εἰπεῖν, λόγῳ τε
*both and with-tip finger counting-up to-say in-speech and*

βραχυτάτῳ τὰ τῶν πραγμάτων ἀξιολογώτατα φράσαι,
*briefest the of-the things most-noteworthy to-tell*
τῇδε Ἰουστινιανῷ δεδημιούργηται βασιλεῖ.
*thus by-Justinian have-been-built emperor*

67 οὐ χρήμασι δὲ αὐτὴν ὁ βασιλεὺς ἐδείματο μόνον, ἀλλὰ
*not with-money and it the emperor built only but*
καὶ πονουμένῃ τῇ διανοίᾳ καὶ τῇ ἄλλῃ τῆς ψυχῆς
*also toiling with-the mind and with-the other of-the soul*
ἀρετῇ, ὥσπερ ἐγὼ αὐτίκα δηλώσω.
*virtue as I at-once will-show*

68 τῶν ἀψίδων, ὧνπερ ἐπεμνήσθην ἀρτίως, (λώρους δὲ
*of-the arches which I-mentioned just-now lori and*
αὐτὰς οἱ μηχανοποιοὶ ἐπικαλοῦσι) μία τις, ἣ πρὸς
*them the engineers call one some which toward*
ἀνίσχοντα ἥλιόν ἐστιν, ἐπανειστήκει μὲν ἑκατέρωθεν ἤδη,
*rising sun is had-risen indeed on-each-side already*
οὔπω δὲ ὅλη τὸ μέσον συνετετέλεστο, ἀλλ᾽ ἔμενεν ἔτι.
*not-yet but whole the middle had-been-completed but it-remained still*

69 οἱ δὲ πεσσοί, ὧν δὴ ὕπερθεν ἡ οἰκοδομία ἐγένετο,
*the and piers of-which indeed above the building was*
τῶν ἐγκειμένων σφίσιν οὐκ ἐνεγκόντες τὸ μέγεθος,
*of-the lying-on them not having-borne the weight*
ἀμηγέπη ἐξαπιναίως ἀπορρηγνύμενοι, οὐκ ἐς μακρὰν
*somehow suddenly breaking-apart not to long*
διαλυθησομένοις ἐῴκεσαν.
*about-to-be-dissolved they-seemed*

70 οἱ μὲν οὖν ἀμφί τε Ἀνθέμιον καὶ Ἰσίδωρον τοῖς
*those indeed then about both Anthemius and Isidore at-the-things*
συμπεπτωκόσι περίφοβοι ὄντες ἐπὶ τὸν βασιλέα τὸ πρᾶγμα
*having-happened very-frightened being to the emperor the matter*
ἦγον, δυσέλπιδες ἐπὶ τῇ τέχνῃ γεγενημένοι.
*brought despairing about the art having-become*

αὐτίκα δὲ ὁ βασιλεύς, ὅτῳ μέν ποτε ἠγμένος οὐκ οἶδα, 71
*at-once and the emperor by-what indeed ever led not I-know*
θεῷ δέ, οἶμαι (οὐ γάρ ἐστι μηχανικός) ἐς τὸ πέρας αὐτοῖς
*by-God and I-think not for he-is a-mechanic to the end for-them*
περιελίξαι τὴν ἀψῖδα ταύτην ἐπήγγελλεν. αὐτὴ γάρ, ἔφη,
*to-turn-round the arch this enjoined it for he-said*
ἐφ' ἑαυτῆς ἀνεχομένη τῶν ἔνερθεν πεσσῶν οὐκέτι δεήσει.
*on itself held-up of-the below piers no-longer will-need*
καὶ εἰ μὲν ὁ λόγος ἀμάρτυρος ἦν, εὖ οἶδα ὅτι κόλαξ 72
*and if indeed the account unwitnessed were well I-know that flatterer*
τε ἂν ἔδοξεν εἶναι καὶ ἄπιστος ὅλως, ἐπεὶ δὲ
*both — would-have-seemed to-be and untrustworthy wholly since but*
μάρτυρες πάρεισι τῶν τηνικάδε πεπραγμένων πολλοί,
*witnesses are-present of-the-things then done many*
οὐκ ὀκνητέα ἡμῖν ἐπὶ τὰ τοῦ λόγου λειπόμενά ἐστιν.
*not must-hesitate for-us to the of-the account remaining-parts it-is*
οἱ μὲν οὖν τεχνῖται τὰ ἐπιτεταγμένα ἐποίουν, ἡ δὲ 73
*the indeed then craftsmen the-things enjoined did the and*
ἀψὶς ἐπ' ἀσφαλοῦς ἠώρητο πᾶσα, ἐπισφραγίζουσα τῇ
*arch in safety hung whole sealing by-the*
πείρᾳ τὴν τῆς ἐννοίας ἀλήθειαν.
*trial the of-the thought truth*
τοῦτο μὲν οὖν ταύτῃ ἐξείργασται, κατὰ δὲ τὰς ἄλλας 74
*this indeed then thus has-been-wrought at and the other*
ἀψῖδας αἵ τε πρὸς μεσημβρίαν τετραμμέναι εἰσὶ καὶ
*arches which both toward south turned are and*
βορρᾶν ἄνεμον, τοιόνδε ξυνηνέχθη γενέσθαι.
*north wind such befell to-come-about*
οἱ μὲν λῶροι καλούμενοι τοῦ νεὼ τῇ οἰκοδομίᾳ 75
*the indeed lori called of-the temple by-the building*
ἐξωγκωμένοι ἠώρηντο, βαρυνόμενα δὲ αὐτοῖς ἐπεπονήκει
*swollen hung weighed-down and by-them had-labored*

τὰ ἔνερθεν πάντα, κίονές τε οἱ τῇδε ὄντες χάλικας
*the-things below all columns and those there being flakes*
μικροὺς ὥσπερ ἀποξυσθέντες ἀφίεσαν.
*small as-if scraped-off let-fall*

76 καὶ αὖθις μὲν ἄθυμοι τοῖς συμπεπτωκόσιν οἱ μηχανικοὶ
*and again indeed despondent at-the-things having-happened the engineers*
γεγενημένοι τῷ βασιλεῖ τὰ σφίσι παρόντα ἐσήγγελλον.
*having-become to-the emperor the-things to-them present reported*

77 αὖθις δὲ ὁ βασιλεὺς ἀντετεχνήσατο τάδε. τούτων
*again and the emperor contrived-in-turn these(-things) of-these*
δὴ τῶν πεπονηκότων τὰ ἄκρα ὅσα τῶν ἀψίδων
*indeed the having-labored the tops as-much-as the arches*
ἐπέψαυε, διελεῖν μὲν ἐν τῷ παραυτίκα ἐκέλευσεν, ἐντιθέναι
*touched to-remove indeed in the immediately he-ordered to-put-in*
δὲ πολλῷ ὕστερον, ἐπειδὰν τὸ τῆς οἰκοδομίας ὑγρὸν
*but much later when the of-the building moisture*
ἀπολωφήσειεν αὐτοῖς μάλιστα.
*should-abate from-them most*

78 καὶ οἱ μὲν κατὰ ταῦτα ἐποίουν· ἡ δὲ κτίσις
*and they indeed according-to these(-things) did the and building*
διαγέγονε τὸ λοιπὸν ἐν ἀσφαλεῖ οὖσα. φέρεται δέ τι
*has-continued for-the rest in safety being carries and some*
μαρτύριον ὁ βασιλεὺς τοῦ ἔργου τοιόνδε.
*testimony the emperor of-the work such*

*Before the Senate house lies the Augustaeum, where seven courses of stone rise in steps to a column of fitted stones cased in bronze. On it stands a bronze horse facing east, and on the horse a colossal bronze statue of the emperor dressed as Achilles, holding a globe with a cross in his left hand and stretching out his right to bid the barbarians of the East stay at home. Justinian rebuilt the church of Irene beside Hagia Sophia, burned with it, second only to it in the city. He rebuilt and enlarged Sampson's hostel for the destitute sick, which the rioters had also burned, and with Theodora founded two more opposite it. His other churches are too many to list.*

Ἀγορά τις πρὸ τοῦ βουλευτηρίου ἐτύγχανεν οὖσα· 1
*a-market a-certain before the council-house happened being*
καλοῦσι δὲ Αὐγουσταῖον τὴν ἀγορὰν οἱ Βυζάντιοι. ἐνταῦθα
*call and Augustaeum the market the Byzantines there*
ξυνθῆκαι λίθων οὐχ ἧσσον ἢ ἑπτὰ ἐν τετραγώνῳ
*courses of-stones not less than seven in square*
πεποίηνται, κατὰ μὲν ἀπόβασιν ξυγκείμεναι πᾶσαι,
*have-been-made in indeed step-down composed all*
τοσοῦτον δὲ ἑκάστη τῆς ἔνερθεν οὔσης ἐλασσουμένη καὶ
*so-much and each than-the below being diminishing and*
ἀποδέουσα, ὥστε δὴ τῶν λίθων ἕκαστον τῇ ἐμβολῇ
*falling-short that indeed of-the stones each by-the setting-in*
προὔχοντα βαθμὸν γεγονέναι τῶν τε ἀνθρώπων τοὺς ἐκείνῃ
*projecting step to-have-become of-the and men those there*
ἀγειρομένους ἐπ' αὐτῶν ὥσπερ ἐπὶ βάθρων καθῆσθαι.
*gathering on them as on benches to-sit*
ἐν δὲ τῇ τῶν λίθων ὑπερβολῇ κίων ἐπανέστηκεν ἐξαίσιον 2
*in and the of-the stones top a-column has-risen extraordinary*
ὅσον, οὐ μονοειδὴς μέντοι, ἀλλὰ λίθοις ἐν περιδρόμῳ
*as-much not monolithic however but of-stones in circuit*

εὐμεγέθεσι σύνθετος, ἐγγωνίοις μὲν τῇ ἐντομῇ οὖσιν, ἐς
*very-large composed angular indeed in-the cutting being into*
δὲ ἀλλήλους ἐμπειρίᾳ τῶν λιθοτόμων ἐναρμοσθεῖσι.
*and each-other by-skill of-the stonecutters fitted*
3 χαλκὸς δὲ ἄριστος ἔν τε πίναξι καὶ στεφάνοις διαχυθεὶς
*bronze and finest in both plates and wreaths poured-round*
περιβάλλει πανταχόθι τοὺς λίθους, ἐν μὲν τῷ βεβαίῳ
*covers everywhere the stones in indeed the firmness*
συνδέων, ἐν κόσμῳ δὲ αὐτοὺς συγκαλύπτων, καὶ τά
*binding in adornment and them covering and the-things*
τε ἄλλα σχεδόν τι πάντα καὶ διαφερόντως τά τε ἄνω
*both other almost — all and exceptionally the-parts both above*
καὶ τὰ κάτω ἐς τοῦ κίονος τὸν τύπον ἀπομιμούμενος.
*and the-parts below to of-the column the form imitating*
4 ὁ δὲ χαλκὸς οὗτος τὸ μὲν χρῶμά ἐστι χρυσοῦ ἀκιβδήλου
*the and bronze this the indeed color is than-gold unalloyed*
πρᾳότερος, τὴν δὲ ἀξίαν οὐ παρὰ πολὺ ἀποδέων
*milder the and value not by much falling-short*
ἰσοστάσιος ἀργύρῳ εἶναι.
*equal-in-weight to-silver to-be*
5 ἐν δὲ τοῦ κίονος κορυφῇ χαλκοῦς ἕστηκεν ὑπερμεγέθης
*on and of-the column top bronze stands a-huge*
ἵππος, τετραμμένος πρὸς ἕω, θέαμα λόγου πολλοῦ ἄξιον.
*horse turned toward east a-spectacle of-account much worthy*
ἔοικε δὲ βαδιουμένῳ καὶ τοῦ πρόσω λαμπρῶς ἐχομένῳ.
*it-resembles and one-about-to-walk and to-the forward brilliantly holding*
6 ποδῶν τῶν προσθίων ἀμέλει τὸν μὲν ἀριστερὸν μετεωρίζει,
*of-feet of-the fore of-course the indeed left it-raises*
ὡς ἐπιβησόμενος τῆς ἐπίπροσθεν γῆς, ὁ δὲ δὴ ἕτερος
*as going-to-step-on of-the in-front earth the but indeed other*
ἐπὶ τοῦ λίθου ἠρήρεισται, οὗ ὕπερθέν ἐστιν, ὡς τὴν
*on the stone is-planted of-which above it-is as the*

βάσιν ἐκδεξόμενος· τοὺς δὲ ὀπισθίους οὕτω ξυνάγει ὡς,
*step going-to-receive the and hind thus it-draws-together as*
ἐπειδὰν τὸ μὴ ἑστήξειν αὐτοῖς ἐπιβάλῃ, ἐν ἑτοίμῳ εἶεν.
*when the not to-stand to-them it-should-befall in readiness they-might-be*
τούτῳ δὴ τῷ ἵππῳ χαλκῇ ἐπιβέβηκε τοῦ βασιλέως 7
*on-this indeed the horse bronze has-mounted of-the emperor*
εἰκὼν κολοσσᾷ ἐμφερής. ἔσταλται δὲ Ἀχιλλεὺς ἡ εἰκών.
*image to-a-colossus like is-dressed and Achilles the image*
οὕτω γὰρ τὸ σχῆμα καλοῦσιν ὅπερ ἀμπέχεται. τάς τε 8
*thus for the dress they-call which it-wears the both*
γὰρ ἀρβύλας ὑποδέδεται καὶ τὰ σφυρά ἐστι κνημίδων
*for boots it-has-bound-on and the ankles are greaves*
χωρίς.
*without*
εἶτα ἡρωϊκῶς τεθωράκισται καὶ κράνος αὐτῷ τὴν κεφαλὴν 9
*then heroically it-is-breastplated and a-helmet on-it the head*
σκέπει δόξαν ὡς κατασείοιτο παρεχόμενον, αἴγλη τέ
*covers impression that it-is-nodding giving a-radiance and*
τις ἐνθένδε αὐτοῦ ἀπαστράπτει.
*some thence from-it flashes*
φαίη τις ἂν ποιητικῶς εἶναι τὸν ὀπωρινὸν ἐκεῖνον 10
*might-say anyone — poetically to-be the autumn that*
ἀστέρα. βλέπει δὲ πρὸς ἀνίσχοντά που τὸν ἥλιον, τὴν
*star it-looks and toward rising somewhere the sun the*
ἡνιόχησιν ἐπὶ Πέρσας, οἶμαι, ποιούμενος.
*driving against Persians I-think making*
καὶ φέρει μὲν χειρὶ τῇ λαιᾷ πόλον, παραδηλῶν ὁ πλάστης 11
*and it-carries indeed in-hand the left a-globe intimating the sculptor*
ὅτι γῆ τε αὐτῷ καὶ θάλασσα δεδούλωται πᾶσα, ἔχει δὲ
*that earth both to-him and sea has-been-enslaved all it-has and*
οὔτε ξίφος οὔτε δοράτιον οὔτε ἄλλο τῶν ὅπλων οὐδέν,
*neither sword nor spear nor other of-the arms any*

ἀλλὰ σταυρὸς αὐτῷ ἐπὶ τοῦ πόλου ἐπίκειται, δι᾽ οὗ δὴ
*but a-cross for-it on the globe lies through which indeed*
τήν τε βασιλείαν καὶ τὸ τοῦ πολέμου πεπόρισται κράτος.
*the both empire and the of-the war he-has-won might*
12 προτεινόμενος δὲ τὴν χεῖρα τὴν δεξιὰν ἐς τὰ
*stretching-out and the hand the right toward the-parts*
πρὸς ἀνίσχοντα ἥλιον καὶ τοὺς δακτύλους διαπετάσας
*toward rising sun and the fingers having-spread-wide*
ἐγκελεύεται τοῖς ἐκείνῃ βαρβάροις καθῆσθαι οἴκοι καὶ μὴ
*it-orders to-the there barbarians to-sit at-home and not*
πρόσω ἰέναι. ταῦτα μὲν οὖν ὧδέ πη ἔχει.
*forward to-go these(-things) indeed then thus somehow stand*
13 Ἐκκλησίᾳ δὲ τῇ μεγάλῃ ὅμορον οὖσαν καὶ
*to-church and the great bordering being and*
συγκαταφλεχθεῖσαν αὐτῇ πρότερον τὴν τῆς Εἰρήνης
*burned-together with-it formerly the of-the Peace*
ἐπώνυμον Ἰουστινιανὸς βασιλεὺς ὑπερμεγέθη ἐδείματο,
*named Justinian emperor very-great built*
ἱερῶν τῶν ἐν Βυζαντίῳ σχεδόν τι ἁπάντων, μετά
*of-sanctuaries of-those in Byzantium almost — all after*
γε τῆς Σοφίας τὸν νεών, οὐδενὸς δεύτερον.
*at-least of-the Wisdom the temple than-none second*
14 ἦν δέ τις μεταξὺ ταύταιν δὴ ταῖν ἐκκλησίαιν
*there-was and a-certain between these indeed the-two churches*
ξενών, ἀνθρώποις ἀνειμένος ἀπορουμένοις τε καὶ νοσοῦσι
*hostel for-men given-over being-destitute both and being-sick*
τὰ ἔσχατα, εἰ πρὸς τῇ οὐσίᾳ καὶ τὸ σῶμα νοσοῖεν.
*the uttermost if besides the property also the body they-should-be-sick*
15 τοῦτον ἀνήρ τις θεοσεβὴς ἐν τοῖς ἄνω χρόνοις ἐδείματο,
*this a-man a-certain God-fearing in the earlier times built*
Σαμψὼν ὄνομα. ἔμεινε δὲ οὐδὲ οὗτος τοῖς στασιώταις
*Sampson by-name remained but not-even this to-the partisans*

ἀνέπαφος, ἀλλὰ τῇ ἐκκλησίᾳ ἑκατέρᾳ συγκαταφλεχθεὶς
*untouched but with-the church each burned-together*
ἀπολώλει.
*it-had-perished*
Ἰουστινιανὸς δὲ αὐτὸν ἀνῳκοδομήσατο βασιλεύς, κάλλει 16
*Justinian and it rebuilt emperor in-beauty*
μὲν κατασκευῆς ἀξιώτερον, πλήθει δὲ οἰκιδίων παραπολὺ
*indeed of-construction more-valuable in-number and of-rooms by-far*
μείζω· προσόδῳ δὲ ἐπετείων δεδώρηται χρημάτων
*greater with-revenue and annual he-has-endowed of-money*
μεγάλων, ὅπως δὴ πλείοσιν ἐς ἀεὶ ταλαιπωρουμένοις
*great so-that indeed for-more for ever suffering*
ἀνθρώποις ἰῷτο τὰ πάθη.
*men he-might-heal the sufferings*
κόρον δὲ εἰς τὸν θεὸν τιμῆς ἢ πλησμονήν τινα ὡς 17
*satiety and toward — God of-honor or surfeit any as*
ἥκιστα ἔχων, δύο ξενῶνας ἑτέρους ἀπεναντίους αὐτῷ
*least having two hostels other opposite to-it*
ἔθετο ἐν ταῖς Ἰσιδώρου τε καὶ Ἀρκαδίου καλουμέναις
*he-placed in the of-Isidore both and of-Arcadius called*
οἰκίαις, τῆς βασιλίδος Θεοδώρας αὐτῷ τούτων δὴ τῶν
*houses the empress Theodora with-him these indeed the*
ἔργων ξυνεπιλαμβανομένης τὸ ἱερολατρεῖν.
*works sharing the worship*
τὰ δὲ δὴ ἄλλα ἱερὰ ξύμπαντα, ὅσα τῷ Χριστῷ 18
*the and indeed other sanctuaries all as-many-as — to-Christ*
ὁ βασιλεὺς οὗτος ἀνέθηκε, τοσαῦτα τὸ πλῆθος καὶ
*the emperor this dedicated so-many the number and*
τοιαῦτα τὸ μέγεθός ἐστιν, ὥστε λεπτολογεῖσθαι ἀμφ᾽
*such the size are that to-go-into-detail about*
αὐτοῖς ἀμήχανα εἶναι.
*them impossible to-be*

19 οὐ γὰρ ἂν οὐδὲ ὁ λόγος οὐδὲ ὁ πᾶς ἡμῖν αἰὼν
*not for — not-even the account nor the whole for-us age*
ἐξαρκέσοι κατάλογον πεποιημένοις ἀποστοματίσαι πρὸς
*would-suffice a-catalog having-made to-recite by*
ὄνομα τούτων δὴ ἕκαστον. ἄχρι τοῦδε ἡμῖν ἀποχρήσει.
*name of-these indeed each until here for-us it-will-suffice*

## III · THE CHURCHES OF THE MOTHER OF GOD

*Procopius begins with the churches of the Mother of God, since the emperor wishes it and the true order runs from God to his mother. At Blachernae, outside the wall by the sea, stands an oblong church carried on columns of Parian marble, built under Justin, whose reign Justinian directed. At the Spring, among cypresses, meadows, and a quiet spring, stands another, beyond description. The two guard the city at either end of the wall. He adds a church of the Mother of God at the Heraeum, a shrine to Saint Anne in the Deuteron, and another to the martyr Zoe. He pulled down the small, dark church of the archangel Michael that the patrician Senator had built and raised a large one of colored columns in its place.*

1 Ἀρκτέον δὲ ἀπὸ τῶν τῆς θεοτόκου Μαρίας νεῶν. τοῦτο
*one-must-begin and from the of-the God-bearer Mary temples this*
γὰρ καὶ αὐτὸ βασιλεῖ ἐξεπιστάμεθα βουλομένῳ εἶναι,
*for also itself to-the-emperor we-know wishing to-be*
καὶ διαφανῶς εἰσηγεῖται ὁ ἀληθὴς λόγος ὅτι δὴ ἐκ
*and plainly suggests the true reason that indeed from*
τοῦ θεοῦ ἐπὶ τὴν αὐτοῦ μητέρα ἰτέον.
*— God to the his mother one-must-go*

2 πολλὰς τοίνυν ἐκκλησίας Ἰουστινιανὸς βασιλεὺς τῇ
*many therefore churches Justinian emperor to-the*
θεοτόκῳ ἐδείματο πανταχόθι τῆς Ῥωμαίων ἀρχῆς οὕτω
*God-bearer built everywhere of-the of-Romans empire so*
δὴ μεγαλοπρεπεῖς καὶ παμμεγέθεις καὶ χρημάτων ὄγκῳ
*indeed magnificent and very-great and of-money with-mass*

ἐξεργασθείσας ὑπερφυεῖ, ὥστε, ἤν τις μίαν αὐτῶν
*wrought extraordinary that if anyone one of-them*
κατὰ μόνας θεᾠτο, εἰκάσειεν ἂν τοῦτο αὐτῷ μόνον
*by itself should-behold he-would-guess — this to-him alone*
εἰργάσθαι τὸ ἔργον καὶ περὶ τοῦτο ἠσχολημένον
*to-have-been-wrought the work and about this having-been-occupied*
ἅπαντα τῆς βασιλείας κατατρῖψαι τὸν χρόνον.
*all of-the reign to-have-spent the time*
ἀλλὰ νῦν, ὅπερ εἶπον, τὰ ἐπὶ Βυζαντίου ἱερά μοι 3
*but now as I-said the in Byzantium sanctuaries by-me*
γεγράψεται. τὸν μὲν οὖν ἕνα τῆς θεοτόκου νεὼν
*will-be-written the indeed then one of-the God-bearer temple*
ᾠκοδομήσατο πρὸ τοῦ περιβόλου ἐν χώρῳ καλουμένῳ
*he-built before the circuit-wall in place called*
Βλαχέρναις (αὐτῷ γὰρ λογιστέον καὶ τὰ Ἰουστίνῳ
*Blachernae to-him for must-be-reckoned also the-things by-Justin*
εἰργασμένα τῷ θείῳ, ἐπεὶ καὶ αὐτοῦ τὴν βασιλείαν κατ᾽
*done the uncle since also his the reign at*
ἐξουσίαν αὐτὸς διῳκεῖτο) ἐπιθαλάσσιος δὲ ὁ νεώς ἐστιν,
*will he-himself administered by-the-sea and the temple is*
ἱερώτατός τε καὶ σεμνὸς ἄγαν. ἐπιμήκης μέν, κατὰ
*most-holy both and august very oblong indeed in*
λόγον δὲ περιβεβλημένος τῷ μήκει εὖρος, τά τε
*proportion and encompassed with-the length breadth the-parts both*
ἄνω καὶ τὰ κάτω ἄλλῳ οὐδενὶ ἀνεχόμενος ὅτι μὴ
*above and the-parts below by-other nothing supported except —*
τμήμασι λίθου Παρίου ἐν κιόνων λόγῳ ἐνταῦθα ἑστῶσι.
*by-sections of-stone Parian in of-columns stead there standing*
καὶ τὰ μὲν ἄλλα τοῦ νεὼ μέρη κατ᾽ εὐθὺ ἑστᾶσιν οἱ 4
*and the indeed other of-the temple parts in straight-line stand the*
κίονες, κατὰ δὲ τὰ μέσα ὑποστέλλονται εἴσω.
*columns at but the middle they-are-drawn-back inward*

5 μάλιστα δὲ ἄν τις ἀγασθείη τοῦ ἱεροῦ τοῦδε εἴσω
*most and — anyone might-admire of-the sanctuary this inside*
γενόμενος τὸ μὲν ὑπέρογκον τοῦ σφαλεροῦ χωρὶς τεταγμένον
*having-come the indeed massive of-the danger without ordered*
ὁρῶν, τὸ δὲ μεγαλοπρεπὲς τοῦ ἀπειροκάλου ἐλεύθερον.
*seeing the and magnificent of-the vulgar free*
6 Ἕτερον δὲ ἱερὸν αὐτῇ ἐν χώρῳ καλουμένῳ πηγῇ ἀνέθηκεν.
*another and sanctuary to-her in place called Spring he-dedicated*
ἐνταῦθά ἐστι δάσος κυπαρίσσων ἀμφιλαφές, λειμὼν ἐν
*there is a-grove of-cypresses thick a-meadow in*
ἁπαλαῖς ταῖς ἀρούραις τεθηλὼς ἄνθεσι, παράδεισος
*soft the fields blooming with-flowers a-garden*
εὐφορῶν τὰ ὡραῖα, πηγὴ ἀψοφητὶ βλύζουσα γαληνὸν
*bearing-well the seasonable-things a-spring noiselessly gushing calm*
τὸ ὕδωρ καὶ πότιμον, ἱεροπρεπῆ ἐπιεικῶς πάντα.
*the water and drinkable befitting-a-sanctuary fittingly all*
7 ταῦτα μὲν ὁ ἀμφὶ τὸ τέμενος χῶρος· αὐτὸν δὲ τὸν
*these(-things) indeed the about the precinct place itself and the*
νεὼν οὐδὲ ὀνόμασιν ἐπαξίοις συλλαβεῖν ῥᾴδιον, οὐδὲ
*temple not-even with-names worthy to-comprehend easy nor*
διανοίᾳ σκιαγραφῆσαι, οὐδὲ διαψιθυρίσαι τῷ λόγῳ.
*in-thought to-sketch nor to-whisper in-the account*
8 τοσοῦτον δὲ μόνον εἰπεῖν ἀποχρήσει, ὡς τῶν ἱερῶν
*so-much and only to-say will-suffice that of-the sanctuaries*
κάλλει τε καὶ μεγέθει ὑπεραίρει τὰ πλεῖστα.
*in-beauty both and in-size it-surpasses the most*
9 ταῦτα δὲ ἄμφω τὰ ἱερὰ πρὸ τοῦ τῆς πόλεως πεποίηται
*these and both the sanctuaries before the of-the city have-been-made*
τείχους, τὸ μὲν ἀρχομένου παρὰ τὴν τῆς θαλάσσης
*wall the-one indeed beginning beside the of-the sea*
ἠϊόνα, τὸ δὲ ἄγχιστά πη τῶν χρυσῶν καλουμένων
*shore the-other and very-near somewhere to-the golden called*

πυλῶν, ἃς δὴ ἀμφὶ τὸ τοῦ ἐρύματος πέρας συμβαίνει
*gates which indeed about the of-the fortification end happen*
εἶναι, ὅπως δὴ ἄμφω ἀκαταγώνιστα φυλακτήρια τῷ
*to-be so-that indeed both invincible guards for-the*
περιβόλῳ τῆς πόλεως εἶεν.
*circuit-wall of-the city they-might-be*
ἔτι μέντοι κἀν τῷ Ἡραίῳ, ὅπερ Ἱερεῖον καλοῦσι τανῦν, 10
*still however also-in the Heraeum which-very Hiereum they-call now*
τῇ θεοτόκῳ νεὼν οὐκ εὐδιήγητον κατεστήσατο.
*to-the God-bearer temple not easy-to-describe he-set-up*
Ἐν χωρίῳ δὲ τῆς πόλεως, ὃ Δεύτερον ἐπικαλεῖται, 11
*in place and of-the city which Deuteron is-called*
ἱεροπρεπές τε καὶ ἀγαστὸν ὅλως ἀνέθηκεν ἕδος Ἄννῃ
*befitting-a-sanctuary both and admirable wholly he-dedicated a-shrine to-Anne*
ἁγίᾳ, ἣν τῆς μὲν θεοτόκου γεγονέναι μητέρα τινὲς
*holy whom of-the indeed God-bearer to-have-been mother some*
οἴονται, τοῦ δὲ Χριστοῦ τιτθήν.
*think — but of-Christ nurse*
ἄνθρωπος γὰρ ἦπερ ἐβούλετο γεγονὼς ὁ θεὸς καὶ 12
*man for as-indeed he-wished having-become — God also*
τριγονίας ἀνέχεται καὶ γενεαλογεῖται τὰ ἐκ μητρὸς
*great-grandparents endures and has-genealogy the-things from mother*
ἀνθρώπῳ ἴσα.
*to-man equal*
τούτου δὲ δὴ τοῦ νεὼ οὐ πολλῷ ἄποθεν ἀμφὶ τῆς 13
*of-this and indeed the temple not far from about of-the*
πόλεως ἀγυιὰν ἐσχάτην Ζώῃ μάρτυρι σεμνὸν ἐπιεικῶς
*city street last to-Zoe martyr august fittingly*
ἕδος πεποίηται.
*shrine has-been-made*

14 Τοῦ δὲ ἀρχαγγέλου Μιχαὴλ ἱερὸν εὗρεν ἐν Βυζαντίῳ
*of-the and archangel Michael sanctuary he-found in Byzantium*
βραχύ τε καὶ ἀφεγγὲς ἄγαν καὶ ὡς ἥκιστα τῷ ἀρχαγγέλῳ
*small both and lightless very and as least to-the archangel*
ἀνεῖσθαι πρέπον πρὸς Σενάτορός τινος τῶν πατρικίων
*to-be-dedicated fitting by Senator a-certain of-the patricians*
ἐν χρόνῳ γεγενημένων τῶν ἔμπροσθεν, κοιτωνίσκῳ οἰκίας
*in time having-been the earlier to-a-little-chamber of-a-house*
ἀτεχνῶς ἐμφερὲς οὐδὲ λίαν εὐδαίμονος.
*simply like not-even very prosperous*

15 διὸ δὴ καθεῖλε μὲν αὐτὸ ἐς τὸ ἔδαφος ἐκ τῶν
*wherefore indeed he-pulled-down indeed it to the ground from the*
θεμελίων, ὡς μή τι αὐτῷ τῆς προτέρας ἀκοσμίας
*foundations so-that not anything to-it of-the former unsightliness*
ἀπολειφθείη.
*might-be-left*

16 εὐμέγεθες δὲ τεκτηνάμενος κατὰ τὸν νῦν φαινόμενον
*very-large and having-built in the now appearing*
τρόπον, ἐς κάλλος μεταβιβάζει θαυμάσιον οἷον.
*manner into beauty he-transforms marvelous how*

17 ἐν τετραπλεύρῳ μὲν γὰρ τὸ τέμενός ἐστιν, οὐ κατὰ
*in rectangle indeed for the precinct is not by*
πολὺ δὲ φαίνεται προέχον τοῦ εὔρους τὸ μῆκος.
*much and appears exceeding than-the breadth the length*
τῆς δὲ πλευρᾶς ἣ πρὸς ἀνίσχοντα ἥλιον τέτραπται
*of-the and side which toward rising sun has-been-turned*
κατὰ μὲν τὰ ἄκρα παχὺς ἑκατέρωθεν τοῖχος λίθοις ἐν
*at indeed the ends thick on-each-side a-wall of-stones in*
πλήθει ξυγκειμένοις ἀποτετόρνευται, κατὰ δὲ τὰ μέσα ἐξ
*multitude composed has-been-fashioned at but the middle by*
ὑπαγωγῆς ἀποχωρῶν ὑποστέλλεται.
*recession withdrawing it-is-drawn-back*

καὶ αὐτῆς ἐφ᾽ ἑκάτερα μὲν ἀνέχουσι τὸν νεὼν κίονες 18
*and of-it on both-sides indeed hold-up the temple columns*
χροιαῖς τισι ποικιλλόμενοι φύσει. ὁ δὲ καταντικρὺ πρὸς
*with-colors some varied by-nature the but opposite toward*
δύοντά που τὸν ἥλιον τοῖχος ταῖς εἰς τὸν νεὼν
*setting somewhere the sun wall by-the into the temple*
εἰσαγούσαις διῄρηται θύραις.
*leading is-divided doors*

## IV · SERGIUS AND BACCHUS AND THE HOLY APOSTLES

*Beside the palace of Hormisdas, his house before he ruled, Justinian built a church of Peter and Paul and beside it one of Sergius and Bacchus, twin churches equal in splendor, one long and one with its columns in a half-circle, sharing a porch and a court. He pulled down Constantine's old church of the Holy Apostles and rebuilt it as a cross with a central dome on the plan of Hagia Sophia. The rebuilding uncovered three wooden coffins inscribed with the names of the apostles Andrew, Luke, and Timothy, whom the emperor and the Christians reburied with a procession. Procopius adds the church of Acacius, white as snow, and the churches of Plato, Mocius, Thyrsus, Theodore, Thecla, Theodota, and Agathonicus, most built while Justin reigned.*

Ἐς δὲ τοῦ Χριστοῦ ἀποστόλους τὸ πιστὸν ἐπιδέδεικται 1
*toward and — of-Christ apostles the faithfulness has-been-shown*
τρόπῳ τοιῷδε. πρῶτα μὲν Πέτρῳ καὶ Παύλῳ νεὼν οὐ
*in-manner such first indeed to-Peter and to-Paul a-temple not*
πρότερον ὄντα ἐν Βυζαντίῳ ἐδείματο παρὰ τὴν βασιλέως
*before being in Byzantium he-built beside the of-emperor*
αὐλήν, ἣ Ὁρμίσδου τὸ παλαιὸν ἐπώνυμος ἦν.
*court which of-Hormisdas the old-time named was*

2 ταύτην γὰρ ἰδίαν αὐτοῦ οἰκίαν παλλάντιον εἶναι δοκεῖν
*this for own his house palace to-be to-seem*
τε καὶ πρέπειν τῷ μεγαλοπρεπεῖ τῆς οἰκοδομίας
*both and to-befit by-the magnificence of-the building*
διαπραξάμενος, ἐπειδὴ αὐτοκράτωρ κατέστη Ῥωμαίοις,
*having-brought-about when autocrat he-was-established for-Romans*
τοῖς ἄλλοις βασιλείοις ἐνῆψεν.
*to-the other palaces he-joined*

3 οὗ δὴ καὶ τέμενος ἄλλο ἁγίοις ἐπιφανέσι Σεργίῳ τε
*where indeed also precinct another to-saints illustrious Sergius both*
καὶ Βάκχῳ ἐδείματο, καὶ ἔπειτα καὶ τέμενος ἄλλο ἐκ
*and Bacchus he-built and then also precinct another from*
πλαγίου τούτῳ παρακείμενον.
*side to-this lying-beside*

4 ἄμφω δὲ τούτω τὼ νεὼ οὐκ ἀντιπροσώπω, ἀλλ' ἐκ
*both and these the-two temples not facing but from*
πλαγίας ἀλλήλοιν ἑστῶσι, συνημμένοι τε καὶ ἀλλήλοις
*side each-other stand joined both and with-each-other*
ἐνάμιλλοι ὄντες, καὶ τὰς εἰσόδους ἐπικοινούμενοι, καὶ
*rivaling being and the entrances sharing and*
ἴσα ἀλλήλοις τά τε ἄλλα πάντα καὶ τὰ κράσπεδα
*equal to-each-other the-things both other all and the borders*
περιβεβλημένοι, καὶ οὐδέτερος οὔτε κάλλους πέρι οὔτε
*having-been-surrounded and neither-one either of-beauty about nor*
μεγέθους οὔτε ἄλλου οὐδενὸς πλεονεκτῶν ἢ ἐλασσούμενος
*of-size nor of-other anything exceeding or falling-short*
δείκνυται.
*is-shown*

5 ὁμοίως μὲν γὰρ ἑκάτερος τῇ αἴγλῃ τῶν λίθων
*likewise indeed for each by-the radiance of-the stones*
ὑπεραστράπτει τὸν ἥλιον, ὁμοίως δὲ χρυσοῦ περιουσίᾳ

πανταχόθι κατακορής ἐστι καὶ κατακομᾷ τοῖς ἀναθήμασιν.
*everywhere sated it-is and is-covered with-the offerings*
ἑνὶ μέντοι διαλλάσσουσι μόνῳ.
*in-one however they-differ only*
τὸ μὲν γὰρ μῆκος αὐτοῖν τῷ μὲν κατ᾽ εὐθὺ 6
*the indeed for length of-the-two for-the-one indeed in straight-line*
διαπεπόνηται, τῷ δὲ οἱ κίονες ἐν ἡμικύκλῳ ἐκ τοῦ
*has-been-worked for-the-other but the columns in semicircle from the*
ἐπιπλεῖστον ἑστᾶσιν.
*for-most stand*
ἔστι δὲ αὐτοῖς μία μὲν ἡ ἐπὶ τῶν προθύρων στοὰ 7
*there-is and to-them one indeed the at the porch colonnade*
ἐπὶ τοῦ νάρθηκος τῷ περιμήκης εἶναι ὠνομασμένη. ἐπὶ
*from the narthex by-the oblong to-be named in*
κοινῆς δὲ προπύλαια πάντα, ἥ τε αὐλὴ καὶ μέσαυλοι
*common and propylaea all the both court and mid-court*
θύραι καὶ τὸ προσήκειν τοῖς βασιλείοις.
*doors and the to-belong to-the palaces*
οὕτω δὲ ἄμφω ἀγαστὰ τὰ ἱερὰ τάδε ξυμβαίνει εἶναι 8
*thus and both admirable the sanctuaries these happen to-be*
ὥστε διαφανῶς τῆς τε πόλεως ὅλης καὶ οὐχ ἥκιστα τῶν
*that plainly of-the both city whole and not least of-the*
βασιλείων ἐγκαλλώπισμα τυγχάνει ὄντα.
*palaces ornament they-happen being*
Μετὰ δὲ καὶ τοὺς ἀποστόλους ἅπαντας ὑπερφυῶς σέβων 9
*afterward and also the apostles all extraordinarily revering*
ἐποίει τοιάδε. ἦν τις ἐν Βυζαντίῳ ἐκ παλαιοῦ τοῖς
*he-did such(-things) there-was a-certain in Byzantium from old to-the*
ἀποστόλοις νεὼς ἅπασι· μήκει δὲ χρόνου κατασεισθεὶς
*apostles temple all by-length and of-time shaken*
ἤδη καὶ πρὸς τὸ μηκέτι ἑστήξειν γεγονὼς ὕποπτος.
*already and to the no-longer to-stand having-become suspect*

10 τοῦτον περιελὼν Ἰουστινιανὸς βασιλεὺς ὅλον οὐχ ὅσον
*this having-pulled-down Justinian emperor whole not only*
ἀνανεώσασθαι διὰ σπουδῆς ἔσχεν, ἀλλὰ καὶ μεγέθους καὶ
*to-renew in earnestness he-had but also of-size and*
κάλλους πέρι ἀξιώτερον καταστήσασθαι.
*of-beauty about more-worthy to-make*

11 ἐπετέλεσε δὲ τὸ σπούδασμα τρόπῳ τοιῷδε. εὐθεῖαι
*he-accomplished and the zeal in-manner such straight-lines*
συνημμέναι κατὰ μέσον ἀλλήλαιν ἐπὶ σταυροῦ σχήματος
*joined at middle each-other on of-cross shape*
πεποίηνται δύο, ἡ μὲν ὀρθὴ πρὸς ἀνίσχοντά τε καὶ
*have-been-made two the indeed upright toward rising both and*
δύοντα τὸν ἥλιον οὖσα, ἐγκαρσία δὲ ἡ ἑτέρα πρός τε
*setting the sun being transverse and the other toward both*
ἄρκτον τετραμμένη καὶ ἄνεμον νότον.
*north turned and wind south*

12 τοίχοις μὲν ἐκ περιφεροῦς ἀποπεφραγμέναι τὰ ἔξωθεν,
*by-walls indeed from round enclosed the-parts outside*
ἐντὸς δὲ περιβαλλόμεναι κίοσιν ἄνω τε καὶ κάτω ἑστῶσι·
*within and surrounded with-columns above both and below standing*
κατὰ δὲ ταῖν δυοῖν εὐθείαιν τὸ ζεῦγμα, εἴη δ' ἂν
*at and the two straight-lines the joining it-would-be and —*
κατὰ μέσον αὐταῖν μάλιστα, τοῖς οὐκ ὀργιάζουσιν ἄβατος
*at middle of-the-two most to-those not initiated inaccessible*
τετέλεσται χῶρος, ὅνπερ ἱερατεῖον, ὡς τὸ εἰκός, ὀνομάζουσι.
*has-been-made a-place which-very sanctuary as the likely they-name*

13 καὶ αὐτοῦ αἱ μὲν ἐφ' ἑκάτερα πλευραὶ τῆς ἐν τῷ ἐγκαρσίῳ
*and of-it the indeed on both-sides arms of-the in the transverse*
κειμένης εὐθείας ἴσαι ἀλλήλαις τυγχάνουσιν οὖσαι, τῆς μέντοι
*lying line equal to-each-other happen being of-the however*

ὀρθῆς ἡ πρὸς δύοντα ἥλιον ἐς τόσον τῆς ἑτέρας πεποίηται
*upright the toward setting sun into so-much than-the other has-been-made*
μείζων ὅσον ἀπεργάσασθαι τὸ τοῦ σταυροῦ σχῆμα.
*greater as-much-as to-produce the of-the cross shape*
τῆς δὲ ὀροφῆς τὰ μὲν τοῦ ἱερατείου καλουμένου 14
*of-the and roof the-parts indeed of-the sanctuary called*
καθύπερθεν τῷ τῆς Σοφίας ἱερῷ κατά γε τὰ μέσα
*above to-the of-the Wisdom sanctuary at at-least the middle*
ἐμφερῆ εἴργασται, πλήν γε δὴ ὅτι ταῦτα ἐκείνων
*like have-been-wrought except at-least indeed that these than-those*
ἐλασσοῦσθαι μεγέθει συμβαίνει.
*to-be-less in-size it-happens*
αἵ τε γὰρ ἀψῖδες τέσσαρες οὖσαι κατὰ τὸν αὐτὸν ἠώρηνταί 15
*the both for arches four being in the same hang*
τε καὶ συνδέονται ἀλλήλαις τρόπον καὶ τὸ κυκλοτερὲς
*both and are-bound to-each-other manner and the circular*
ὑπερανεστηκὸς κατὰ τὰς θυρίδας διῄρηται, τό τε σφαιροειδὲς
*rising-above at the windows is-divided the both spherical*
κυρτούμενον ὕπερθεν μετεωρίζεσθαί που δοκεῖ καὶ οὐκ ἐπὶ
*being-curved above to-be-raised-aloft somehow seems and not on*
στερρᾶς τῆς οἰκοδομίας ἑστάναι, καίπερ ἀσφαλείας εὖ ἔχον.
*solid the building to-stand although of-safety well being*
τὸ μὲν οὖν τῆς ὀροφῆς μέσον τῇδε πεποίηται· κατὰ 16
*the indeed then of-the roof middle thus has-been-made at*
δὲ τὰς πλευρὰς τέσσαρας οὔσας, ᾗπέρ μοι εἴρηται,
*and the arms four being as-indeed by-me has-been-said*
κατὰ ταὐτὰ τῷ μέσῳ τὸ μέγεθος εἴργασται, τούτου
*in-the same-way as-the middle the size has-been-wrought this*
δὴ μόνον ἐνδέοντος, ὅτι δὴ τοῦ σφαιρικοῦ ἔνερθεν οὐ
*indeed only lacking that indeed the spherical-part below not*
διῄρηται ἡ οἰκοδομία θυρίσιν.
*is-divided the building by-windows*

17 ἐπειδὴ δὲ αὐτῷ τὸ ἁγίστευμα τοῦτο ἐξείργαστο, καταφανεῖς
*when and by-him the holy-work this had-been-wrought manifest*
οἱ ἀπόστολοι πεποίηνται πᾶσιν ὡς γεγήθασί τε τῇ
*the apostles have-made-themselves to-all that they-have-rejoiced both at-the*
τοῦ βασιλέως τιμῇ καὶ κατακόρως ἐναβρύνονται.
*of-the emperor honor and to-satiety exult*

18 σώματα γὰρ τῶν ἀποστόλων Ἀνδρέου τε καὶ Λουκᾶ καὶ
*bodies for of-the apostles Andrew both and Luke and*
Τιμοθέου ἄδηλά τε καὶ ὅλως κρυφαῖα τὰ πρότερα ὄντα
*Timothy unseen both and wholly hidden the formerly being*
τηνικάδε πᾶσιν ἔνδηλα γέγονεν, οὐκ ἀπαξιούντων, οἶμαι, τὴν
*then to-all manifest became not disdaining I-think the*
βασιλέως πίστιν, ἀλλ᾽ ἐπιχωρούντων αὐτῷ διαρρήδην ὁρῶντί
*of-emperor faith but granting to-him expressly seeing*
τε αὐτοὺς καὶ προσιόντι καὶ ἁπτομένῳ τῆς ἐνθένδε ὠφελείας
*both them and approaching and touching of-the thence benefit*
τε καὶ περὶ τὸν βίον ἀσφαλείας ἀπόνασθαι. ἐγνώσθη δὲ ὧδε.
*both and about the life safety to-enjoy it-was-learned and thus*

19 Κωνσταντῖνος μὲν βασιλεὺς τοῦτον δὴ τὸν νεὼν ἔς
*Constantine indeed emperor this indeed the temple to*
τε τὴν τιμὴν καὶ τὸ ὄνομα τῶν ἀποστόλων ἐδείματο,
*both the honor and the name of-the apostles built*
τὰς θήκας γενέσθαι αὐτῷ τε καὶ τοῖς ἐς τὸ ἔπειτα
*the tombs to-be for-himself both and for-those in the thereafter*
βασιλεύσουσιν ἐνταῦθα τάξας, οὐκ ἀνδράσι μόνον, ἀλλὰ
*going-to-reign there having-ordered not for-men only but*
καὶ γυναιξὶν οὐδέν τι ἧσσον· ὅπερ καὶ διασώζεται
*also for-women nothing — less which-very-thing also is-preserved*
ἐς τόνδε τὸν χρόνον· οὗ δὴ καὶ Κωνσταντίνου τοῦ
*to this the time where indeed also of-Constantine the*
πατρὸς τὸν νεκρὸν ἔθετο.
*father the corpse he-placed*

ἀποστόλων δὲ σώματα ἐνταῦθα εἶναι ὡς ἥκιστα 20
*of-apostles and bodies there to-be as least*
ἐπεσημήνατο, οὐδέ τις ἐνταῦθα ἐφαίνετο χῶρος σώμασιν
*he-indicated nor any there appeared place for-bodies*
ἁγίοις ἀνεῖσθαι δοκῶν.
*holy to-be-dedicated seeming*
ἀλλὰ νῦν Ἰουστινιανοῦ βασιλέως ἀνοικοδομουμένου τὸ 21
*but now Justinian emperor rebuilding the*
ἱερὸν τοῦτο, οἱ λιθουργοὶ τὸ ἔδαφος διώρυσσον ὅλον,
*sanctuary this the stoneworkers the ground dug-through whole*
τοῦ μή τι ἄκοσμον τῇδε λελεῖφθαι· θήκας δὲ ξυλίνας
*so-that not anything unsightly there be-left coffins and wooden*
ἐνταῦθά πη ἀπημελημένας τεθέανται τρεῖς, γράμμασιν
*there somewhere neglected they-beheld three by-letters*
ἐγκειμένοις σφίσι δηλούσας, ὡς Ἀνδρέου τε καὶ Λουκᾶ
*lying-on them showing that of-Andrew both and of-Luke*
καὶ Τιμοθέου τῶν ἀποστόλων σώματα εἶεν·
*and of-Timothy the apostles bodies they-were*
ἅπερ ἀσμενέστατα βασιλεύς τε αὐτὸς καὶ Χριστιανοὶ 22
*which most-gladly emperor both himself and Christians*
ξύμπαντες εἶδον, πομπήν τε αὐτοῖς καὶ πανήγυριν
*all saw procession both for-them and festival*
ἐπιτετελεκότες, τῇ τε περὶ αὐτοὺς τιμῇ ἐξοσιωσάμενοι
*having-accomplished with-the both about them honor having-performed*
τὰ εἰωθότα καὶ περιστείλαντες τὰς θήκας αὖθις
*the customary-rites and having-wrapped the coffins again*
τῇ γῇ ἔκρυψαν, οὐκ ἄσημον οὐδὲ ἀγείτονα
*in-the earth hid not undistinguished nor without-neighbor*
λιπόντες τὸν χῶρον, ἀλλὰ σώμασιν ἀποστόλων ἀνειμένον
*having-left the place but to-bodies of-apostles dedicated*
καταστησάμενοι ξὺν εὐσεβείᾳ.
*having-made with piety*

23 εὔδηλον δὲ ὡς ἀμειβόμενοι, ὅπερ μοι εἴρηται, οἱ
*clear and that repaying as by-me has-been-said the*
ἀπόστολοι οἵδε τὴν ἐς αὐτοὺς βασιλέως τιμὴν πεφήνασι
*apostles these the toward them of-emperor honor appeared*
τοῖς ἀνθρώποις τανῦν.
*to-the men now*

24 βασιλέως γὰρ εὐσεβοῦντος οὐδὲ ἀποφοιτᾷ τῶν
*emperor for being-pious not-even departs from-the*
ἀνθρωπείων τὰ θεῖα πραγμάτων, ἀλλ᾽ ἐπιμίγνυσθαί τε
*human the divine affairs but to-mingle both*
καὶ ἐμφιλοχωρεῖν τῇ ἐς τοὺς ἀνθρώπους ὁμιλίᾳ φιλεῖ.
*and to-love-to-dwell in-the toward the men association loves*

25 Τίς δ᾽ ἂν τὸν Ἀκακίου σιωπήσῃ νεών; ὅνπερ
*who and — the of-Acacius could-pass-over temple which-very*
καταπεπονηκότα περιελὼν ἐξ αὐτῶν θεμελίων
*worn-out having-pulled-down from its-very foundations*
ἀνέστησε, μέγεθος περιβεβλημένον θαυμάσιον ἡλίκον· ὃς
*he-raised size clothed-with marvelous how-great which*
κίοσι μὲν ἐπῄρται πανταχόθι λευκοῖς ὑπεράγαν, λίθῳ
*with-columns indeed is-lifted everywhere white exceedingly with-stone*
δὲ τὰ ἐδάφη παραπλησίῳ ἠμφίεσται, ὧνπερ ἀστράπτει
*and the floors similar is-clothed of-which-very flashes*
τοσοῦτον ἡ αἴγλη ὥστε καὶ δόξαν παρέχεσθαι ὅτι δὴ
*so-much the radiance that even impression to-give that indeed*
χιόσιν ὁ νεὼς ἅπας κατάρρυτός ἐστι.
*with-snow the temple whole covered is*

26 στοαὶ δὲ αὐτοῦ προβέβληνται δύο, περίστυλος μὲν ἁτέρα
*colonnades and of-it are-set-before two peristyle indeed the-one*
οὖσα, ἡ δὲ πρὸς ἀγορὰν νενευκυῖα.
*being the other toward market inclining*

μικροῦ με τὸ μαρτύριον ἐκεῖνο παρῆλθεν εἰπεῖν, ὃ 27
*nearly me the martyrium that escaped to-mention which*
Πλάτωνι ἀνεῖται ἁγίῳ, ἱεροπρεπές τε ὡς ἀληθῶς ὂν
*to-Plato is-dedicated saint befitting-a-sanctuary both as truly being*
καὶ σεμνὸν ἄγαν, οὐ πολλῷ τῆς ἀγορᾶς ἄποθεν, ἣ
*and august very not by-much of-the market from which*
βασιλέως Κωνσταντίνου ἐπώνυμός ἐστιν· ἔτι μέντοι τὸν
*of-emperor Constantine named is still however the*
Μωκίῳ μάρτυρι ἀνειμένον ναόν, οὗπερ τὰ ἱερὰ πάντα
*to-Mocius martyr dedicated shrine than-which the sanctuaries all*
μεγέθει ἐλάσσω.
*in-size less*
πρὸς δὲ καὶ τοῦ Θύρσου μάρτυρος ἔδος καὶ μὴν τὸ 28
*besides and also — of-Thyrsus martyr shrine and indeed the*
Θεοδώρου ἁγίου τέμενος πρὸ τῆς πόλεως κείμενον ἐν
*of-Theodore saint precinct before the city lying in*
χώρῳ καλουμένῳ Ῥησίῳ, καὶ τό τε Θέκλης μάρτυρος
*place called Rhesium and the both of-Thecla martyr*
ἱερόν, ὃ παρὰ τὸν τῆς πόλεως λιμένα ἐστίν, ὅνπερ
*sanctuary which beside the of-the city harbor is which-very*
ἐπώνυμον Ἰουλιανοῦ συμβαίνει εἶναι, καὶ τὸ Θεοδότης
*named of-Julian happens to-be and the of-Theodota*
ἁγίας ἐν προαστείῳ καλουμένῳ ἑβδόμῳ.
*saint in suburb called Hebdomon*
ταῦτα γὰρ ἅπαντα οὗτος ὁ βασιλεὺς ἐπὶ τοῦ 29
*these for all this the emperor under the*
θείου Ἰουστίνου βασιλεύοντος ἐκ θεμελίων ἐδείματο,
*uncle Justin reigning from foundations built*
ἀπαγγέλλεσθαι μὲν οὐ ῥᾴδια λόγῳ, θαυμάζεσθαι δὲ ὄψει
*to-be-reported indeed not easy in-speech to-be-wondered-at and by-sight*
κατὰ τὴν ἀξίαν ἀμήχανα.
*according-to the worth impossible*

30 ἕλκει τὸν λόγον ἐς αὐτὸν ὁ Ἀγαθονίκου τοῦ ἁγίου
*draws the account to itself the of-Agathonicus the saint*
νεὼς καὶ βιάζεται οὐδὲ φωνὴν ἔτι ἔχοντα οὐδὲ ὀνόματα
*temple and forces not-even voice still having nor names*
ἐφαρμόσαι τοῖς πράγμασι.
*to-fit to-the things*

31 διόπερ ἡμῖν μὲν ἄχρι τοῦδε εἰπεῖν ἀποχρήσει· φράσαι
*wherefore for-us indeed as-far-as this to-tell will-suffice to-describe*
δὲ αὐτοῦ τό τε κάλλος καὶ τὸ ἐς ἅπαντα μεγαλοπρεπὲς
*but its the both beauty and the in all-things magnificence*
ἑτέροις ἀφίεμεν, οἷς ἂν ὁ λόγος ἀκμάζων τε καὶ
*to-others we-leave to-whom — the speech flourishing both and*
οὔπω πεπονηκὼς παντάπασιν εἴη.
*not-yet having-labored altogether may-be*

## V · THE SETTING OF THE CITY

*Procopius prepares to describe the churches along the Horn and the straits by describing how the sea adorns Byzantium. The Aegean and the Euxine meet to the east of the city, and three straits surround it, pleasant to sail, fine to look at, and good for harbor. The middle strait comes down from the Euxine between Asia and Europe like a river; another runs south and widens toward the open sea; the third forms the Horn to the north, and the land between completes the crown the sea sets on the city. The Horn is always calm, and in a storm ships run into its mouth unsteered; its circuit is over forty stades and it is harbor throughout, so that a ship moors with her stern in the sea and her bow on the land.*

1 Καὶ ἄλλα δὲ τεμένη ἐν τῷ καλουμένῳ Ἀνάπλῳ καὶ κατὰ
*and other too precincts in the called Anaplus and on*
τὴν ἀντιπέρας ἤπειρον εὑρὼν οὐ πρέποντά τινι τῶν
*the opposite mainland having-found not fitting to-any of-the*
ἁγίων ἀνεῖσθαι, ἔτι μέντοι καὶ ἀμφὶ τὸν κόλπον, ὅνπερ
*saints to-be-dedicated still however also about the gulf which-very*

Κέρας οἱ ἐπιχώριοι Κεροέσσῃ τῇ Βύζαντος μητρὶ τοῦ
*Horn the natives after-Ceroessa the of-Byzas mother of-the*
τῆς πόλεως οἰκιστοῦ ἐπωνύμως καλοῦσιν, ἐν τοῖς ἅπασιν
*of-the city founder by-name call in the all-things*
ἐπιδέδεικται πολυτέλειαν ἐπιτηδείως βασιλεῖ ἔχουσαν,
*has-been-shown lavishness suitably to-an-emperor being*
ἅπερ ἐγὼ αὐτίκα δηλώσω, ὑπειπὼν πρότερον ὅντινα
*which I at-once will-show having-said first in-what*
διακοσμεῖ τρόπον ἡ θάλασσα τὸ Βυζάντιον.
*adorns manner the sea — Byzantium*
Πρὸς τῇ ἄλλῃ εὐδαιμονίᾳ καὶ ἡ θάλασσα ἐν καλῷ τίθεται 2
*besides the other prosperity also the sea in beauty places*
ἀμφ' αὐτὸ μάλιστα ἐγκολπουμένη τε καὶ εἰς πορθμοὺς
*about it most forming-gulfs both and into straits*
ξυναγομένη καὶ χεομένη ἐς πέλαγος μέγα, ταύτῃ τε τὴν
*being-drawn-together and pouring into sea great thus and the*
πόλιν εὐπρόσωπόν τε διαφερόντως ἐργαζομένη καὶ σκέπας
*city fair-faced both exceptionally making and shelter*
λιμένων ἡσύχιον τοῖς ναυτιλλομένοις παρεχομένη, τά τε
*of-harbors calm to-those sailing providing the both*
εἰς τὴν δίαιταν εὔπορον καὶ τὰ ἐς τὴν χρείαν εὐδαίμονα.
*for the livelihood abundant and the-things for the need prosperous*
πελάγη γὰρ δύο ἀμφ' αὐτὴν ὄντα, ὅ τε δὴ Αἰγαῖος 3
*seas for two about it being the both indeed Aegean*
καὶ ὁ Εὔξεινος καλούμενος πόντος, ξυνίασιν ἀλλήλοις
*and the Euxine called sea come-together with-each-other*
ἐς τὰ πρὸς ἕω τῆς πόλεως, καὶ ξυγκρουόμενα τῇ
*at the-parts toward east of-the city and dashing-together by-the*
τοῦ ῥοθίου ἐπιμιξίᾳ, ταύτῃ τε τὴν ἤπειρον τῇ ἐσβολῇ
*of-the surge mingling thus and the mainland with-the inrush*
βιαζόμενα, καλλωπίζουσι κύκλῳ τὴν πόλιν.
*forcing adorn in-a-circle the city*

4 πορθμοὶ τοίνυν αὐτὴν περιβάλλουσι τρεῖς, ἀλλήλοις μὲν
*straits therefore it surround three with-each-other indeed*
ἀπερηρεισμένοι, ἐς κάλλος δὲ αὐτῇ διατεταγμένοι καὶ χρείαν,
*connected for beauty and for-it arranged and use*
περιπλεῖσθαι μὲν ἥδιστοι ἅπαντες, ἀποσκοπήσασθαι δὲ
*to-be-sailed-round indeed most-pleasant all to-be-viewed and*
ποθεινοί, ἐνορμίσασθαι δὲ λίαν εὐλιμένες.
*desirable to-anchor-in and very with-good-harbors*
5 καὶ ὁ μὲν αὐτῶν μέσος ἐκ πόντου προϊὼν τοῦ Εὐξείνου
*and the indeed of-them middle from sea advancing of-the Euxine*
εὐθὺ τῆς πόλεως ὡς διακοσμήσων αὐτὴν ἴεται, ἐφ᾽
*straight of-the city as going-to-adorn it hastens on*
ἑκάτερα δὲ ἄμφω τὰ ἠπείρω διακεκλήρωται.
*both-sides and both the mainlands are-allotted*
6 ὧν δὴ ταῖς ὄχθαις πεπίεσται, ἐπιφρίττων τε καὶ
*of-which indeed by-the banks it-is-pressed bristling both and*
γαυρουμένῳ ἐοικώς, ὅτι δὴ ἐποχούμενος τῇ τε Ἀσίᾳ
*one-exulting like that indeed riding — both on-Asia*
καὶ τῇ Εὐρώπῃ προσβαίνει τῇ πόλει.
*and — on-Europe it-approaches the city*
7 δόξαις ἂν ποταμὸν τεθεᾶσθαι ἐπίπροσθεν προσηνεῖ
*you-would-think — a-river to-have-beheld before-you with-gentle*
τῷ ῥείθρῳ ἰόντα. ὁ δὲ δὴ αὐτοῦ ἐν ἀριστερᾷ θλίβεται
*the stream going the but indeed of-it on left is-squeezed*
μὲν ἑκατέρωθεν ἐπὶ μακροτάταις ταῖς ἀκταῖς, τά τε
*indeed on-each-side on very-long the headlands the both*
ἄλση καὶ λειμώνων κάλλη καὶ τὰ ἄλλα τῆς ἀντιπέρας
*groves and of-meadows beauties and the other-things of-the opposite*
ἠπείρου ἐνδεικνύμενος ὑποκείμενα τῇ τῆς πόλεως ὄψει.
*mainland displaying lying-under the of-the city view*

εὐρύνεται δὲ τὸ ἐντεῦθεν ἐξωθούμενος αὐτῆς πρὸς ἄνεμον 8
*it-widens and the thenceforth being-thrust-out from-it toward wind*
νότον καὶ τῆς Ἀσίας αὐτῆς ὡς πορρωτάτω ἀποκομίζων.
*south and — from-Asia itself as farthest carrying-away*
ἀλλὰ καὶ ὡς περιβάλλον διαμένει τὴν πόλιν τὸ ῥόθιον 9
*but even so encircling remains the city the surge*
ἄχρι ἐς δύοντά που τὸν ἥλιον. ὁ δὲ τρίτος πορθμὸς
*as-far-as to setting somewhere the sun the and third strait*
τοῦ μὲν πρώτου ἐχόμενος ἐπὶ δεξιᾷ, ἐκ δὲ Συκῶν τῶν
*the indeed first adjoining on right from and Sycae the*
καλουμένων ἀρχόμενος, ἐπιπλεῖστον διήκει τῆς πόλεως πρὸς
*called beginning for-most extends of-the city toward*
βορρᾶν ἄνεμον, οὗ δὴ ἐς κόλπον τελευτῶν παύεται.
*north wind where indeed into gulf ending it-stops*
οὕτω μὲν οὖν στεφανοῖ τὴν πόλιν ἡ θάλασσα, ἐκδέχεται 10
*thus indeed then crowns the city the sea receives*
δὲ ἀνὰ τὸ λειπόμενον ἡ γῆ, μεταξὺ τοσαύτη οὖσα, ὅσον
*and through the remaining the earth between so-great being as*
τὴν ἀπὸ τῆς θαλάττης στεφάνην ἐνταῦθα ξυνδεῖσθαι.
*the from the sea crown there to-be-bound-together*
πραΰνεται δὲ διηνεκὲς ὁ κόλπος οὗτος καὶ ἀναθολοῦσθαι 11
*is-calm and continually the gulf this and to-be-roiled*
οὐδαμῇ πέφυκεν, ὥσπερ ὁρίων τῷ κλύδωνι κειμένων
*in-no-way is-by-nature as-if boundaries to-the surge lying*
ἐνταῦθα καὶ σάλου τὸ ἐνθένδε παντὸς τῇ τῆς πόλεως
*there and of-tossing the thence all by-the of-the city*
εἰργομένου τιμῇ.
*being-shut-out honor*
χειμῶνος δέ, ἂν οὕτω τύχῃ, καὶ ἀνέμων σκληρῶν τοῖς 12
*of-winter and if so might-happen and of-winds harsh on-the*
τε πελάγεσι καὶ τῷ πορθμῷ ἐπιπεσόντων, ἐπειδὰν ἐς
*both seas and on-the strait having-fallen when into*

τὴν εἴσοδον ἵκωνται τοῦ κόλπου αἱ νέες, ἀκυβέρνητοί τε
*the entrance they-arrive of-the gulf the ships unsteered both*
τὸ λοιπὸν ἴασι καὶ ἀπροβουλεύτως ὁρμίζονται.
*for-the rest go and heedlessly anchor*

13 ἐς σταδίους μὲν γὰρ πλεῖον ἢ τεσσαράκοντα τὸ
*to stades indeed for more than forty the*
περίμετρον τοῦ κόλπου διήκει, λιμὴν δὲ ὅλος πανταχῆ
*circumference of-the gulf extends harbor and whole everywhere*
ἐστιν· ὥστε ἀμέλει ὁρμιζομένης ἐνταῦθα νηὸς ἡ μὲν
*it-is so-that of-course anchoring there a-ship the indeed*
πρύμνα τῇ θαλάσσῃ ἐπῄρται, ἡ δὲ πρῷρα ἐν τῇ γῇ
*stern on-the sea is-raised the but prow on the land*
κάθηται, ὥσπερ ἀλλήλοις τῶν στοιχείων ἁμιλλωμένων,
*sits as-if with-each-other of-the elements vying*
ὁπότερον ἂν αὐτοῖν δύναιτο μᾶλλον τὴν ἐς τὴν πόλιν
*which-of-two — of-the-two might-be-able more the toward the city*
ἐν ἔργῳ λαβεῖν ὑπουργίαν.
*in deed to-take service*

## VI · THE CHURCHES ON THE HORN

*Justinian rebuilt Saint Lawrence on the Horn, Priscus and Nicholas out in the sea, and Cosmas and Damian, where the saints had raised him from near death; on the far shore he built a martyrium to Anthimus, where the sea washes quietly up to its marble court.*

1 Τὰ μὲν οὖν τοῦ κόλπου τοῦδε τοιαῦτά ἐστι. βασιλεὺς
*the-things indeed then of-the gulf this such(-things) are emperor*
δὲ Ἰουστινιανὸς κάλλος ἀμφ' αὐτὸν ἐξ οἰκοδομίας
*and Justinian beauty about it from building*
πεποιημένος ἐπιφανέστερον ἐξειργάσατο.
*having-made more-illustrious wrought*

τό τε γὰρ ἐν ἀριστερᾷ τοῦ κόλπου Λαυρεντίου ἁγίου 2
*the both for on left of-the gulf of-Lawrence saint*
μαρτύριον ἀφεγγές τε τὰ πρότερα ὂν καὶ σκότους
*martyrium lightless both the formerly being and of-darkness*
ἀτεχνῶς ἔμπλεον μεθαρμοσάμενος, ὡς διὰ βραχέων
*simply full having-refashioned as through few-words*
εἰπεῖν, ἐς τὸν νῦν φαινόμενον ἀνέθηκε τρόπον.
*to-say into the now appearing dedicated manner*
καὶ αὐτοῦ ἐπίπροσθεν τὸν τῆς θεοτόκου νεὼν ἐν χώρῳ 3
*and of-it in-front the of-the God-bearer temple in place*
καλουμένῳ Βλαχέρναις τοιοῦτον δεδημιούργηκεν οἷός μοι
*called Blachernae such has-built such-as by-me*
ἔναγχος δεδιήγηται.
*lately has-been-narrated*
ἐπέκεινά τε Πρίσκῳ καὶ Νικολάῳ ἁγίοις ἱερὸν 4
*beyond and to-Priscus and to-Nicholas saints a-sanctuary*
ᾠκοδομήσατο, καινουργήσας αὐτό, οὗ δὴ οἱ Βυζάντιοι
*he-built having-made-new it where indeed the Byzantines*
ἐμφιλοχωροῦντες ἐνδιατρίβουσιν ἐκ τοῦ ἐπιπλεῖστον,
*loving-to-dwell spend-time from the for-most*
πὴ μὲν σέβοντες καὶ τεθηπότες τοὺς ἁγίους ἐνδήμους
*sometimes indeed revering and marveling-at the saints residing*
γινομένους, πὴ δὲ τῆς τοῦ τεμένους ἀπολαύοντες
*becoming sometimes but of-the of-the precinct enjoying*
εὐπρεπείας, ἐπεὶ τῆς θαλάσσης τὸ ῥόθιον βιασάμενος
*comeliness since of-the sea the surge having-forced*
βασιλεὺς ὕπερθέν τε τοῦ κλυδωνίου ἐπὶ μακρότατον
*emperor above and the breakers to farthest*
ἐνθέμενος τὰ θεμέλια τὸ ἱερὸν κατεστήσατο.
*having-laid the foundations the sanctuary he-set-up*

5 Κατὰ δὲ τοῦ κόλπου τὸ πέρας ἔν τε τῷ ἀνάντει
*at and of-the gulf the end in both the uphill*
καὶ ἰσχυρῶς ὀρθίῳ τέμενος ἐκ παλαιοῦ Κοσμᾷ τε καὶ
*and strongly steep a-precinct from old to-Cosmas both and*
Δαμιανῷ ἁγίοις ἀνεῖται· οὗ δὴ αὐτόν ποτε νενοσηκότα
*to-Damian saints is-dedicated where indeed him once having-been-ill*
πικρότατα καὶ δόκησιν παρεχόμενον ὅτι δὴ ἀποθάνοι,
*most-bitterly and impression giving that indeed he-would-die*
πρός τε τῶν ἰατρῶν ἀπολελειμμένον ἅτε δὴ ἐν νεκροῖς
*by and the physicians given-up as indeed among dead*
κείμενον, ἐς ὄψιν ἐλθόντες ἐσώσαντο οἱ ἅγιοι οὗτοι ἐκ
*lying into sight having-come saved the saints these from*
τοῦ παραδόξου καὶ τοῦ παραλόγου καὶ ὀρθὸν ἔστησαν.
*the unexpected and the incalculable and upright set*
6 οὓς δὴ εὐγνωμοσύνῃ ἀμειβόμενος ὅσα γε τὰ
*whom indeed with-gratitude repaying as-far-as at-least the*
ἀνθρώπεια, ὅλως ἐναλλάξας τε καὶ μετασκευασάμενος
*human-things wholly having-changed both and having-refashioned*
τὴν προτέραν οἰκοδομίαν ἄκοσμόν τε καὶ ἄδοξον οὖσαν
*the former building unsightly both and inglorious being*
οὐδὲ ἀξιόχρεων τηλίκοις ἁγίοις ἀνεῖσθαι, κάλλει τε καὶ
*nor worthy for-so-great saints to-be-dedicated with-beauty both and*
μεγέθει τὸν νεὼν κατελάμπρυνε καὶ φωτὸς αἴγλῃ, ἄλλα
*with-size the temple he-made-brilliant and of-light with-radiance other*
τε πολλὰ οὐ πρότερον ὄντα ἀνέθηκεν.
*and many not before being he-dedicated*
7 ἐπειδὰν δέ τινες ἀρρωστήμασιν ὁμιλήσαιεν ἰατρῶν
*when and some with-illnesses should-consort than-physicians*
κρείττοσιν, οἵδε τὴν ἀνθρωπείαν ἀπογνόντες ἐπικουρίαν
*stronger these the human having-despaired-of help*
ἐπὶ τὴν μόνην αὐτοῖς ἀπολελειμμένην ἐλπίδα χωροῦσι,
*to the only to-them left hope they-go*

καὶ γενόμενοι ἐν ταῖς βάρεσι πλέουσι διὰ τοῦ κόλπου
*and having-got in the boats they-sail through the gulf*
ἐπὶ τοῦτον δὴ τὸν νεών.
*to this indeed the temple*
ἀρχόμενοι δὲ τοῦ εἴσπλου εὐθὺς ὁρῶσιν ὥσπερ ἐν 8
*beginning and the voyage-in at-once they-see as on*
ἀκροπόλει τὸ τέμενος τοῦτο ἀποσεμυνόμενόν τε τῇ
*an-acropolis the precinct this priding-itself both on-the*
τοῦ βασιλέως εὐγνωμοσύνῃ καὶ παρεχόμενον τῆς ἐντεῦθεν
*of-the emperor gratitude and providing of-the thence*
ἐλπίδος αὐτοῖς ἀπολαύειν.
*hope for-them to-enjoy*
Τοῦ δὲ κόλπου ἐπὶ θάτερα μαρτύριον οἰκοδομησάμενος 9
*of-the and gulf on the-other-side a-martyrium having-built*
βασιλεὺς οὐ πρότερον ὃν ἀνέθηκεν Ἀνθίμῳ μάρτυρι παρ᾽
*emperor not before being dedicated to-Anthimus martyr beside*
αὐτὴν μάλιστα τὴν τοῦ κόλπου ἠϊόνα.
*the-very most the of-the gulf shore*
καὶ τὰ μὲν κράσπεδα τοῦ ἱεροῦ πραϋνομένῃ ἐπικλυζόμενα 10
*and the indeed skirts of-the sanctuary by-gentle being-washed*
τῇ τῆς θαλάσσης ἐπιρροῇ τὸ εὔχαρι ἐπιεικῶς ἔχει.
*by-the of-the sea inflow the charm fittingly have*
οὐ γὰρ ξὺν θορύβῳ τὸ κλυδώνιον ἐπανεστηκὸς εἶτα 11
*not for with uproar the surf having-risen then*
εἰς τοὺς ἐκείνῃ λίθους ἀράσσεται, οὐδὲ μεγάλα τὸ
*against the there stones dashes nor greatly the*
κῦμα ἠχῆσαν, οἷά γε τὰ θαλάσσια, καὶ σχιζόμενον
*wave having-roared such-as at-least the sea-things and splitting*
ἀποκρίνεται εἰς εἶδος ἀφρῶδες, ἀλλὰ πρόεισι μὲν προσηνές,
*is-separated into form foamy but it-advances indeed gentle*
σιωπηλὸν δὲ ὂν ἐπιψαύει τῆς γῆς, ἀναστρέφει δὲ μόνον.
*silent and being touches the earth turns-back but only*

12 ἐκδέχεται δὲ τὸ ἐνθένδε αὐλὴ ὁμαλή τε καὶ λίαν ὑπτία,
*receives and the thence a-court level both and very flat*
μαρμάροις μὲν πανταχόθεν κεκομψευμένη καὶ κίοσιν,
*with-marbles indeed from-every-side adorned and columns*
ὄψει δὲ ὡραϊζομένη τῇ ἐς τὴν θάλασσαν.
*with-view and beautified the toward the sea*

13 στοὰ μετὰ ταύτην καὶ ὁ νεὼς ἐντὸς ἐν τετραγώνῳ ἐς
*a-colonnade after this and the temple within in square to*
ὕψος ἐπῆρται λίθων εὐπρεπείᾳ καὶ χρυσῷ κατακεχυμένῳ
*height is-raised of-stones by-comeliness and by-gold poured-over*
καλλωπιζόμενος.
*being-beautified*

14 τοσοῦτον δὲ προέχει μόνον τοῦ εὖρους τὸ μῆκος ἐς
*so-much and exceeds only than-the breadth the length to*
ὅσον δὴ χῶρον τὸν ἀβέβηλον, ἐν ᾧ τὰ ὄργια τὰ
*as-much indeed place the unprofaned in which the rites the*
ἄρρητα τελεῖσθαι θέμις, κατὰ τὴν πλευράν, ἣ πρὸς
*unspeakable to-be-performed lawful at the side which toward*
ἀνίσχοντα ἥλιον τέτραπται, διήκειν ξυμβαίνει. ταῦτα
*rising sun has-been-turned to-extend it-happens these(-things)*
μὲν οὖν τῇδέ πη ἔχει.
*indeed then thus somehow stand*

*At the mouth of the Horn Justinian built a church of the martyr Irene. While it was being dug, the builders found a casket whose inscription said it held the relics of forty soldiers of the Twelfth Legion stationed at Melitene. Justinian was then suffering from a flux in his knee, brought on by his Lenten fasting: in those days he went two days at a time without food, rose before dawn, worked night and day, and ate only wild herbs pickled in salt and vinegar, with water. Hearing of the relics, he gave up the physicians; when the priests laid the reliquary on his knee the pain vanished at once, and then oil welled from the relics and soaked his feet and purple robe; the tunic is kept in the palace.*

Ἐπέκεινα δὲ κατ᾽ αὐτὸ μάλιστα τοῦ κόλπου τὸ 1
*beyond and at the-very most of-the gulf the*
στόμα Εἰρήνης μάρτυρος ναὸς ἵδρυται. ὃς δὴ οὕτως
*mouth of-Irene martyr a-temple is-set-up which indeed so*
μεγαλοπρεπῶς τῷ βασιλεῖ ὅλος ἐξείργασται ὡς οὐκ ἂν
*magnificently by-the emperor whole has-been-wrought that not —*
ἔγωγε φράσαι ἱκανῶς ἔχοιμι.
*I-at-least to-tell sufficiently could-be-able*
ἀντιφιλοτιμούμενος γὰρ τῇ θαλάσσῃ ἀμφὶ τοῦ κόλπου 2
*vying for with-the sea about of-the gulf*
τῇ εὐπρεπείᾳ, ὥσπερ ὅρμῳ περιφερεῖ ἐγκαλλώπισμα
*in-the comeliness as a-necklace round ornament*
τὰ ἱερὰ ταῦτα ἐντέθεικεν. ἀλλ᾽ ἐπεὶ τούτου δὴ τοῦ
*the sanctuaries these he-has-put-in but since this indeed the*
τῆς Εἰρήνης νεὼ ἐπεμνήσθην, καὶ τὸ ἐκείνῃ ξυνενεχθὲν
*— of-Irene temple I-mentioned also the there having-befallen*
οὔ μοι ἀπὸ τρόπου τῇδε γεγράψεται.
*not by-me out-of place thus will-be-written*

3 ἐνταῦθα ἔκειτο λείψανα ἐκ παλαιοῦ ἀνδρῶν ἁγίων οὐχ
*there lay remains from old of-men holy not*
ἧσσον ἢ τεσσαράκοντα· οἳ στρατιῶται μὲν Ῥωμαῖοι
*less than forty who soldiers indeed Romans*
ἐτύγχανον ὄντες, ἐν λεγεῶνι δὲ δυοκαιδεκάτῳ ἐτάττοντο,
*happened being in legion and twelfth were-ranked*
ἣ ἐν πόλει Μελιτηνῇ τῆς Ἀρμενίας τὸ παλαιὸν ἵδρυτο.
*which in city Melitene — of-Armenia the old-time had-been-stationed*
4 ἡνίκα τοίνυν οἱ λιθοδόμοι διώρυσσον οὗπερ ἐπεμνήσθην
*when therefore the builders were-digging where-indeed I-mentioned*
ἀρτίως, κιβώτιον εὗρον γράμμασι σημαῖνον ὡς λείψανα
*just-now a-casket they-found by-letters indicating that remains*
ἔχοι τούτων δὴ τῶν ἀνδρῶν.
*it-held of-these indeed the men*
5 ὅπερ ἐξήνεγκε λεληθὸς τέως ἐξεπίτηδες ὁ θεός,
*which-very-thing brought-out hidden up-to-then deliberately — God*
ἅμα μὲν πιστούμενος ἅπαντας ὡς τὰ βασιλέως
*at-the-same-time indeed assuring all that the of-emperor*
ἀσμενέστατα ἐνδέδεκται δῶρα, ἅμα δὲ καὶ τοῦ ἀνδρὸς
*most-gladly he-has-accepted gifts at-the-same-time and also of-the man*
τὴν ἀγαθοεργασίαν ἀμείψασθαι διατεινόμενος χάριτι μείζονι.
*the good-work to-repay striving with-favor greater*
6 ἐτύγχανε γὰρ Ἰουστινιανὸς βασιλεὺς χαλεπῶς ἄγαν τοῦ
*happened for Justinian emperor badly very in-the*
σώματος ἔχων, ἐπεὶ ῥεύματος δεινόν τι χρῆμα κατὰ τὸ
*body being since of-flux terrible some thing at the*
γόνυ ἐπιπεσὸν συντριβῇ ταῖς ὀδύναις τὸν ἄνδρα ἐποίει·
*knee having-fallen crushed with-the pains the man made*
7 οὗπέρ οἱ αὐτὸς αἰτιώτατος ἦν. ἐν γὰρ ταῖς ἡμέραις
*of-which-very to-him he-himself most-responsible was in for the days*
ἁπάσαις, αἵπερ τὴν Πασχαλίαν ἑορτὴν προτερεύουσαι
*all which the Easter feast preceding*

νηστεῖαι καλοῦνται, σκληράν τινα βιοτὴν ἔσχε μὴ ὅτι
*fasts are-called harsh some way-of-life he-had not only*
βασιλεῖ ἀλλόκοτον οὖσαν, ἀλλὰ καὶ ἀνθρώπῳ ἀμηγέπη
*for-an-emperor strange being but also for-a-man in-any-way*
τῶν πολιτικῶν ἁπτομένῳ.
*the public-affairs touching*
δυοῖν γὰρ ἡμέραιν διεγεγόνει ἐς ἀεὶ ἀπόσιτος ὤν, καὶ 8
*for-two for days he-used-to-continue for ever without-food being and*
ταῦτα μὲν ὄρθρου βαθέος διηνεκὲς ἐκ τῶν στρωμάτων
*that indeed at-dawn deep continually from the bedclothes*
ἐξανιστάμενος καὶ προεγρηγορὼς τῆς πολιτείας, ἀεί τε
*rising and keeping-watch-over the state always and*
αὐτῆς ἔργῳ καὶ λόγῳ διαχειρίζων τὰ πράγματα, ὄρθριός
*of-it by-deed and by-word managing the affairs early*
τε καὶ μεσημβρινός, καὶ οὐδέν τι ἧσσον ἐπινυκτίδιος.
*both and at-noon and nothing — less by-night*
πόρρω γὰρ τῶν νυκτῶν ἐς κοίτην ἰὼν ἐξανίστατο αὐτίκα 9
*far for into-the nights to bed going he-rose at-once*
δὴ μάλα, ὥσπερ χαλεπῶς τοῖς στρώμασιν ἔχων.
*indeed very as-if harshly with-the bedclothes being*
καὶ ἡνίκα δέ που τροφὴν αἴροιτο, οἴνου μὲν καὶ ἄρτου 10
*and when too ever food he-might-take from-wine indeed and from-bread*
καὶ τῶν ἄλλων ἐδωδίμων ἐκτὸς ἔμενε, βοτάνας δὲ ἤσθιε
*and from-the other foods away he-remained herbs and he-ate*
μόνον, καὶ ταύτας ἀγρίας ἐπὶ χρόνου μῆκος τεταριχευμένας
*only and these wild for of-time length pickled*
ἁλσί τε καὶ ὄξει, ὅ τε πότος αὐτῷ ὕδωρ ἐγίνετο μόνον.
*with-salts both and with-vinegar the and drink to-him water was only*

11 οὐ μέντοι οὐδὲ τούτοις κατακορὴς γέγονε πώποτε, ἀλλὰ
*not however not-even with-these sated has-been ever but*
καὶ ἡνίκα δαῖτα αἴροιτο, ἀπογευσάμενος τούτων δὴ τῶν
*also when a-meal he-might-take having-tasted these indeed the*
αὐτῷ ἐδωδίμων, εἶτα μεθίει, οὔπω ἐδηδοκὼς τὰ αὐτάρκη.
*his foods then he-let-go not-yet having-eaten the sufficient*
12 ἐντεῦθεν τοίνυν τὸ πάθος ἀκμάσαν τὴν ἀπὸ τῶν
*thence therefore the malady having-reached-its-peak the from the*
ἰατρῶν ἐπικουρίαν ἐνενικήκει, καὶ χρόνος τῷ βασιλεῖ
*physicians help had-overcome and time for-the emperor*
πολὺς ἐν ταύταις δὴ ταῖς ὀδύναις ἐτρίβη.
*much in these indeed the pains was-spent*
13 μεταξὺ δὲ τὰ περὶ τῶν δεδηλωμένων λειψάνων ἀκούσας,
*meanwhile and the-things about the shown remains having-heard*
τῆς ἀνθρωπείας ἀφέμενος τέχνης, ἐπὶ ταῦτα τὸ πρᾶγμα
*the human having-given-up art to these the matter*
ἦγε, τὴν ὑγείαν ἐπισπώμενος τῇ ἐς αὐτὰ πίστει,
*he-brought the health drawing by-the toward them faith*
καὶ δόξης τῆς ἀληθοῦς ἐν τοῖς ἀναγκαιοτάτοις ἀπώνατο.
*and of-belief the true in the most-necessary-things reaped*
14 οἱ μὲν γὰρ ἱερεῖς τὸν δίσκον ἐπὶ τὸ τοῦ βασιλέως ἐτίθεντο
*the indeed for priests the casket on the of-the emperor placed*
γόνυ, ἀφανίζεται δὲ τὸ πάθος εὐθύς, σώμασι δεδουλωμένοις
*knee vanishes and the malady at-once by-bodies enslaved*
τῷ θεῷ βιασθέν. ὅπερ ἀμφίλεκτον ὁ θεὸς οὐ συγχωρῶν
*— to-God forced which-very ambiguous — God not allowing*
εἶναι, σημεῖον τῶν πραττομένων ἐνδέδεικται μέγα.
*to-be a-sign of-the-things being-done has-displayed great*
15 ἔλαιον γὰρ ἐξαπιναίως ἐπιρρεῦσαν μὲν ἐκ τούτων δὴ
*oil for suddenly having-flowed-out indeed from these indeed*
τῶν ἁγίων λειψάνων, ὑπερβλύσαν δὲ τὸ κιβώτιον, τώ
*the holy remains having-overflowed and the casket the*

τε πόδε καὶ τὴν ἐσθῆτα τοῦ βασιλέως κατέκλυσεν ὅλην
*both feet and the robe of-the emperor drenched whole*
ἁλουργὸν οὖσαν.
*purple being*
διὸ δὴ ὁ χιτὼν οὕτω καταβεβρεγμένος διασώζεται 16
*wherefore indeed the tunic thus soaked is-preserved*
ἐν τοῖς βασιλείοις, μαρτύριον μὲν τῶν τηνικάδε
*in the palaces a-testimony indeed of-the-things then*
γεγενημένων, σωτήριον δὲ τοῖς ἐς τὸ ἔπειτα πάθεσι
*having-happened saving and to-those in the thereafter into-sufferings*
περιπεσουμένοις τισὶν ἀνηκέστως.
*being-going-to-fall some incurably*

## VIII · THE STRAITS: THE ARCHANGEL'S CHURCHES

*On the two sides of the Bosporus stood two old churches of the archangel Michael, at the Anaplus and at Brochi, and their priests begged the emperor to rebuild them. He pulled both down, and at the Anaplus curved a mole of rock into a harbor and a seaside market, with a marble court, a circular colonnade, and a domed church glittering with marble and gold. The church of John the Baptist at the Hebdomon is like it, but not by the sea. At Brochi he built the archangel's church on a raised level place, and near it renewed a church of the Mother of God.*

Οὕτω μὲν οὖν ὑπογέγραπται Ἰουστινιανῷ βασιλεῖ τὸ 1
*thus indeed then has-been-outlined by-Justinian emperor the*
Κέρας ὁ κόλπος. καὶ πορθμοῖν δὲ τοῖν ἄλλοιν δυοῖν,
*Horn the gulf and of-straits too the other two*
ὧνπερ ἐπεμνήσθην ἀρτίως, οἰκοδομίαις τὰς ἠϊόνας ἐς
*which-very I-mentioned just-now with-buildings the shores to*
μέγα τι κάλλος ἐξείργασται τρόπῳ τοιῷδε.
*great some beauty he-has-wrought in-manner such*

2 ἱερὰ δύο τῷ ἀρχαγγέλῳ Μιχαὴλ ἀνειμένα καταντικρὺ
*sanctuaries two to-the archangel Michael dedicated opposite*
ἀλλήλοιν ἑστῶτα τοῦ πορθμοῦ ἑκατέρωθι συνέβαινεν εἶναι,
*each-other standing of-the strait on-each-side happened to-be*
θάτερον μὲν ἐν χώρῳ καλουμένῳ Ἀνάπλῳ ἐν ἀριστερᾷ
*the-one indeed in place called Anaplus on left*
εἰσπλέοντι τὸν Εὔξεινον πόντον, τὸ δὲ δὴ ἕτερον ἐν
*for-one-sailing-into the Euxine sea the but indeed other on*
τῇ ἀντιπέρας ἀκτῇ·
*the opposite headland*

3 Προόχθους μὲν ἐκάλουν οἱ παλαιοὶ ἄνθρωποι τὴν ἀκτήν,
*Proochthi indeed called the old men the headland*
ὅτι δὴ προβέβληται, οἶμαι, κατὰ πολὺ τῆς ταύτῃ ἠιόνος,
*because indeed it-projects I-think by much of-the there shore*
νῦν δὲ Βρόχοι ἐπικαλεῖται, διαφθειρούσης τὰ ὀνόματα
*now and Brochi it-is-called corrupting the names*
τῆς τῶν ἐπιχωρίων ἀγνοίας τῷ μήκει τοῦ χρόνου.
*the of-the natives ignorance by-the length of-the time*

4 ταῦτα δὲ τὰ δύο τεμένη οἱ μὲν αὐτῶν ἱερεῖς κατερραγμένα
*these and the two precincts the indeed their priests broken-down*
ὑπὸ τοῦ χρόνου θεώμενοι καὶ περίφοβοι γεγενημένοι ὡς
*by the time seeing and very-fearful having-become that*
μὴ αὐτίκα μάλα σφίσιν ἐμπέσοιεν, βασιλέως ἐδέοντο
*not at-once very on-them they-should-fall of-emperor begged*
ἀνοικοδομήσασθαι ἄμφω ἐφ᾽ οὗπερ σχήματος τὸ παλαιὸν
*to-rebuild both on which-very form the old-time*
ἦν.
*it-was*

5 οὐ γὰρ οἷόν τε ἦν ἐπὶ τούτου βασιλεύοντος ἐκκλησίαν τινὰ
*not for possible — was under this reigning church any*
ἢ γίνεσθαι πρῶτον, ἢ καταπεπονηκυῖαν ἐπανορθοῦσθαι,
*either to-be-built first or worn-out to-be-restored*

ὅτι μὴ ἐκ χρημάτων βασιλικῶν, οὐκ ἐν Βυζαντίῳ μόνον,
*except — from money imperial not in Byzantium only*
ἀλλὰ καὶ πανταχόθι τῆς Ῥωμαίων ἀρχῆς.
*but also everywhere of-the of-Romans empire*
βασιλεὺς δὲ αὐτίκα τῆς προφάσεως τυχὼν τῆσδε 6
*emperor and at-once the pretext having-obtained this*
καθεῖλε μὲν ἑκάτερον ἐς τὸ ἔδαφος, ὡς μή τι αὐτοῖς
*pulled-down indeed each to the ground so-that not anything to-them*
τῆς προτέρας ἀκοσμίας ἀπολειφθῆναι. ἀνῳκοδομήσατο δὲ
*of-the former unsightliness be-left rebuilt and*
τὸν μὲν ἐπὶ τοῦ Ἀνάπλου τρόπῳ τοιῷδε.
*the-one indeed at the Anaplus in-manner such*
πετρῶν ἐμβολῇ τὴν ἐκείνῃ ἀκτὴν εἴσω περιελίξας ἐς 7
*of-rocks with-a-mole the there headland inward having-curved into*
σκέπας λιμένος, τὴν τῆς θαλάσσης ἠιόνα ἐς μεταμόρφωσιν
*shelter of-harbor the of-the sea shore into transformation*
ἀγορᾶς ἤνεγκεν.
*of-market he-brought*
ἡσύχιος γὰρ ὑπεράγαν ἐνταῦθα ἡ θάλασσα οὖσα τῇ 8
*calm for exceedingly there the sea being with-the*
γῇ ἐπικοινοῦται συναλλαγάς.
*land shares exchanges*
ταῖς τε ἀκάτοις οἱ τῶν ἐμπόρων θαλάττιοι παρὰ τὴν 9
*with-the and boats the of-the merchants seafarers beside the*
ἐμβολὴν τῶν πετρῶν ὁρμισάμενοι συμβάλλονται τοῖς
*mole of-the rocks having-anchored exchange with-the*
ἐγγείοις ἀπὸ τῶν καταστρωμάτων τὰ ἐμπολήματα.
*landsmen from the decks the wares*

10 αὐλὴ μετὰ τὴν παραλίαν ἀγορὰν τοῦ νεὼ πρόκειται. καὶ
*a-court after the seaside market of-the temple lies-before and*
μαρμάροις μὲν ὡραίοις τε καὶ χιόσιν ἡ αὐλὴ τὸ χρῶμα
*with-marbles indeed beautiful both and to-snows the court the color*
ὁμοιοῖ.
*likens*

11 οἱ δὲ τοὺς περιπάτους τῇδε ποιούμενοι εὐπρεπείᾳ
*those and the walks here making in-comeliness*
μὲν ἥδονται λίθων, γεγήθασι δὲ τῆς θαλάσσης ὄψει,
*indeed delight of-stones rejoice and of-the sea in-view*
ἐναβρύνονται δὲ κοιναῖς ταῖς αὔραις ἔκ τε τοῦ ῥοθίου
*exult and in-common the breezes from both the surge*
ἐπεγειρομέναις καὶ λόφων ἐπανεστηκότων τῇ γῇ.
*being-roused and of-hills having-risen on-the land*

12 στοὰ τὸν νεὼν περιβάλλει ἐγκύκλιος εἰς τὰ πρὸς
*a-colonnade the temple surrounds circular toward the-parts toward*
ἕω διαλιποῦσα μόνον. ἐπὶ μέσης τὸ ἱερὸν χρώμασι
*east having-left-a-gap only in middle the sanctuary with-colors*
μυρίοις πεποίκιλται λίθων.
*countless has-been-varied of-stones*

13 ὄροφος ἐν θόλῳ ὑπερῃώρηται μετάρσιος. τί ἄν τις
*ceiling in dome is-hung-above aloft what — anyone*
διαριθμησάμενος ἐπαξίως τοῦ ἔργου φράσοι τὰς ᾑωρημένας
*having-counted worthily of-the work could-tell the hung*
στοάς, τὰς ὑπεσταλμένας οἰκοδομίας, τὸ τῶν μαρμάρων
*colonnades the drawn-back buildings the of-the marbles*
ἐπίχαρι, οἷς δὴ οἵ τε τοῖχοι καὶ τὰ ἐδάφη παντάπασι
*charm with-which indeed the both walls and the floors altogether*
περιβέβληνται;
*have-been-clothed*

πρὸς ἐπὶ τούτοις δὲ καὶ χρυσοῦ πλῆθος ἐξαίσιον πανταχόσε 14
*besides on these and also of-gold abundance extraordinary everywhere*
τοῦ ἱεροῦ καθάπερ αὐτῷ πεφυκὸς περικέχυται.
*of-the sanctuary as-if to-it grown has-been-poured-round*
τοσαῦτα εἰπόντι καὶ τὸ Ἰωάννου τοῦ βαπτιστοῦ τέμενός 15
*so-much having-said also the of-John the Baptist precinct*
μοι δεδήλωται, ὅπερ αὐτῷ βασιλεὺς Ἰουστινιανὸς
*by-me has-been-shown which-very to-him emperor Justinian*
ἔναγχος ἐν τῷ Ἑβδόμῳ καλουμένῳ ἀνέθηκεν.
*lately in the Hebdomon called dedicated*
ἐμφερέστατα γὰρ ἀλλήλοιν ἄμφω τὰ τεμένη τυγχάνει 16
*most-like for to-each-other both the precincts happen*
ὄντα, πλήν γε δὴ ὅτι οὐκ ἐπιθαλάσσιον τὸ τοῦ
*being except at-least indeed that not by-the-sea the of-the*
βαπτιστοῦ ξυμβαίνει εἶναι.
*Baptist happens to-be*
Ὁ μὲν οὖν ἐν τῷ Ἀνάπλῳ καλουμένῳ τοῦ ἀρχαγγέλου 17
*the indeed then in the Anaplus called of-the archangel*
ναὸς τῇδε πεπόνηται.
*temple thus has-been-wrought*
κατὰ δὲ τὴν ἀντιπέρας ἀκτὴν ὀλίγῳ τῆς θαλάσσης 18
*at and the opposite headland by-little from-the sea*
διέχει τις χῶρος, ὁμαλὸς μὲν φύσιν, συνθέσει δὲ
*is-distant a-certain place level indeed by-nature by-composition and*
λίθων ὑψοῦ ἀνέχων.
*of-stones aloft rising*
ἐνταῦθα τὸ τοῦ ἀρχαγγέλου δεδημιούργηται τέμενος, 19
*there the of-the archangel has-been-built precinct*
εὐπρεπείᾳ μὲν ἐξαίσιον, μεγέθει δὲ πρῶτον, πολυτελείᾳ
*in-comeliness indeed extraordinary in-size and first in-costliness*

δὲ ἀνακεῖσθαι μὲν τῷ Μιχαὴλ πρέπον, ἀναθεῖναι δὲ
*and to-be-dedicated indeed — to-Michael fitting to-dedicate and*
Ἰουστινιανῷ βασιλεῖ.
*for-Justinian emperor*
20 τούτου δὲ δὴ οὐ πολλῷ ἄποθεν τοῦ νεὼ τέμενος ἅγιον
*of-this and indeed not far from the temple precinct holy*
τῇ θεοτόκῳ ἀνενεώσατο τρόπῳ τῷ αὐτῷ καταπεπονηκὸς
*to-the God-bearer he-renewed in-manner the same worn-out*
πολλῷ πρότερον, οὗ δὴ τὸ σεμνὸν μακρὸν ἂν εἴη
*much earlier of-which indeed the majesty long — it-would-be*
καὶ διερευνήσασθαι καὶ λόγῳ σημῆναι· ἐκδέχεται δὲ ἡ
*both to-search-out and in-speech to-indicate receives and the*
πάλαι τῆς ἱστορίας προσδοκωμένη μοῖρα.
*long-since of-the history expected part*

## IX · REPENTANCE, AND OTHER CHURCHES

*On the same shore stood a palace, which Justinian gave to God. The prostitutes of Byzantium, driven by poverty and kept by brothel keepers, were forced into their trade; Justinian and Theodora abolished the brothel keepers and turned the palace into the convent of Repentance for women who wished to leave that life, endowing it richly. Farther toward the Euxine Justinian rebuilt the martyrium of Panteleemon and restored a hostel for incurables at Argyronium; at Mochadium he built a church of the archangel, a church of Trypho in the city, a shrine of Menas and Menaeus at the Hebdomon, and renewed the fallen martyrium of Saint Ia by the Golden Gate.*

1 Ἐπὶ ταύτης δὴ τῆς ἀκτῆς ἀξιοθέατα ἐκ παλαιοῦ βασίλεια
*on this indeed the headland worth-seeing from old palaces*
*of-pitcher in hollows shut in-houses they-should-remain*
λαότορον δ' ἀνὰ τοῖχον ἐΰγραφα δαίδαλα τέχνης
*stone-cut and along wall well-painted cunning-works of-art*
πάντοθεν ἀστράπτουσιν. ἁλιστεφέος Προκονήσου
*from-everywhere flash of-sea-crowned Proconnesus*
ταῦτα φάραγξ ἐλόχευσε. πολυτμήτων δὲ μετάλλων
*these(-things) ravine bore of-much-cut and quarries*
ἁρμονίῃ γραφίδεσσιν ἰσάζεται· ἐν γὰρ ἐκείνῃ
*joining to-paintings is-equal in for that*
τετρατόμοις λάεσσι καὶ ὀκτατόμοισι νοήσεις
*four-cut with-stones and eight-cut you-will-perceive*
ζευγνυμένας κατὰ κόσμον ὁμοῦ φλέβας· ἀγλαΐην δὲ
*yoked in order together veins splendor and*
ζωοτύπων λάϊγγες ἐμιμήσαντο δεθεῖσαι.
*of-living-figures stones imitated bound*
πολλὰς δ' ἔνθα καὶ ἔνθα περὶ πλευράς τε καὶ ἄκρας
*many and this-way and that about sides both and ends*
ἄντυγας ἀμβροσίοιο κατόψεαι ἔκτοθι νηοῦ
*curves of-immortal you-will-see outside of-the-temple*
αὐλὰς ἀσκεπέας· τόδε γὰρ τεχνήμονι κόσμῳ
*courts unroofed this for with-artful order*
ἠνύσθη περὶ σεμνὸν ἀνάκτορον, ὄφρα φανείη
*was-accomplished about august shrine so-that it-might-appear*
φέγγεσιν εὐγλήνοισι περίρρυτον ἠριγενείης.
*with-lights bright-eyed flowed-round of-dawn*
Καὶ τίς ἐριγδούποισι χανὼν στομάτεσσιν Ὁμήρου
*And who with-loud-thundering having-opened mouths of-Homer*
μαρμαρέους λειμῶνας ἀολλισθέντας ἀείσει
*of-marble meadows gathered will-sing*

ἠλιβάτου νηοῖο κραταιπαγέας περὶ τοίχους
*of-steep temple strong-built round walls*
καὶ πέδον εὐρυθέμειλον; ἐπεὶ καὶ χλωρὰ Καρύστου
*and floor broad-founded since also green of-Carystus*
νῶτα μεταλλευτῆρι χάλυψ ἐχάραξεν ὀδόντι,
*backs with-miner's steel carved tooth*
καὶ Φρύγα δαιδαλέοιο διέθρισεν αὐχένα πέτρου,
*and Phrygian of-intricate cut neck stone*
τὸν μὲν ἰδεῖν ῥοδόεντα, μεμιγμένον ἠέρι λευκῷ,
*the-one indeed to-see rose mingled with-air white*
τὸν δ' ἅμα πορφυρέοισι καὶ ἀργυφέοισιν ἀώτοις
*the-other and together with-purple and with-white bloom*
ἁβρὸν ἀπαστράπτοντα. πολὺς δ' εὐπήχεϊ Νείλῳ
*delicately flashing much and on-well-flowing Nile*
φορτίδα πιλήσας ποταμήϊδα λᾶας ἀνίσχων
*barge having-loaded river-going stone rising*
πορφύρεος, λεπτοῖσι πεπασμένος ἀστράσι, λάμπει.
*purple with-fine sprinkled stars shines*
καὶ χλοερὸν λάϊγγος ἴδοις ἀμάρυγμα Λακαίνης,
*and green of-stone you-might-see gleam Laconian*
μάρμαρά τε στράπτοντα πολυπλάγκτοισιν ἑλιγμοῖς,
*marbles and flashing with-many-wandering coils*
ὅσσα φάραγξ βαθύκολπος Ἰασσίδος εὗρε κολώνης,
*as-many-as ravine deep-bosomed of-Iassian found hill*
αἱμαλέῳ λευκῷ τε πελιδνωθέντι κελεύθους
*with-blood-red white and livid paths*
λοξοτενεῖς φαίνουσα, καὶ ὁππόσα Λύδιος ἀγκὼν
*slanting showing and as-many-as Lydian bend*
ὠχρὸν ἐρευθήεντι μεμιγμένον ἄνθος ἑλίσσων·
*pale with-red mingled flower winding*

ὅσσα Λίβυς φαέθων, χρυσέῳ σελαγίσματι θάλπων,
*as-many-as Libyan sun with-golden gleam warming*
χρυσοφανῆ κροκόεντα λίθων ἀμαρύγματα τεύχει
*gold-shining saffron of-stones gleamings makes*
ἀμφὶ βαθυπρήωνα ῥάχιν Μαυρουσίδος ἄκρης·
*about deep-ridged spine of-Moorish peak*
ὅσσα τε Κελτὶς ἀνεῖχε βαθυκρύσταλλος ἐρίπνη
*as-many-as and Celtic held-up deep-icy crag*
χρωτὶ μέλαν στίλβοντι πολὺ γλάγος ἀμφιβαλοῦσα
*with-skin black shining much milk having-thrown-round*
ἔκχυτον, ᾗ κε τύχῃσιν, ἀλώμενον ἔνθα καὶ ἔνθα·
*poured-out where — it-might-happen wandering this-way and that*
ὅσσα τ᾽ ὄνυξ ἀνέηκε διαυγάζοντι μετάλλῳ,
*as-many-as and onyx sent-up with-translucent metal*
ὠχριόων ἐρίτιμα, καὶ Ἀτρακὶς ὁππόσα λευροῖς
*pale-yellowing precious and Atracian as-many-as on-smooth*
χθὼν πεδίοις ἐλόχευσε καὶ οὐχ ὑψαύχενι βήσσῃ,
*land on-plains bore and not in-high-necked glen*
πῇ μὲν ἅλις χλοάοντα καὶ οὐ μάλα τῆλε μαράγδου,
*in-part indeed enough green and not very far of-emerald*
πῇ δὲ βαθυνομένου χλοεροῦ κυανώπιδι μορφῇ.
*in-part and of-deepening green with-dark-blue form*
ἦν δέ τι καὶ χιόνεσσιν ἀλίγκιον, ἄγχι μελαίνης
*was and something also to-snows like near black*
μαρμαρυγῆς, μικτὴ δὲ χάρις συνεγείρετο πέτρου.
*of-gleam mixed and grace rose-together of-stone*
Πρὶν δὲ πολυτμήτοιο σέλας ψηφῖδος ἱκέσθαι,
*Before and of-much-cut the-gleam tessera to-arrive*
λεπτὰς λαοτόρος παλάμῃ λάϊγγας ὑφαίνων
*fine stone-cutting with-hand stones weaving*

μαρμαρέας, ἔγραψε μετὰ πλάκας ἐς μέσα τοίχων
*marble drew between slabs to middle of-walls*
σύνδετον εὐκάρποισι κέρας βεβριθὸς ὀπώραις
*bound with-fruitful horn laden with-fruits*
καὶ ταλάρους καὶ φύλλα, κατ' ἀκρεμόνων δὲ χαράσσει
*and baskets and leaves on branches and carves*
ἑζομένην ὄρνιθα. μετ' εὐκεράους δὲ κελεύθους
*sitting bird after well-horned and paths*
κλήμασι χρυσοκόμοισι περίδρομος ἄμπελος ἕρπει,
*with-tendrils golden-haired running-round vine creeps*
δεσμὸν ἑλιξοπόρον σκολιοῖς πλέξασα κορύμβοις·
*bond coil-going with-crooked having-woven clusters*
ἠρέμα δὲ προνένευκεν, ὅσον καὶ γείτονα πέτρην
*gently and it-has-leaned-forward as-much-as also neighboring stone*
βαιὸν ἐπισκιάειν ἑλικώδεϊ πλέγματι χαίτης
*a-little to-shade with-curling plait of-hair*
αἰθούσης. τάδε πάντα καλοὺς περινείσσεται οἴκους.
*of-hall these(-things) all fair goes-round houses*
Ἀλλὰ καὶ ὑψιλόφοις ἐπὶ κίοσιν, ἔνδοθι πέζης
*But also lofty on columns within border*
λαϊνέης, προβλῆτος ἕλιξ πολύκεστος ἀκάνθης
*stone projecting coil much-embroidered of-acanthus*
ὑγρὰ διερπύζων ἀνελίσσετο, δεσμὸς ἀλήτης,
*supple creeping-through was-rolled-up bond wandering*
χρύσεος, ἱμερόεις, ἀκίδα τρηχεῖαν ἑλίσσων·
*golden lovely point rough winding*
μάρμαρα δ' ὀμφαλόεντα περιστέφει εἶκε κλαδίσκοις
*marbles and bossed crowns it-yielded with-shoots*
πορφυρέοις, στίλβοντα χάριν θελξίφρονα πέτρη
*with-purple gleaming grace mind-enchanting stone*

πᾶν δὲ πέδον στορέσασα Προκοννήσοιο κολώνη,
*all and floor having-spread of-Proconnesus hill*
ἀσπασίως ὑπέθηκε βιαρκεῖ νῶτον ἀνάσσῃ·
*gladly put-under to-the-life-sustaining back queen*
ἠρέμα δὲ φρίσσουσα διέπρεπε Βοσπορὶς αἴγλη
*gently and shivering was-conspicuous Bosporan radiance*
ἀκροκελαινιόωντος ἐπ᾽ ἀργέννοιο μετάλλου.
*dark-edged on white metal*
Χρυσεοκολλήτους δὲ τέγος ψηφῖδας ἐέργει,
*Gold-glued and roof tesserae encloses*
ὧν ἄπο μαρμαίρουσα χύδην χρυσόρρυτος ἀκτὶς
*which from gleaming abundantly gold-flowing ray*
ἀνδρομέοις ἄτλητος ἐπεσκίρτησε προσώποις.
*on-human unbearable leapt faces*
φαίη τις Φαέθοντα μεσημβρινὸν εἴαρος ὥρῃ
*might-say someone Phaethon at-noon of-spring in-season*
εἰσοράαν, ὅτε πᾶσαν ἐπεχρύσωσεν ἐρίπνην.
*to-behold when all he-gilded crag*
καὶ γὰρ ἐμὸς σκηπτοῦχος, ὅλης χθονὸς εἰς ἓν ἰούσης,
*and for my scepter-bearer of-all earth into one going*
βάρβαρον Αὐσόνιόν τε πολύτροπον ὄλβον ἀγείρας,
*barbarian Ausonian and manifold wealth having-gathered*
λάϊνον οὐκ ἔκρινεν ἐπαρκέα κόσμον ἐδέθλοις
*stone not judged sufficient adornment for-foundations*
ἀμβροσίου νηοῖο θεουδέος, ᾧ ἔνι πάσης
*of-immortal temple godly which in of-all*
ἐλπίδος εὐφροσύνην ὑπεραυχέα θήκατο Ῥώμη·
*hope cheer exulting placed Rome*
ἀλλὰ καὶ ἀργυρέοιο χύδην οὐ φείσατο κόσμου.
*but also of-silver abundantly not spared adornment*

ἐνθάδε Παγγαίοιο ῥάχις καὶ Σουνιὰς ἄκρη
*here of-Pangaeus ridge and Sunian peak*
ἀργυρέας ὤϊξαν ὅλας φλέβας· ἐνθάδε πολλοὶ
*silver opened all veins here many*
ἡμετέρων θημῶνες ἀνωΐχθησαν ἀνάκτων.
*of-our treasure-stores were-opened of-lords*
καὶ γὰρ ὅσον μεγάλοιο πρὸς ὄρθριον ἄντυγα νηοῦ
*and for as-much-as of-great toward dawn curve of-the-temple*
χῶρον ἀναιμάκτοισιν ἀπεκρίναντο θυηλαῖς,
*place for-bloodless set-apart sacrifices*
οὐκ ἐλέφας, οὐ τμῆμα λίθων ἢ χαλκὸς ὁρίζει,
*not ivory not cutting of-stones or bronze bounds*
ἀλλ' ὅλον ἐθρίγκωσαν ὑπ' ἀργυρέοισι μετάλλοις.
*but whole they-fenced under silver metals*
οὐδὲ μὲν οὐδὲ μόνοις ἐπὶ τείχεσιν, ὁππόσα μύστην
*nor indeed not-even alone on walls which initiate*
ἄνδρα πολυγλώσσοιο διακρίνουσιν ὁμίλου,
*man from-many-tongued separate crowd*
γυμνὰς ἀργυρέας ἔβαλε πλάκας, ἀλλὰ καὶ αὐτοὺς
*bare silver threw slabs but also themselves*
κίονας ἀργυρέοισιν ὅλους ἐκάλυψε μετάλλοις,
*columns with-silver wholly covered metals*
τηλεβόλοις σελάεσσι λελαμπότας, ἑξάκι δοιούς·
*with-far-shooting gleams shining six-times two*
οἷς ἔπι, καλλιπόνοιο χερὸς τεχνήμονι ῥυθμῷ,
*which on of-fair-working hand with-artful rhythm*
ὀξυτέρους κύκλοιο χάλυψ κοιλήνατο δίσκους,
*sharper than-circle steel hollowed discs*
ὧν μέσον ἀχράντοιο θεοῦ δείκηλα χαράξας,
*of-which middle of-undefiled God images having-carved*

ἄσπορα δυσαμένου βροτέης ἰνδάλματα μορφῆς,
*seedless having-put-on of-mortal likenesses form*
πῇ μὲν ἐϋπτερύγων στρατὸν ἔξεσεν ἀγγελιάων,
*in-part indeed of-well-winged army carved of-messengers*
αὐχενίων ξυνοχῆα κατακλίνοντα τενόντων
*of-neck holder bowing-down of-sinews*
(οὐ γὰρ ἰδεῖν τέτληκε θεοῦ σέβας, οὐδὲ καλύπτρῃ
*not for to-see endured of-God majesty nor with-veil*
ἀνδρομέῃ κρυφθέντος, ἐπεὶ θεός ἐστιν ὁμοίως,
*human hidden since God he-is likewise*
ἐσσάμενος καὶ σάρκα λυτήριον ἀμπλακιάων),
*having-put-on also flesh ransom of-sins*
πῇ δὲ θεοῦ κήρυκας ὀδοὺς ἤσκησε σιδήρου
*in-part and of-God heralds tooth fashioned of-iron*
τοὺς προτέρους, πρὶν σάρκα λαβεῖν θεόν, ὧν ἀπὸ φωνῆς
*the earlier before flesh to-take God whose from voice*
ἐσσομένου Χριστοῖο διέπτατο θέσπις ἀοιδή.
*of-coming Christ flew divine song*
οὐδὲ μὲν οὐδ᾽ αὐτῶν παραδέδρομεν εἴδεα τέχνη,
*nor indeed not-even of-them has-run-past the-forms art*
οἷς κύρτος νεπόδων τε τὸ δίκτυον, οἵτε χαμηλὰ
*to-whom trap of-fishes and the net who lowly*
ἔργα βίου προλιπόντες ἀλιτρονόους τε μερίμνας
*works of-life having-left sin-minded and cares*
οὐρανίου βασιλῆος ἐφωμάρτησαν ἐφετμῇ,
*of-heavenly king followed command*
ἀνέρας ἀγρεύοντες, ἀπ᾽ ἰχθυβόλοιό τε τέχνης
*men catching from of-fishing and art*
ζωῆς ἀθανάτοιο καλὴν τανύσαντο σαγήνην.
*of-life immortal fair stretched net*

ἄλλοθι δὲ Χριστοῖο κατέγραφε μητέρα τέχνη,
*elsewhere and of-Christ drew mother art*
φέγγεος ἀενάοιο δοχήϊον, ἧς ποτὲ γαστὴρ
*of-light ever-flowing receptacle whose once womb*
γαστέρος ἐργατίνην ἁγίοις ἐθρέψατο κόλποις.
*of-womb the-maker in-holy nursed bosoms*

## VII · THE SANCTUARY AND THE LIGHTS

*The panels of the sanctuary screen bear the monograms of the emperor and the empress and a cross, and three doors open through it. Over the golden altar rises a silver ciborium on four arches, its eight-sided roof crowned by an orb and a cross, with silver bowls along its edge holding silver likenesses of candles, for adornment, not light. The altar cloth shows Christ in a golden robe between Paul and Peter, its border the emperors' works of charity; other cloths show the rulers with Mary and Christ. At night bronze chains let down silver discs, a great cross, and glass lamps from the dome; lamps line the aisles, silver ships hang aloft, and lamp-trees stand on the silver columns; the church glows like the night sky, and its light guides sailors like a lighthouse.*

Ἐς δὲ μέσας ἱεροῦ πλάκας ἔρκεος, αἳ περὶ φῶτας
*Into and middle of-holy slabs of-enclosure which around men*
εὐιέρους τεύχουσι μεταίχμια, γράμμα χαράσσει
*holy make spaces-between letter carves*
ἡ γλυφὶς ἓν πολύμυθον· ἀολλίζει γὰρ ἀνάσσης
*the chisel one many-worded gathers for of-queen*
οὔνομα καὶ βασιλῆος· ἴσον γε μὲν ὀμφαλοέσσῃ
*name and of-emperor equally at-least indeed to-bossed*
ἀσπίδι μεσσατίοισι τύπον κοιλήνατο χώροις
*shield in-middle form hollowed places*
σταυρὸν ἀπαγγέλλουσα. διὰ τρισσῶν δὲ θυρέτρων
*cross proclaiming through three and doors*

ἕρκος ὅλον μύστῃσιν ἀνοίγεται· ἐν γὰρ ἑκάστῃ
*enclosure whole to-initiates is-opened in for each*
πλευρῇ βαιὰ θύρετρα διέτμαγεν ἐργοπόνος χείρ.
*side small doors cut work-toiling hand*
Χρυσείης δ' ἐφύπερθε παναχράντοιο τραπέζης
*Of-golden and above all-undefiled table*
ἄσπετος εὐρυκέλευθον ἐς ἠέρα πύργος ἀνέστη,
*unspeakable wide-pathed into air tower rose*
τετραπόροις ἀψῖσιν ἐπ' ἀργυρέῃσι βεβηκώς.
*four-passaged arches on silver standing*
κίοσι δ' ἀργυρέῃσιν ἀείρεται, ὧν ἐπὶ κόρσης
*with-columns and silver is-raised of-which on head*
ἀργυρέους ἵδρυσε πόδας τετράζυγος ἀψίς.
*silver set feet four-yoked arch*
ὑψόθι θ' ἁψίδων ἀνατείνεται οἷά τε κώνου
*aloft and from-arches stretches-up as-if — of-cone*
εἴκελον, ἀλλ' οὐ πάμπαν ὁμοίιον· οὐ γὰρ ἐλίσσει
*like but not wholly similar not for it-winds*
νειόθεν εὐκύκλοιο περίτροχον ἄντυγα πέζης,
*from-below of-well-rounded circular curve of-border*
ἀλλά τις ὀκτάπλευρος ἔφυ βάσις, ἐκ δὲ κελεύθου
*but some eight-sided grew base from and path*
εὐρυτέρης κατὰ βαιὸν ἐς ὀξυκόρυμβον ἀνέρπει,
*wider by little to sharp-crested creeps-up*
ὀκτὼ δ' ἀργυρέας τανύει πλάκας· ἁρμονίης δὲ
*eight and silver stretches plates of-joining and*
ζευγνυμένης δολιχὴ ῥάχις ἵσταται· αἱ δὲ τριγώνοις
*being-yoked long spine stands they and to-triangles*
εἰδόμεναι μίσγουσι πόρους ὀκτάζυγος οἴμου,
*resembling mingle ways of-eight-yoked path*

εἰς ἓν ἀγειρομένους κορυφῆς σημήϊον ἄκρης,
*into one gathering of-summit token highest*
ὁππόθι καὶ κρητῆρος ὑπήραρεν εἰκόνα τέχνη.
*where also of-mixing-bowl fitted image art*
χείλεά τε κρητῆρος ὑποκλασθέντα πετήλων
*lips and of-bowl bent-under of-leaves*
εἶδος ἐμορφώσαντο. μέσῳ δ' ἐνεθήκατο χώρῳ
*form shaped in-middle and put-in place*
ἀργύρεον στίλβοντα πόλου τύπον· ὑψόθι δ' αὐτοῦ
*silver shining of-orb form above and it*
σταυρὸς ὑπερτέλλων ἀναφαίνεται· ἵλαος εἴη.
*cross rising-above appears gracious may-it-be*
ἀψίδων δ' ἐφύπερθεν ἕλιξ πολύκεστος ἀκάνθης
*of-arches and above coil much-embroidered of-acanthus*
πέζαν ἐφερπύζει νέατον περὶ πυθμένα κώνου·
*border creeps-on lowest round bottom of-cone*
ὀρθοτενεῖς δ' ἀκτῖνας, ἴσας εὐώδεϊ καρπῷ
*straight-stretched and rays equal to-fragrant fruit*
ὄγχνης καλλικόμοιο, διακριδὸν ὑψόθι φαίνει
*of-pear fair-haired apart aloft shows*
λαμπομένας σελάεσσιν, ὑπερτέλλουσι δὲ πέζης.
*shining with-gleams rise-above and of-border*
Ὁππόθι δ' ἀλλήλοισιν ἀρηρότα πείρατα πέζης
*Where and to-each-other fitted ends of-border*
ἁρμονίην τεύχουσιν, ἐνιδρύσαντο παγέντας
*joining make set fixed*
ἀργυρέους κρητῆρας. ἐπὶ κρητῆρι δ' ἑκάστῳ
*silver bowls on bowl and each*
πυρσοφόρους στήσαντο, λιπαυγέα δείκελα κηροῦ,
*torch-bearing set fat-gleaming images of-wax*

κόσμον ἀπαγγέλλοντα καὶ οὐ φάος· ἀργυρέοις γὰρ
*adornment proclaiming and not light silver for*
πάντοθι τορνωθέντα περιστίλβουσι μετάλλοις
*everywhere turned they-gleam-round with-metals*
φαιδρὰ λεαινομένοισιν· ἀπυρσεύτῳ δ' ἀμαρυγῇ
*bright being-smoothed with-unlit and gleam*
ἀργυρέην ἀκτῖνα καὶ οὐ φλόγα κηρὸς ἰάλλει.
*silver ray and not flame wax sends*
κίοσι δὲ χρυσέαις ἱερῆς πάγχρυσα τραπέζης
*on-columns and golden of-holy all-golden of-table*
νῶτα κατηρείσαντο, κατὰ χρυσέων δὲ θεμείλων
*backs rested along golden and foundations*
ἵσταται, ἀφνειῶν δὲ λίθων ποικίλλεται αἴγλῃ.
*it-stands of-rich and stones is-varied with-radiance*
Πῇ φέρομαι; πῇ μῦθος ἰὼν ἀχάλινος ὁδεύει;
*Where am-I-carried where speech going unbridled travels*
ἴσχεο τολμήεσσα μεμυκότι χείλεϊ φωνή,
*hold bold with-closed lip voice*
μηδ' ἔτι γυμνώσειας ἃ μὴ θέμις ὄμμασι λαῶν.
*nor still may-you-lay-bare what not lawful to-eyes of-peoples*
μυστιπόλοι δ', ὑπὸ χερσὶν ὅσοις τόδε θεσμὰ κελεύει,
*mystic and under hands for-whom this ordinances bid*
Σιδονίης φοίνικι βεβαμμένον ἄνθεϊ κόχλου
*of-Sidonian with-crimson dyed with-flower of-shell*
φᾶρος ἐφαπλώσαντες ἐρέψατε νῶτα τραπέζης,
*cloak having-spread-over roof backs of-table*
τέτρασι δ' ἀργυρέῃσιν ἐπὶ πλευρῇσι καλύπτρας
*four and silver on sides veils*
ὀρθοτενεῖς πετάσαντες ἀπείρονι δείξατε δήμῳ
*upright having-spread to-boundless show people*

χρυσὸν ἅλις καὶ φαιδρὰ σοφῆς δαιδάλματα τέχνης·
*gold abundantly and bright of-wise cunning-works art*
ὧν μία μὲν ποίκιλλε σέβας Χριστοῖο προσώπου.
*of-which one indeed adorned majesty of-Christ face*
τοῦτο δὲ καλλιπόνοιο φυτεύσατο χείρεσι τέχνης
*this and of-fair-working planted with-hands art*
οὐ γλυφίς, οὐ ῥαφίδων τις ἐλαυνομένη διὰ πέπλων,
*not chisel not of-needles any driven through robes*
ἀλλὰ μεταλλάσσουσα πολύχροα νήματα πήνη,
*but changing many-colored threads shuttle*
νήματα ποικιλόμορφα, τὰ βάρβαρος ἤροσε μύρμηξ.
*threads varied-form which barbarian plowed ant*
χρυσοφαὲς δ' ἀμάρυγμα βολαῖς ῥοδοπήχεος ἠοῦς
*gold-shining and gleam with-shafts of-rosy-armed dawn*
διπλοῖς ἀντήστραψε θεοκράντων ἐπὶ γυίων,
*double flashed-back God-ruled on limbs*
καὶ Τυρίῃ πόρφυρε χιτὼν ἁλιανθέϊ κόχλῳ,
*and with-Tyrian was-purple tunic with-sea-flowered shell*
δεξιὸν εὐτύκτοις ὑπὸ νήμασιν ὦμον ἐρέπτων·
*right with-well-made under threads shoulder covering*
κεῖθι γὰρ ἀμπεχόνης μὲν ἀπωλίσθησε καλύπτρη,
*there for of-mantle indeed slipped-off the-veil*
καλὰ δ' ἀνερπύζουσα διὰ πλευρῆς ὑπὲρ ὤμου
*fair and creeping-up through side over shoulder*
ἀγκέχυται λαιοῖο· γεγύμνωται δὲ καλύπτρης
*is-poured of-left is-bared and of-veil*
πῆχυς καὶ θέναρ ἄκρον. ἔοικε δὲ δάκτυλα τείνειν
*forearm and palm tip it-seems and fingers to-stretch*
δεξιτερῆς, ἅτε μῦθον ἀειζώοντα πιφαύσκων,
*of-right-hand as-if word ever-living proclaiming*

λαιῇ βίβλον ἔχων ζαθέων ἐπιίστορα μύθων,
*with-left book holding of-holy knowing words*
βίβλον ἀπαγγέλλουσαν ὅσα χραισμήτορι βουλῇ
*book proclaiming as-many-as with-helping counsel*
αὐτὸς ἄναξ ἐτέλεσσεν, ἐπὶ χθονὶ ταρσὸν ἐρείδων.
*himself lord accomplished on earth foot planting*
πᾶσα δ' ἀπαστράπτει χρυσέη στολίς· ἐν γὰρ ἐκείνῃ
*all and flashes golden robe in for that*
τρητὸς λεπταλέος περὶ νήματα χρυσὸς ἑλιχθείς,
*pierced fine around threads gold wound*
σχήμασιν ἢ σωλῆνος ὁμοίιος ἤ τινος αὐλοῦ,
*in-shape either of-tube like or of-some pipe*
δέσμιος ἱμερόεντος ἐρείδεται ὑψόθι πέπλου,
*bound of-lovely is-fixed above robe*
ὀξυτέραις ῥαφίδεσσι δεθεὶς καὶ νήμασι Σηρῶν.
*with-sharper needles bound and threads of-Seres*
ἱστάμενοι δ' ἑκάτερθε δύω κήρυκε θεοῖο,
*standing and on-each-side two heralds of-God*
Παῦλος, ὅλης σοφίης θεοδέγμονος ἔμπλεος ἀνήρ,
*Paul of-all wisdom God-receiving full man*
καὶ σθεναρὸς κληδοῦχος ἐπουρανίων πυλεώνων,
*and mighty key-bearer of-heavenly gates*
αἰθερίοις δεσμοῖσιν ἐπιχθονίοις τε κελεύων·
*with-heavenly bonds earthly and commanding*
ὃς μὲν ἐλαφρίζει καθαρῆς ἐγκύμονα ῥήτρης
*the-one indeed lifts of-pure pregnant saying*
βίβλον, ὁ δὲ σταυροῖο τύπον χρυσέης ἐπὶ ῥάβδου.
*book the-other and of-cross form golden on staff*
ἄμφω δὲ στολίδεσσιν ὑπ' ἀργυφέῃσι πυκάζει
*both and robes under silver covers*

πήνη ποικιλόεργος· ἐπ᾽ ἀμβροσίων δὲ καρήνων
*shuttle varied-working on immortal and heads*
νηὸς ἐκολπώθη χρύσεος, τριέλικτον ἐγείρων
*temple was-hollowed golden threefold-coiled raising*
ἀγλαΐην ἀψῖδος· ἐφεδρήσσει δὲ βεβηκὼς
*splendor of-arch sits and standing*
τέτρασι χρυσείοις ἐπὶ κίοσι. χείλεσι δ᾽ ἄκροις
*four golden on columns with-lips and topmost*
χρυσοδέτου πέπλοιο κατέγραφεν ἄσπετα τέχνη
*of-gold-bound robe drew unspeakable-things art*
ἔργα πολισσούχων ἐριούνια παμβασιλήων.
*works of-city-holding bountiful all-kings*
πῇ μὲν νουσαλέων τις ἀκέστορας ὄψεται οἴκους,
*in-part indeed of-sick someone healing will-see houses*
πῇ δὲ δόμους ἱερούς· ἑτέρωθι δὲ θαύματα λάμπει
*in-part and houses holy on-the-other-side and wonders shine*
οὐρανίου Χριστοῖο· χάρις δ᾽ ἐπιλείβεται ἔργοις.
*of-heavenly Christ grace and is-poured-on works*
ἐν δ᾽ ἑτέροις πέπλοισι συναπτομένους βασιλῆας
*in and other robes joined emperors*
ἄλλοθι μὲν παλάμαις Μαρίης θεοκύμονος εὕροις,
*elsewhere indeed with-hands of-Mary God-bearing you-would-find*
ἄλλοθι δὲ Χριστοῖο θεοῦ χερί· πάντα δὲ πήνης
*elsewhere and of-Christ God with-hand all and of-shuttle*
νήμασι χρυσοπόρων τε μίτων ποικίλλεται αἴγλῃ.
*with-threads gold-passaged and of-warp is-varied with-radiance*
Πάντα μὲν ἀγλαΐῃ καταειμένα, πάντα νοήσεις
*All indeed with-splendor clothed all-things you-will-perceive*
ὄμμασι θάμβος ἄγοντα· φαεσφορίην δὲ λιγαίνειν
*to-eyes wonder bringing light-bearing and to-sing-clearly*

ἑσπερίην οὐ μῦθος ἐπάρκιος. ἦ τάχα φαίης
*evening not speech sufficient truly perhaps you-would-say*
ἐννύχιον Φαέθοντα καταυγάζειν σέβας οἴκου.
*nightly Phaethon to-illumine majesty of-house*
καὶ γὰρ ἐμῶν πολύμητις ἐπιφροσύνη βασιλήων
*and for of-my much-counseled forethought of-emperors*
ἀντιπόροις ἑλίκεσσι πολυγνάμπτοισι δεθείσας
*with-opposite coils many-bent bound*
πλεκτὰς χαλκελάτους δολιχὰς ἐτανύσσατο σειρὰς
*plaited bronze-beaten long stretched chains*
λαϊνέης προβλῆτος ἀπ᾽ ἄντυγος, ἧς ἐπὶ νώτῳ
*of-stone projecting from curve whose on back*
νηὸς ἀερσικάρηνος ἐρείσατο ταρσὰ καλύπτρης.
*temple high-headed rested soles of-veil*
αἱ δὲ κατειβόμεναι περιμήκεος ἔκποθεν οἴμου
*they and descending long from-somewhere of-path*
ἀθρόαι ἀΐσσουσι κατὰ χθόνα· πρὶν δ᾽ ἀφικέσθαι
*thronging rush to earth before and to-arrive*
ἐς πέδον, ὑψικέλευθον ἀνεκρούσαντο πορείην,
*to floor high-pathed checked course*
καὶ χορὸν ἐκτελέουσιν ὁμόγνιον. ἐκ δέ νυ σειρῆς
*and dance complete kindred from and indeed chain*
ἀργυρέους στεφανηδὸν ἀπ᾽ ἠέρος ἥψατο δίσκους
*silver in-crown-wise from air fastened discs*
ἐκκρεμέας περὶ τέλσα μέσου τροχάοντα μελάθρου.
*hanging round ends of-middle running hall*
οἱ δὲ καθερπύζοντες ἀφ᾽ ὑψιπόροιο κελεύθου
*they and creeping-down from high-going path*
ἀνδρομέων κυκληδὸν ὑπερτέλλουσι καρήνων.
*of-human in-a-circle rise-above heads*

τοὺς μὲν ἀνὴρ πολύϊδρις ὅλους ἐτόρησε σιδήρῳ,
*them indeed man very-skilled wholly pierced with-iron*
ὄφρα κεν ἐξ ὑάλοιο πυρικμήτοιο ταθέντας
*so-that — from glass fire-wrought stretched*
οὐριάχους δέξαιντο, καὶ ἐκκρεμὲς ἀνδράσιν εἴη
*butt-ends they-might-receive and hanging for-men might-be*
φέγγεος ἐννυχίοιο δοχήϊον. οὐδ' ἐνὶ δίσκοις
*of-light nightly receptacle not-even in discs*
μούνοις φέγγος ἔλαμπε φιλέννυχον· ἀλλ' ἐνὶ κύκλῳ
*alone light shone night-loving but in circle*
καὶ μεγάλου σταυροῖο τύπον πολύωπα νοήσεις,
*also of-great cross form many-eyed you-will-perceive*
γείτονα μὲν δίσκοιο, πολυτρήτοισι δὲ νώτοις
*neighboring indeed to-disc with-much-pierced and backs*
ἄγγος ἐλαφρίζοντα σελασφόρον. εὐσελάων δὲ
*vessel lifting light-bearing of-well-lighted and*
κύκλιος ἐκ φαέων χορὸς ἵσταται. ἦ τάχα φαίης
*circular from lights dance stands truly perhaps you-would-say*
ἐγγύθεν ἀρκτούροιο δρακοντείων τε γενείων
*near of-Arcturus of-the-Dragon's and jaws*
οὐρανίου στεφάνοιο, λελαμπότα τείρεα λεύσσειν.
*of-heavenly crown shining stars to-see*
Οὕτω μὲν κατὰ νηὸν ἑλίσσεται ἑσπερίη φλόξ,
*Thus indeed through temple is-whirled evening flame*
φαιδρὸν ἀπαστράπτουσα· μέσῳ δ' ἐνὶ μείονι κύκλῳ
*bright flashing middle and in smaller circle*
δευτατίου στεφάνοιο σελασφόρον ἄντυγα δήεις.
*of-second crown light-bearing curve you-will-find*
μεσσοπαγὲς δ' ἐπὶ κέντρον ἀπ' ἠέρος ἄλλος ὀρούσας
*fixed-in-middle and on center from air another having-rushed*

δίσκος ἐϋς σελάγιζε· φυγὰς δ' ἀπελαύνεται ὄρφνη.
*disc good gleamed fled and is-driven-away darkness*
Ἐγγύθι δ' αἰθούσης, παρὰ κίονας, ἔνθα καὶ ἔνθα
*Near and of-the-hall beside columns this-way and that*
μουνοφανῆ λαμπτῆρα διακριδὸν ἄλλον ἀπ' ἄλλου
*single-appearing lamp apart one from another*
ἑξείης ἀνέθηκαν· ὅλον δ' ἐπὶ μῆκος ὁδεύει
*in-order they-set whole and along length travels*
τηλεπόρου νηοῖο· κύτος δ' ὑπέθηκαν ἑκάστῳ
*of-far-stretching temple cup and they-put-under each*
ἀργύρεον, πλάστιγγι πανείκελον, ᾧ ἐνὶ μέσσῳ
*silver to-scale all-like which in middle*
εὐφαέος κρητῆρες ἐφεδρήσσουσιν ἐλαίου.
*of-bright bowls sit of-oil*
οὐ μὴν ἰσοτενής τις ὅλοις μία πέζα καθέρπει,
*not indeed equal-stretched any for-all one border creeps-down*
πολλὰ δ' ἄναντα κάταντα σὺν ἀγλαΐῃσι νοήσεις
*many and uphill downhill with splendors you-will-perceive*
νήδυμα κυμαίνοντα· πολυστρέπτου δ' ἀπὸ σειρῆς
*sweetly undulating of-much-twisted and from chain*
ἠερίαις βαθμηδὸν ἐπαστράπτουσι κελεύθοις.
*on-aerial step-wise flash paths*
οὕτω καὶ δικόρυμβον ὑὰς σελάγισμα φαείνει,
*thus also double-clustered Hyades gleam shines*
ἡμιτόμου ταύροιο καταγραφθεῖσα μετώποις.
*of-half-cut Bull drawn on-foreheads*
ἀλλὰ καὶ ἀργυρέας τις ἴδοι νέας· ἐμπορίης δὲ
*but also silver anyone might-see ships of-trade and*
φόρτον ἀερτάζουσι φαεσφόρον· ἐκκρεμέες δὲ
*cargo lift light-bearing hanging and*

εὐφαέος πλώουσι κατ᾽ ἠέρος ἀντὶ θαλάσσης,
*of-bright sail through air instead-of sea*
οὐδὲ νότον τρομέουσι καὶ ὀψεδύοντα βοώτην.
*nor south-wind they-fear and late-setting Bootes*
ἐς δὲ βαθὺ κρηπῖδος ἐδέθλιον ἁβρὰ νοήσεις
*to and deep of-base foundation delicate you-will-perceive*
δούρατα, δικραίροιο μέσον τροχάοντα σιδήρου,
*beams of-two-horned middle running iron*
ὧν ἔπι νηοπόλοιο φάλαγξ διανείσσεται αἴγλης,
*which on of-temple-serving phalanx swims-through of-radiance*
ἰθυπόροις κανόνεσσιν ἐρευθομένοισι δεθεῖσα.
*with-straight-going rods reddening bound*
ἀλλὰ τὰ μὲν περὶ πέζαν, ὅπῃ καὶ πυθμένας ἁβροὶ
*but the-ones indeed around border where also bottoms delicate*
κίονες ἱδρύσαντο, τὰ δ᾽ ὑψόθεν εἰσὶ καρήνων
*columns set the-others and from-above are of-heads*
τοίχων μηκεδανῇσι παραστείχοντα κελεύθοις.
*of-walls along-long passing paths*
Ναὶ μὴν οὐδ᾽ ἀσέλαστα μάτην ἐλέλειπτο καρήνου
*Yes indeed not-even unlighted in-vain was-left of-head*
ταρσὰ βαθυστέρνοιο· περὶ προβλῆτι δὲ πέτρῳ
*soles of-deep-breasted round projecting and stone*
ἄζυγας εὐδίνητον ἐς ἄντυγα λαμπάδας ἅψας
*unpaired well-whirling to curve lamps having-kindled*
χαλκείοις σταλίκεσσιν ἀνὴρ ἐνεδήσατο μύστης.
*with-bronze pins man bound initiate*
ὡς δ᾽ ὅτε παρθενικήν τις ἑὴν βασιληΐδα κούρην
*as and when maiden someone his royal girl*
ἀμφιέπων χαρίεντα κατ᾽ αὐχένος ὅρμον ἑλίξει,
*tending graceful down neck necklace will-wind*

χρυσοδέτου στράπτοντα πυραυγέϊ λυχνίδος αἴγλῃ,
*of-gold-bound flashing with-fire-gleaming of-lychnis radiance*
οὕτω ἐμὸς σκηπτοῦχος ἐπήραρεν ἄντυγι πάσῃ
*thus my scepter-bearer fitted to-curve all*
φάεα κυκλοφόρητα, συνέμπορα πάντοθι πέζης.
*lights circle-borne companions everywhere of-border*
Ἔστι καὶ ἀργυρέαις ἐπὶ κίοσιν, ὑψόθι κόρσης,
*There-is also silver on columns above head*
στεινὴ πυρσοφόροισιν ἐπίδρομος οἶμος ὁδίταις,
*narrow for-torch-bearing running path for-travelers*
πλησιφαής, φαιδροῖσιν ἀποστίλβουσα κορύμβοις·
*full-lighted with-bright gleaming clusters*
κεῖνα γὰρ ἢ κώνοισιν ὀριτρεφέεσσιν ὁμοῖα
*those for either to-cones mountain-bred like*
δένδρεά τις καλέσειεν ἢ ἁβροκόμοις κυπαρίσσοις.
*trees anyone might-call or to-delicate-haired cypresses*
εἰσὶ μὲν ὀξυκάρηνα, περιτροχάουσι δὲ κύκλοι
*they-are indeed sharp-headed run-round and circles*
εὐρύτεροι κατὰ βαιόν, ἔως ἐπὶ λοίσθιον ἔλθῃς
*wider by little until to last you-come*
ἄντυγος, ᾗ περὶ πρέμνον ἑλίσσεται· ἔνθεν ἐκείνοις
*of-curve where round trunk is-wound thence on-them*
ἄνθος ἀνεβλάστησε πυρισπόρον. ἀντὶ δὲ ῥίζης
*flower sprouted fire-sown instead-of and root*
ἀργυρέους κρητῆρας ἴδοις ὑπένερθε παγέντας
*silver bowls you-might-see below fixed*
δένδρεσι πυρσοκόμοισι. μέσον γε μὲν ἄλσεος ἁβροῦ
*to-trees fire-haired middle at-least indeed of-grove delicate*
ἀμβροσίου σταυροῖο τύπος φαεσίμβροτον αἴθει
*of-immortal cross form mortal-lighting blazes*

φέγγος, ἐϋγλήνοισι πεπαρμένον ὄμμασιν ἥλων.
*light with-bright-eyed pierced with-eyes of-nails*

Μυρία δ' αἰολόμορφον ἀνάκτορον ἐντὸς ἐέργει
*Countless and many-formed shrine within encloses*

ἄλλα πολυγνάμπτοισι μετάρσια φάεα σειραῖς·
*other with-many-bent aloft lights chains*

καὶ τὰ μὲν αἰθούσῃσιν ἀναίθεται, ἄλλα δὲ μέσσῳ,
*and the-ones indeed in-halls are-kindled others and in-middle*

ἄλλα δὲ πρὸς Φαέθοντα καὶ Ἕσπερον, ἄλλα καρήνοις
*others and toward Phaethon and Hesperus others on-heads*

ἔκχυτον ἀστράπτοντα πυρὸς φλόγα· νὺξ δὲ φαεινὴ
*poured-out flashing of-fire flame night and bright*

ἡμάτιον γελόωσα ῥοδόσφυρός ἐστι καὶ αὐτή.
*day-like laughing rosy-ankled is also itself*

καί τις ἀνὴρ στεφάνοιο χοροστασίης τε δοκεύων
*and some man of-crown of-dance and watching*

δένδρεα φεγγήεντα λιπαλγέα θυμὸν ἰαίνει·
*trees light-bearing grief-leaving heart warms*

ὃς δὲ πυρισπείρητον ἐπακτρίδα, θέλγεται ἄλλος
*one and fire-coiled pinnace is-charmed another*

εἰσορόων λαμπτῆρα μονάμπυκα, σύμβολον ἄλλος
*beholding lamp single-crested symbol another*

οὐρανίου Χριστοῖο νόον λαθικηδέα τέρπει.
*of-heavenly Christ mind care-forgetting delights*

ὡς δ' ὅταν ἀννεφέλοιο δι' ἠέρος ἄνδρες ὁδῖται
*as and when of-cloudless through air men travelers*

ἀστέρας ἄλλοθεν ἄλλον ἀναθρώσκοντας ἰδόντες,
*stars from-elsewhere one springing-up having-seen*

ὃς μὲν ἀποσκοπέει γλυκὺν Ἕσπερον, ὃς δ' ἐπὶ Ταύρῳ
*one indeed looks-at sweet Hesperus one and on Bull*

θυμὸν ἀποπλάζει, γάνυται δέ τις ἀμφὶ Βοώτην,
*heart turns-aside rejoices and someone about Bootes*
ἄλλος ἐπ᾽ Ὠρίωνα καὶ ἄβροχον ὁλκὸν Ἁμάξης
*another on Orion and unwet furrow of-the-Wain*
ὄμμα φέρει, πολλοῖς δὲ πεπασμένος ἀστράσιν αἰθὴρ
*eye brings with-many and sprinkled stars sky*
ἀτραπιτοὺς ὤϊξεν, ἔπεισε δὲ νύκτα γελάσσαι.
*paths opened persuaded and night to-laugh*
οὕτω καλλιχόροιο κατ᾽ ἔνδια θέλγεται οἴκου
*thus of-fair-dance through air is-charmed of-house*
ἀγλαΐης ἀκτῖνι φεραυγέος, ἀλλ ***
*of-splendor with-ray light-bringing but (lacuna)*
πᾶς μὲν ἐϋφροσύνης ἀναπτετ *** εὐ *** ος α ***
*every indeed of-cheer (anaptet-) (lacuna) (-eu-) (lacuna) (-os) (a-) (lacuna)*
ψυχαίην ἐλάσασα μελαγκρήδεμνον ὁμίχλην.
*of-soul having-driven black-veiled mist*
πάντας ἐπαυγάζει σέλας ἱερόν, εὖτε καὶ αὐτὸς
*all illumines light holy when also himself*
ναυτίλος οἰήκεσσι θαλασσοπόροισι κελεύων,
*sailor with-tillers sea-crossing commanding*
εἴτε λιπὼν ἄξεινα μεμηνότος οἴδματα Πόντου
*whether having-left inhospitable of-raging swells of-Pontus*
πλαγκτοὺς ἀντιπόρων σκοπιῶν ἀγκῶνας ἑλίσσει,
*wandering of-opposite of-headlands bends winds*
ἐννύχιον μέγα τάρβος ἔχων γναμπτῇσι κελεύθοις,
*nightly great fear having with-curving paths*
εἴτε μετ᾽ Αἰγαίωνα παρ᾽ Ἑλλησπόντιον ὕδωρ
*or after Aegean beside Hellespontine water*
νῆα κατιθύνῃσι ῥοώδεος ἀντία δίνης,
*ship he-steers of-streaming against eddy*

δεχνύμενος προτόνοισι Λιβυστίδος ὄγκον ἀέλλης·
*receiving with-forestays of-Libyan mass of-storm*
οὐχ Ἑλίκην, οὐχ ἡδὺ φάος Κυνοσουρίδος ἄρκτου
*not Helice not sweet light of-Cynosure Bear*
εἰσορόων οἴηκι φερέσβιον ὁλκάδα πάλλει, 915
*beholding with-tiller life-bearing merchantman shakes*
ἀλλὰ τεοῦ νηοῖο θεουδέα λαμπάδα λεύσσων,
*but of-your temple godly lamp seeing*
φορτίδος εὐτόλμοιο προηγέτιν, οὐχ ὑπὸ μούνοις
*of-cargo-ship daring leader not under alone*
φέγγεσιν ἐννυχίοισι (τὸ γὰρ καὶ Πρωτέος ἀκταὶ
*lights nightly this for also of-Proteus shores*
ἐν Φαρίῃ τεύχουσι Λιβυστίδος ἐς πόδα γαίης)
*in Pharos make of-Libyan at foot land*
ἀλλὰ καὶ εὐδώροισι θεοῦ ζώοντος ἀρωγαῖς. 920
*but also with-bountiful of-God living with-aids*

## VIII · ENVOI

*Paul prays that the emperor remain through many cycles. The sea and the rivers obey him, and the bridge over the Sangarius has tamed its stream. His victories reach beyond the ocean, conspirators fall before he knows of them, and he makes of a captive a friend, since love is stronger than necessity. Christ guides his counsels, and he chose the godly patriarch, at whose voice black-limbed men bow to both thrones. Paul praises the patriarch's prayers, his simple life, his charity, and his refusal to sell holy office, and prays that he remain to strengthen the emperor's scepter.*

Μίμνε μοι, ὦ σκηπτοῦχε, πολυχρονίους ἐπὶ κύκλους,
*Remain for-me O scepter-bearer many-yeared through cycles*
ἐς φάος ἑσπέριόν τε καὶ ὄρθριον· εἰς σὲ γὰρ ἠὼς
*to light evening both and morning to you for dawn*

ἀμπαύειν, πολύυμνε, καὶ ἕσπερος οἶδε μερίμνας.
*to-rest much-hymned and evening knows cares*
σοὶ λιμένες γλαυκῶπιν ἀποκρίνουσι γαλήνην
*for-you harbors gray-eyed set-apart calm*
πᾶσαν ἐς ἀγχιάλοιο πόλιν χθονός· ἐκχύμενον δὲ
*all to of-seaside city of-land poured-out and*
κῦμα περιστέλλοντες ὑπ᾽ εὐκόλποισιν ἀγοστοῖς
*wave enveloping under well-bosomed arms*
Νηρέος ἀφριόωσαν ὑποσσαίνουσιν ὁμοκλήν.
*of-Nereus foaming fawn-on shout*
καὶ ποταμῶν ὑπόειξε ῥόῳ βρυχώμενον ὕδωρ,
*and of-rivers yielded to-stream roaring water*
οὐκέτι δ᾽ ἁρπακτῆρα μιαίνεται ὁλκὸν ὁδίταις.
*no-longer and robbing is-defiled furrow for-travelers*
τὸν πρὶν ἀνικήτοισιν ἀγηνορέοντα ῥεέθροις
*the before with-invincible exulting streams*
Μύγδονα Σαγγάριόν τις ἰδὼν Βιθυνίδι γαίῃ,
*Mygdonian Sangarius anyone having-seen in-Bithynian land*
νῶτα λιθοτμήτοισι διαζωσθέντα γεφύραις,
*backs with-stone-cut girdled bridges*
κρήγυον ἡμετέρων ἐπέων οὐ ῥυθμὸν ἐλέγξει.
*true of-our words not rhythm will-refute*
Ταῦτά σοι, ὀλβιόμοιρε, μάκαρ, δηναιὸν ἀέξει
*These(-things) for-you blessed happy long increases*
ζωοφόρου λυκάβαντος ἐπεμβάδα· ταῦτα θριάμβοις
*of-life-bearing year standing-on these(-things) with-triumphs*
ἑσπερίοις Λιβυκοῖς τε καὶ ἠῴοισι γεραίρει
*western Libyan both and eastern honors*
σὸν κράτος ὠκεανοῖο περαίτερα· ταῦτα τυράννων
*your might of-ocean further these(-things) of-tyrants*

πολλάκις αὐτοφόνοιο χερὸς δηλήμονι τόλμῃ
*often of-self-slaying hand with-destructive daring*
αὐχένας ἐπρήνιξε, πρὶν ἔντεσι χεῖρας ἑλίξεις,
*necks threw-down before with-arms hands you-wind*
τῶν δὲ κατηλοίησε καρήατα πρίν σε πυθέσθαι
*of-them and crushed heads before you to-learn*
φῆμιν ἀπαγγέλλουσαν ἃ μὴ θέμις. εἴποτε γάρ σοι
*rumor proclaiming what not lawful ever for to-you*
βαιὸν ἐλινύσασα δίκη παρὰ ποσσὶ κομίσσῃ
*a-little having-rested justice at feet should-bring*
ἀντιβίων τινὰ φῶτα, κατευνάζεις μὲν ἀέλλας
*of-adversaries some man you-lull indeed storms*
εὐθὺς ἀναγκαίοιο χόλου, στρεπτὴν δὲ γαλήνην
*at-once of-necessary anger turned and calm*
εὐθὺς ἄγεις, καὶ δεσμὸς ὁ χάλκεος, ὁ πρὶν ἐέργων
*at-once you-bring and bond the bronze the before confining*
ἀνέρα ποιναίοισιν ἐν ἅμμασιν, εὐθὺς ἀνοίγει
*man penal in knots at-once opens*
αὐχενίην κληῖδα· σὺ δ᾽ ἵλαον ὄμμα τανύσσας
*neck bolt you and gracious eye stretching*
τὸν πρὶν ἐριδμαίνοντα, σέθεν ζυγόδεσμον ἀράξας,
*the before contending your yoke-band having-struck*
ἀντὶ φόνου ζωστῆρας ἐς αἰγλήεντας ἀέξεις.
*instead-of murder belts to shining you-increase*
κερδαίνεις δ᾽ ὅσα τύμβος ἀμείλιχος εἶχε καλύψαι
*you-gain and what tomb implacable had to-hide*
γυῖα τεοῦ θεράποντος· ἀφ᾽ ὑμετέρης δὲ γαλήνης
*limbs of-your servant from your and calm*
νικηθείς, τρισέβαστε, πολὺ πλέον ἠὲ σιδήρῳ
*conquered thrice-august much more than by-iron*

εἰς σὲ μεταστρεφθεῖσαν ὅλην φρένα δέσμιος ἕλκει,
*to you turned whole mind bound he-drags*
ἐκ δὲ φόβου πρὸς ἔρωτα τεὸν καὶ πίστιν ἀΐξας
*from and fear to love your and faith having-sprung*
ὑμετέροις ἐθέλοντα λόφον δούλωσε λεπάδνοις·
*to-your willing neck enslaved yoke-straps*
οἶσθα γὰρ ὅσσον ἔρως κρατερώτερός ἐστιν ἀνάγκης,
*you-know for how-much love mightier is than-necessity*
οἶσθα καὶ ὡς νομίοισιν ἐν ἄνθεσι πολλάκι ταῦρος
*you-know also how pasture in flowers often bull*
πειθόμενος σύριγγι καλαύροπος ἦχον ἀλύσκει.
*obeying to-the-pipe of-the-crook sound escapes*
Ἔνθεν ἀεὶ καμάτοιο τεοῦ προκέλευθος ἀνέστη
*Thence always of-labor your forerunner rose*
Χριστὸς ἄναξ, βουλὰς δὲ κυβερνητῆρι χαλινῷ
*Christ lord counsels and with-helmsman bridle*
σεῖο κατιθύνει κρατερόφρονας, εἴτ' ἐπὶ χάρμην
*your directs strong-minded whether to battle*
φάσγανα γυμνῶσαι τελέθει χρέος εἴτε καλύψαι·
*swords to-bare comes-to-be need or to-sheathe*
ὅς σε καὶ ἀρητῆρα θεουδέα δῶκεν ἑλέσθαι
*who you also priest godly granted to-choose*
ῥηϊδίως κραναὴν ἀρετῆς τετράζυγος οἶμον
*easily rugged of-virtue four-yoked path*
πᾶσαν ἐπιτροχάοντα, τὸν ἠγαθέοισι θοώκοις
*all running-over whom to-holy thrones*
Ῥώμης οὐρανίη τις ἐφήρμοσεν ἔνθεος ὁμφή.
*of-Rome heavenly some fitted inspired voice*
Ἀλλὰ τροπαιοφόρων τε καὶ εὐπολέμων σέθεν ὕμνων
*But of-trophy-bearing both and warlike your hymns*

βαιὸν ἀποκλίναντες ἐπιτρέψωμεν ἀοιδὴν
*a-little having-turned-aside let-us-turn song*
σεμνὸν ἐς ἀρητῆρα· τεὸς δέ τίς ἐστι καὶ αὐτὸς
*august to priest yours and some is also himself*
ὕμνος, ἄναξ· νίκη γὰρ ἀμοιβαδὸν ἄλλοθεν ἄλλη,
*hymn lord victory for in-turn from-elsewhere another*
εὐπτολέμοις καμάτοισι καὶ ἀστυόχοις ἐπὶ μόχθοις,
*to-warlike labors and city-guarding on toils*
ὑμετέροις στέφος ἁβρὸν ἐπεστήριξε καρήνοις.
*to-your crown delicate fixed heads*
καὶ γὰρ ὅτε, σκηπτοῦχε, νόου βιοδώτορι βουλῇ
*and for when scepter-bearer of-mind with-life-giving counsel*
ὑμετέροις τεμένεσσι μέγαν κληρώσαο μύστην,
*for-your precincts great you-allotted initiate*
εὐθὺς ἀλιτρόνοοιο κατήριπε δαίμονος ὁρμή,
*at-once of-sin-minded fell-down of-demon onset*
εὐθὺς ὅλων παθέων χαλεπὴν ἔτρεψαο χάρμην,
*at-once of-all sufferings harsh you-routed battle*
εὐθὺς ἐπ᾽ ἀστυόχοις καμάτοις ἀνεδήσαο νίκην.
*at-once for city-guarding labors you-crowned-yourself-with victory*
Ἀλλά μοι ἱμερόεσσαν ὑποστήριξον ἀκουὴν
*But for-me lovely support hearing*
καὶ σὺ πάτερ πολύυμνε, θεουδέος ἡγέτα νηοῦ.
*and you father much-hymned of-godly leader temple*
σῇ μὲν ὑπὸ σφρηγῖδι φυλάσσεται εὖχος ἀνάκτων,
*your indeed under seal is-guarded boast of-lords*
σεῖο δ᾽ ὑπ᾽ εὐχωλῇσι κατάπτερος ἔθνεα νίκη
*your and under prayers winged nations victory*
κοιρανίης ὑπέθηκε πολισσούχοισι λεπάδνοις.
*of-sovereignty put-under to-city-guarding yoke-straps*

καὶ τὰ μὲν ἀντιτύποισιν ἐπαυχήσαντα βοείαις
*and the-ones indeed with-opposing exulting ox-hides*
ἔγχος ἄγει βασιλῆος ὑπ᾽ ἴχνεσιν, ἄλλα δὲ Ῥώμῃ
*spear leads of-emperor under footsteps others and to-Rome*
μυρία βαρβαρόφωνα συνήλυθον ἔθνεα γαίης,
*countless barbarous-voiced came-together nations of-earth*
ὑμετέρης ἀΐοντα σέβας, τρίλλιστε, γαλήνης.
*your hearing majesty thrice-prayed-for of-calm*
χθιζὰ μελαγγυίοισιν ὑπ᾽ ἀνδράσιν ἔνθεον αὐλὴν
*yesterday black-limbed by men godly court*
στεινομένην ἐνόησα· τεῆς δ᾽ ἀπὸ θέσπιδος αὐδῆς
*crowded I-perceived your and from divine voice*
θελγόμενοι ψυχήν τε καὶ αὐχένα πρόφρονι βουλῇ
*charmed soul both and neck with-willing counsel*
οὐρανίοις ἔκλιναν ἐπιχθονίοις τε θοώκοις,
*to-heavenly bowed earthly and thrones*
τλήμονες, οἳ μὴ χεῖρα τεὴν δέξαντο καρήνοις,
*wretched who not hand your received on-heads*
χεῖρα δυσαντήτων ἐλατήριον ἀμπλακιάων,
*hand of-hard-to-face expeller sins*
χεῖρα λιποκτεάνοισιν ἐπαρκέα, χεῖρα τιθήνην
*hand for-the-destitute sufficient hand nurse*
ὀρφανικῶν, πάσης τε κατευνήτειραν ἀνάγκης.
*of-orphans of-every and lulling-to-rest necessity*
καὶ γὰρ ἀπ᾽ ὠδίνων σε σαοφροσύνη τε καὶ αἰδὼς
*and for from birth-pangs you temperance both and modesty*
ἐλπίδος οὐρανίης ἱεραῖς ξύνωσε πορείαις.
*of-hope heavenly to-holy joined journeys*
λιτὰ δέ σοι καὶ δόρπα καὶ ὀμφήεσσα μενοινή,
*simple and to-you both meals and inspired intent*

λιτὰ δέ σοι βλεφάρων ἀμαρύγματα, λιτὰ δὲ ταρσῶν
*simple and to-you of-eyelids glances simple and of-soles*
ἴχνια σῶν, καὶ λιτὸν ἔπος σέο χείλεα πάλλει.
*footsteps your and simple word your lips moves*
οὐ μὲν ἐπισκυνίοιο κατηφιόωσαν ὁμίχλην
*not indeed of-brow gloomy mist*
ἀμφιέπεις, Χριστῷ δὲ γεγηθότα θυμὸν ἀέξεις,
*you-wear to-Christ and rejoicing heart you-increase*
ἤπιον εὐάντητον ἄγων σέλας· ἐν δὲ προσώποις
*gentle affable bringing light in and faces*
μειλίχιον μείδημα παρήϊα σεμνὰ χαράσσει.
*soothing smile cheeks august carves*
ταῦτα δὲ πρηϋνόοιο φέρεις σημήϊα θυμοῦ·
*these(-things) and of-gentle-minded you-bear tokens heart*
ἐσσὶ γὰρ εὐθίκτοισιν ἀνέμβατος ἴχνεσιν ὀργῆς,
*you-are for by-easily-touched untrodden by-footsteps of-anger*
ἑδρήσσων ἀτίνακτος ἐπ᾽ ἀφλοίσβοιο γαλήνης.
*seated unshaken on of-noiseless calm*
πάντα μὲν ὑλαίων ἀπεσείσαο πήματα μόχθων,
*all indeed of-material shook-off woes of-toils*
εὐσεβίης δ᾽ ὀχετηγὸν ἐνηέα θυμὸν ἀνοίγων
*of-piety and channel kindly heart opening*
συμπαθὲς ἀνδρομέοισιν ἐπ᾽ ἄλγεσιν ὄμμα τιταίνεις.
*sympathetic human on griefs eye you-stretch*
οὐδὲ λιπερνήτης τελέθει βροτὸς ὃν σὺ νοήσεις·
*nor destitute becomes mortal whom you will-perceive*
αὐτίκα γὰρ καθαροῖο νόου θημῶνα πετάσσας
*at-once for of-pure mind heap having-spread*
Λυδὸν ἐριχρύσοιο παρέδραμες ὄλβον ἀναύρου,
*Lydian of-very-golden you-outran wealth of-torrent*

ἔκχυτον ἐκ παλάμης ποταμήρρυτον ὄλβον ὀπάζων.
*poured-out from palm river-flowing wealth granting*
πάντα μὲν ὠγυγίων τε καὶ ὁπλοτέρων κλέα μόχθων
*all indeed of-ancient both and of-younger glories of-toils*
ἐξεδάης, πᾶσαν δὲ ποσὶν καθαροῖσιν ὁδεύεις
*you-learned all and with-feet pure you-travel*
ἀτραπιτὸν λειμῶνι θεουδέϊ· σὰς δὲ μερίμνας
*path in-meadow godly your and cares*
ἰθυνόῳ πλάστιγγι κανὼν σταθμήσατο μύστης.
*with-straight-minded balance rule weighed initiate*
ἔνθεν ὑπ᾽ ἀχράντοισι νόον μελεδήμασι θέλγων
*thence under undefiled mind with-cares charming*
ὤνιον οὐ τέτληκας ἰδεῖν σέβας, οὐδὲ καρήνοις
*for-sale not you-endured to-see majesty nor on-heads*
ἐμπορίην ἱεροῖσιν ἐφήρμοσας, οὐδὲ βεβήλοις
*trade to-holy you-fitted nor to-profane*
ἀνδράσιν οἶμον ἔδειξας ἀνέμβατον. εἰ δέ σε δώροις
*men path showed untrodden if but you with-gifts*
πρηΰς ὑποσσαίνων τις ὀΐσσεται εἰς χάριν ἕλκειν,
*gently fawning anyone thinks to favor to-draw*
βριθὺς ὁμοκλητῆρι χαλέψαο τόν γε χαλινῷ,
*heavy with-rebuking you-were-angry him at-least with-bridle*
ὅσσον ἀποσμῆξαι κραδίης νέφος, ὅσσον ἐλέγξαι
*as-much-as to-wipe-off of-heart cloud as-much-as to-refute*
χρυσὸν ἀτιμηθέντα, καὶ ἀφραίνοντα διδάξαι
*gold dishonored and being-senseless to-teach*
ὡς καθαρὸν καθαροῖσι θέμις τεμένεσσι θαμίζειν.
*that pure for-the-pure lawful precincts to-frequent*
Ἀλλὰ μένοις καὶ σκῆπτρον ἐμοῦ βασιλῆος ἀέξων
*But may-you-remain and scepter of-my emperor increasing*

σαῖς, μάκαρ, εὐχωλῇσι· μένοις δ' ἁλιγείτονι Ῥώμῃ
*by-your blessed prayers may-you-remain and to-sea-neighboring Rome*
πᾶσαν ἁμαρτινόου βιότου σμώδιγγα καθαίρων.
*all of-sin-minded life weal cleansing*